# ΕΠΙΣΤΟΛΑΙ

ΠΡΟΣ ΤΙΝΑΣ

*ΕΝ ΔΙΑΦΟΡΟΙΣ ΠΕΡΙΣΤΑΣΕΣΙ·*

ὑπὸ

ΝΕΟΦΥΤΟΥ ΔΟΥΚΑ.

ΕΙΣ ΤΟΜΟΥΣ ΔΥΟ.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΕΝ ΑΙΓΙΝΗ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΝΔΡΕΟΥ ΚΟΡΟΜΗΛΑ.

1835.

„ Πτερὸν πτερωτῷ χρήσιμον πτῆναι πάντῃ.
„ Ἐπιστολὴ δὲ τῷ βίῳ δῶρον μέγα
„ Βροτοῖς ἂν εἴη, γῆς ὅρους ἱκνουμένη.
„ Πτηνὸν γὰρ ὡς, θέουσα, βουλὰς κρυπτάδας.
„ Ἔνθεν τ' ἐκεῖ, κἀκεῖθεν ὧδ' ἄγει πάλιν.
„ Πῶς οὖν ἂν εἴποις μὴ θεοῦ δῶρον πέλειν ;

## ΜΑΝΟΥΗΛΩ ΣΕΡΓΙΑΔΗ

*Νεόφυτος Δούκας εὖ πράττειν.*

Ἃ μὲν οὖν μοι πεπόνηται, φίλτατε Σεργιάδη, τέλος, θεοῦ συναντιλαβόντος, εἴληφεν ἤδη· Τούτων δ' οὖν ἄλλ' ἄλλοις ἀφοσιῶσαι, ὡς ἔθος, χρέος τι, ἢ ἑκάστοις προὐχώρει, ἐκίνησε τὴν προαίρεσιν. τὰς δ' Ἐπιστολὰς ταύτας οὐ χρέος, ἀλλ' ἡ σὴ φιλία καὶ ἡ χάρις ἐν πᾶσιν ὑπηγόρευσέ με σοὶ ἀναθεῖναι· Φιλία μὲν, φημὶ, οὐχ οἵαν τυχὸν συνίστησι κέρδος, καὶ πάλιν ἕτερον αὖθίς ποτε, ἑτεραλκὲς ἀναφυὲν, εἴπῃ τύχοι, ὡς ἀπὸ λεπτοῦ μίτου ἐκσπᾶσαν, διέλυσε, καὶ ἠφάνισεν· ἀλλ' ἣν ἡ φύσις, ἐξ ἔρωτος τῶν καλῶν παιδικῶν συλλαμβάνουσα, καὶ ἐξ ὁμοίων παθῶν καὶ προαιρέσεων κυοφοροῦσα καὶ τρέφουσα, πέφυκε τίκτειν· ἣν οὐδ' ὁ Ἅδης δύναιτ' ἂν ποτε διασπᾷν· Χάρις δ' αὖ· σὺ γὰρ μόνος τῷ μετὰ χαρίτων σπουδάζειν, καὶ σὺν σπουδῇ ἐπιδεικνύειν τὸ χάριεν, εἰς ἓν ἐναρμόνιον μέλος ἀμφότερα εὐφυῶς συγκεντρῶσαι δεδύνησαι, τῇ τ' ἐκ τοῦ λόγου κομψότητι τὰ ἀνὰ χεῖράς σοι σπουδαῖα ἀνακουφίζων, καὶ ταύτην αὖθις τῇ ἐκ τῶν πόνων φιλοκαλίᾳ ἐπικοσμῶν καὶ καλλύνων.

Ἐπειδὴ τοίνυν κἀν τῇ ἀνὰ χεῖράς σοι βίβλῳ τῇδε τῆς τ' ἐν ἡμῖν πρὸς ἀλλήλους Φιλίας οὐκ ἀμυδρὰ ἐνυπάρχει σημεῖα, ταὐτὰ σπουδαῖά τε καὶ ἡδέα ἡμῖν ἀμφοτέροις ἐμφαίνοντα, οἷά μοι ὁ καιρὸς ἑκάστοτε, ὁτὲ μὲν πρὸς σπουδὴν, ὁτὲ δὲ καὶ

πρὸς παιδιὰν ἔστιν οὐ ἀπονεύοντι, παρεῖχεν ἀνίεσθαι, δέξαι τὴν βίβλον ἐπιεικῶς· καὶ διεξιὼν ἕκαστα, ἐνασμένιζε τὰ εἰκότα· εὑρήσεις γὰρ διατριβὴν ἐφ' ἑκάτερα, ἐνίοτε μὲν γελᾶν, πολλὰ δὲ καὶ τῆς ἑτέρας μερίδος τῆς σοβαρᾶς καὶ σπουδαίας· καὶ μέμνησό μου τῇ φαντασίᾳ διεξιὼν, μέχρις ἂν καὶ ἐξ αὐτοψίας αὖθις γυμνοὶ σωμάτων ἐν τῇ παλιγγενεσίᾳ μετ' ἀλλήλων γεγενημένοι, τὴν ὑπερτάτην καὶ ἀΐδιον Εὐθυμίαν κατὰ τὴν θείαν ἐπαγγελίαν συνευθυμῶμεν. Ἔρρωσο.

[illegible]

[illegible]

# ΕΠΙΣΤΟΛΑΙ

ΠΡΟΣ ΤΙΝΑΣ

ΕΝ ΔΙΑΦΟΡΟΙΣ ΠΕΡΙΣΤΑΣΕΣΙ

ὙΠΟ

*ΝΕΟΦΥΤΟΥ ΔΟΥΚΑ.*

*Μανουήλῳ Σεργιάδῃ.* (1.)

ΤΗΣ μουσικῆς τὸ μέν ἐστι σύντονον καὶ ἀῤῥενωπόν· τὸ δὲ, ἀνακεκλασμένον καὶ θῆλυ· κἀκεῖνο μὲν, ἅτε δὴ πρὸς ἀρήϊα ἔργα τὴν ψυχὴν παραθήγον, ὄρθιον παρὰ τοῖς ἀρχαίοις καὶ νόμος ἤκουσεν Ἀθηνᾶς· τοῦτο δὲ, ὡς εἰς ἐπαφρόδιτον ἡδονὴν τὰ πολλὰ παραλύον, Λύδιον καὶ ἀναβεβλημένον προσαγορεύεται. Ἐπειδὴ τοίνυν ἀκούω σε πολλὰ μὲν ἐπαινεῖν τὰ ὑμέτερα, ὡς ἂν εἴποις αὐτὸς, πολιτικὰ τερετίσματα, ψέγειν δὲ τὰ κατὰ τὴν Ἑλλάδα ἐκ πολλῶν αἰώνων περιᾳδόμενα ᾄσματα, ὡς ἀγροικά τινα καὶ κακόστροφα, δεῦρο σκεψώμεθα περὶ τούτου, καὶ τἀληθὲς, ἣν δυνώμεθα, ἀνακαλύψωμεν ὥστ᾽ ἀπὸ τοῦ βυθοῦ τῆς ἀγνοίας, τίποτ᾽ ἄρα τοῖς μὲν (ὑμῖν δηλονότι τοῖς ἀστειοτέροις) ἀρέσκει τὰ καθ᾽ ὑμᾶς, ὧν τὸ λίαν κεκλασμένον καὶ κομψὸν παρὰ τῶν κρατούντων βαρβάρων παραλαβόντες τυγχάνετε· ἡμεῖς δ᾽ αὖ, ἃ παρὰ τῶν προγόνων διαδοχῇ μακρᾷ ὁμολογουμένως παρεδεξάμεθα, τούτοις,

ὁποῖ᾽ ἄττ᾽ ἂν ᾖ, ὅτι μάλιςα χαίρομεν ἀσμενίζοντες; Εἰ μὲν οὖν τῇ ἀνατροφῇ τὸ αἴτιον ἀποδοῖμεν, τάχα μὲν ἂν εὕροιμεν τὴν διαφορὰν, ἀλλ᾽ οὐδὲν τοῦθ᾽ ἡμῖν συμβαλεῖται πρὸς τὴν γνῶσιν τοῦ πράγματος, ὥστε τὰ αὐτὰ καλά τε καὶ φαῦλα ἀμφοτέρους νομίζειν· δῆλον γὰρ, ὅτι ὁ βίος ἑκατέρων διάφορος ὢν, ἄλλο ἄλλοις παρίστησι καλὸν καὶ αἰσχρόν· εἰ δὲ καὶ λόγῳ, καθάπερ λύχνῳ, τὴν τοῦ πράγματος ἀνιχνεύσαιμεν φύσιν, ῥᾷον ἂν ἴσως πεισθείης τοῖς λεγομένοις. Τίς οὖν ἂν εἴη αἰτία, ὅτι τὰ μὲν τῶν πραγμάτων ἅπαντες ὁμοίως νοοῦμεν, περὶ δὲ τῶν, διαφόρως πρὸς ἀλλήλους φρονοῦμεν; οἷον, περὶ τοῦ τριγώνου, φέρ᾽ εἰπεῖν, καὶ τετραγώνου οὐδεὶς ἂν ἀρνηθείη, εἰ μὴ παντάπασιν ἀνόητος εἴη, ὅτι τὸ μὲν ἐκ τριῶν, τὸ δὲ ἐκ τεσσάρων πλευρῶν ἐστι συνιστάμενον· χρωμάτων δὲ, καὶ ᾀσμάτων, καὶ βρωμάτων, καὶ παντοίων χυμῶν, εἴποτε λόγος ἡμῖν προτεθείη εἰς αἵρεσιν, ἄλλος ἄλλα αἱρεῖται· τί ἐςι τούτου αἴτιον; ἢ ὅτι ἐκεῖνα μὲν ὑπόκειται τῇ τοῦ νοὸς θεωρίᾳ, ᾧ ταὐτὰ αἰσθήματα ἔξωθεν προσβάλλουσι παρὰ πᾶσι· διὸ καὶ πάντες ὁμολογοῦσι τὴν ἀρετὴν καλὸν εἶναι, τὸ σῶμα συνίσταται ἐκ μερῶν, ὑπὸ δυεῖν εὐθειῶν σχῆμα μὴ περατοῦσθαι, καὶ τὰ τοιαῦτα· ταῦτα δὲ, ὡς τῇ φαντασίᾳ, ἢ μᾶλλον εἰπεῖν τῇ ὀρεκτικῇ αἰσθήσει ὑποκείμενα μάλιστα, διάφορα καὶ παρηλλαγμένα ἐμποιοῦσιν αἰσθήματα· διὸ καὶ κατὰ ταῦτα διαφόρως, ᾗ παθαίνεται ἡμῶν ἕκαστος, οὕτω περὶ τῶν πραγμάτων τυγχάνομεν κρίνοντες· ὁ μὲν γὰρ ὀρέγεται τούτου· τὸν δὲ ἀρέσκει ἐκεῖνο· οὗτος μὲν τοῦ πλακοῦντος, ἐκεῖνος δὲ ἄλλοτι τυχὸν τῶν βρωμάτων.

Τούτων οὖν οὕτως ἐχόντων, ἐάσαντες τὰς αἰσθήσεις καὶ τὰς ὀρέξεις ὡς ἐξαπατώσας πολλάκις, αὐτῷ τῷ νῷ εἰς εὕρεσιν τῆς ἀληθείας χρησώμεθα· ἀπὸ μὲν γὰρ τοῦ ἡδύνοντος κρίνοντες, ᾧ βάσις πολλάκις τὸ ἔθος, οὐδὲν ἂν εὕροιμεν βέβαιον,

ἄλλων ἄλλως τῶν ἐκτὸς προσβαλλόντων καὶ ἀρεσκόντων ἑκάστῳ· εἰδέ γε ἀπὸ τοῦ τέλους ἐπιχειροῦμεν λογίζεσθαι, ῥᾷον ἂν εὕροιμεν τἀληθές· κἀκ τῶν ὑστέρων γὰρ ἐν πολλοῖς ἀναζητήσαντες οἱ φιλόσοφοι, οὐχ᾽ ἧττον κατώρθωσαν ἐπιςήμην· Ἡδέως τοίνυν ἐκεῖνό σε πρῶτον ἐροίμην, τίποτ᾽ ἂν εἴη, καὶ ποῖον τὸ τέλος τῶν σῶν ᾀσμάτων, τούτων δὴ τῶν πολιτικῶν, ὥς φής, καὶ εὐστρόφων; ἡδονὴ ἂν εἴποις πρῶτον· καὶ μὴν τοῦτό γε πρόσεστι καὶ τοῖς ἡμετέροις· τὶς γὰρ ἄν, εἰ μή τις παντάπασι μαίνοιτο, ἢ ᾄδων οὕτω συντόνῳ τῷ πνεύμονι διατείνοιτο, εἰμὴ εἴη τῷ μέλει ἡδόμενος· ἢ ἀκούοι παρακαθήμενος, μὴ σφόδρα κηλούμενος, ἢ μᾶλλον εἰπεῖν, τὴν ψυχὴν παθαινόμενος; Οὐκοῦν τοῦτο κοινὸν ὑμῖν ἀμφοτέροις. Νῦν δ᾽ ἐρεῖς ἴσως δεύτερον τὸ τοῦ ἤθους ἐπιεικέστερόν τε καὶ ἱλαρώτερον· ἕπεται γὰρ τοῦτο τῶν μελῶν μάλιστα τῷ ἀναβεβλημένῳ καὶ χαύνῳ· κἀν τούτῳ μοι δοκεῖς ὑποθήσειν τὴν βάσιν, ἐφ᾽ ἧς ἐποικοδομήσεις ἑξῆς ἅπασαν τὴν τῶν καθ᾽ ὑμᾶς λήρων ὑπεροχήν· ἀλλ᾽ ἄρα γ᾽ ἐντεθύμησαι πώποτε εἰς οἵαν μὲν διαφθορὰν ἠθῶν συνεληλάκασιν, εἰς οἷα δὲ συνεξώκειλαν πάθη οἱ μάλιστα περὶ τὰ τοιαῦτα σπουδάσαντες.

» Εἴθε λύρα καλὴ γενοίμαν ἐλεφαντία,
» Καί με καλοὶ παῖδες φορέοιεν Διονύσιον ἐς χορόν.
» Εἴθε ἄπυρον καλὸν γενοίμαν μέγα χρυσίον,
» Καί με γυνὴ καλὴ φορέοι.

Οὐδὲν γὰρ ἄλλο μοι οἱ τοιοῦτοι δοκοῦσι γλίχεσθαι πράττειν παρ᾽ ὅσα νομοθετοῦσιν οἱ ἔρωτες· ἐξ ὧν νοσήματά τε καὶ ἀτοπήματα ἄλλοτ᾽ ἄλλα τοῖς ἀνθρώποις συμβαίνουσι, καὶ τέλος ἥκει τὸ γῆρας, εἴ τις τῶν τοιούτων κἀπὶ τοῦτο ἀφίκοιτο, ἀβληχρὸν καὶ ἐπίμοχθον, καὶ πολλάκις τάφος ἄντικρυς, ὀδωδώς, ἄξιον αὐτοῖς ἀποδιδοὺς τῆς νεότητος τὸν μισθόν·

καὶ ταῦτά σοι τῶν τοῖς ἔρωσι τὰ μέλη μιξάντων τἀπίχειρα, οὓς ἔδει μᾶλλον ᾄδειν τὰ τῆς σώφρονος Μούσης.

» Ἔρωτες ὑπὲρ μὲν ἄγαν
» Ἐλθόντες, οὐκ εὐδοξίαν,
» Οὐδ' ἀρετὰν παρέδωκαν
» Ἀνδράσιν· εἰ δ' ἅλις ἔλθοι
» Κύπρις, οὐκ ἄλλα θεὸς
» Εὔχαρις οὕτω.
» Μήποτ', ὦ δέσποιν', ἐπ' ἐμοὶ
» Χρυσέων τόξων ἐφείης,
» Ἱμέρῳ χρίσασ', ἄφυκτον οἰστόν.
» Στέργοι δέ με σωφροσύνα,
» Δώρημα κάλλιστον θεῶν.

Ταῦτα μὲν τὰ ὑμέτερα· ἡμῖν δ' οὐχ οὕτως ἔχει· ἀλλὰ διττόν τι τέλος ἐμφαίνεται τῶν μελῶν, τῶν θ' Ἡρώων τὰ κλέη ἐξυμνεῖν, ἐφ' ᾧ καὶ τοὺς νεωτέρους εἰς μίμησιν τῆς ἐκείνων προτρέποιμεν ἀρετῆς, Ἀχιλλέα αὐτὸν τὸν τῶν αἰώνων Ἥρωα μιμουμένους· ὃν οὐκ ἔκλυτα ἴσμεν, οὐδ' ἐρωτικὰ μέλη ᾄδοντα· κιθάρᾳ δὲ ἐκ λαφύρων χρησάμενον,

» Τῇ ὅγε θυμὸν ἔτερπεν· ἄειδε δ' ἄρα κλέα ἀνδρῶν.

οὕτω παρορμᾶν τὴν φύσιν ἐς τὰς μάχας πεπείσμεθα· καὶ εἴποτ' αὖθις εὐξαίμεθά πη, οὐκ Ἀνακρέοντα μιμησόμεθα· ἀλλὰ πρὸς τὸ ἀῤῥενωπὸν ἀφορῶντες, εἰς Ὅμηρον αὐτὸν αὖ πάλιν τὴν μίμησιν ἀναφέρομεν.

» Ζεῦ, κύδιστε, μέγιστε, κελαινεφὲς, αἰθέρι ναίων,
» Μὴ πρὶν ἐπ' ἠέλιον δῦναι, καὶ ἐπὶ κνέφας ἐλθεῖν,
» Πρίν με καταπρηνὲς βαλέειν Πριάμοιο μέλαθρον
» Αἰθαλόεν, πρῆσαι δὲ πυρὸς δηΐοιο θύρετρα.
» Ἑκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι
» Χαλκῷ ῥωγαλέον· πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι
» Πρηνέες ἐν κονίῃσιν ὀδὰξ λαζοίατο γαῖαν.

Τοῦθ' ἡμῖν ἅπαντα πρῶτον, ἐφ' ἃ σκοποῦμεν ἤδη, παραπέμπουσι τὴν διάνοιαν· δεύτερον δὲ καὶ πρὸς τὴν τῶν προγόνων ἡμῶν ἀρετὴν τούτοις τὴν ψυχὴν παραθήγομεν, Τυρταίῳ ἡγεμόνι κἀν τούτῳ ἑπόμενοι·

» Ἄγετ', ὦ Σπάρτας εὐάνδρου
» Κοῦροι πατέρων πολιῆται,
» Λαιᾷ μὲν ἴτυν προβάλλεσθε,
» Δόρυ εὐτόλμως βάλλοντες,
» Μὴ φειδόμενοι τᾶς ζωᾶς.
» Οὐ γὰρ πάτριον τᾶς Σπάρτας.

Τούτοις γὰρ ὅμοια καὶ τὰ νῦν ἐστιν παρὰ τοῖς τὴν Ἑλλάδα οἰκοῦσιν, ἃ σὺ μὲν καὶ οἱ κατὰ σὲ καταμέμφεσθε· ὅσῳ δὲ ταῦτα τοῖς πράγμασιν ἔσται συντελῆ, μετ' οὐπολυ ὄψει· οὐ γὰρ ἔσθ' ὅ,τι μᾶλλον τοὺς τῆς ἀνδρίας καὶ μεγαλοφυΐας ἐξάπτει σπινθῆρας ἐπὶ τὴν ἑπτακέφαλον ὕδραν, ἢ ταῦτα· οὐχ αἱ χρυσαῖ ψεκάδες, ἐξ ὀρόφου τῇ λευκοστέρνῳ Δανάῃ ἐπιχεόμεναι, οὐδ' αἱ μηχανικαὶ περιπτυχαὶ τοῦ Ἡφαίστου περὶ τὴν χρυσῆν Ἀφροδίτην καὶ τὸν θεὸν τοῦ πολέμου.

Ταῦτ' οὖν σοι ἐκ τῆς τοῦ πράγματος φύσεως· εἰδ' αὖ πάλιν βούλει καὶ τοῖς ἐκ τῆς ποιητικῆς ἐμβατεῦσαι μυστηρίοις, κἀν τούτοις ἀρετῆς οὐκ ἀπολείπονται τὰ ἡμέτερα· ἔνεστι γὰρ αὐτοῖς, ὅσα ἥτε φύσις ἐδίδαξε, καὶ ἡ τέχνη μιμησαμένη τὴν φύσιν, τὸ τέλειον αὐτῇ περιεποίησε πολλαχῶς· ἥτε γὰρ λέξις ἁπλῆ τε καὶ φυσικὴ, καὶ οἵα ἐχρήσατο μάλιστα Ὅμηρος· καὶ ἡ μεταφορὰ οἰκειοτάτη, καὶ ὁμοίωσις προσφυεστάτη, ὕψος τε ἐννοιῶν, καὶ πραγμάτων μέγεθος, καὶ χάρις τοῖς βουλομένοις εἰδέναι μετὰ τοῦ καλοῦ ἐπιπρέπουσα· καὶ οὐδὲν τῶν τῆς Μούσης ταύτης καλῶν ἂν εἴη, ὃ μὴ πρόσεστι τούτοις. Ἀλλὰ τούτων τοῖς τῶν Ἡρώων ἀπογόνοις, ὡς ἔοικεν, εἵμαρται μέλειν· καί μοι περίμενε τὸν καιρὸν μικρὸν ὅσον οὔπω, ἵν' εἰδῆς

τἀποτελέσματα ἔργῳ· ὑμῖν δὲ τοῖς ἁβροτέροις τὸν βίον, καὶ ἀνακεκλασμένῃ καὶ περιῤῥεούσῃ τῇ ἐσθῆτι σοβοῦσι, προσφυῶς ἂν εἴποι τις τὸ ὑπὸ τοῦ Διὸς πρὸς τὴν ἀργυρόπεζαν Ἀφροδίτην τετοξευμένον.

« Οὔτοι τέκνον ἐμὸν, δέδοται πολεμήϊα ἔργα,
» Ἀλλὰ σύγ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο·
« Ταῦτα δ' Ἄρηϊ θοῷ καὶ Ἀθήνῃ πάντα μελήσει.

Τοῖς γὰρ Δαξὶ ἐλεύθερον ἦμαρ ἰδεῖν οὔπω θεὸς, ὡς ἔοικεν, ἐπένευσε δοῦναι. Ἔῤῥωσο.

Τῇ κʹ Ἰουνίου ͵αωιθʹ.

*Θεοδώρῳ.* (2.)

Ἡ προαίρεσις, προσλαβοῦσα ἐξ ἀνατροφῆς μὲν παιδείαν, ἐξ ἔργων δὲ λαμπρῶν ἔπειτα καὶ εὐγένειαν, τέκνα σοι χαρίεντα ἔτεκε τὰς ἀρετὰς, εὐποιΐαν, λόγον, καὶ φρόνησιν· τὸ δ' ἔντριτον τοῦτο σπαρτίον καὶ πολύτιμον σύστημα, οὕτως ὅλως ἀκίβδηλον πολλοῖς μὲν τῶν καθ' ἡμᾶς ἤδη συμβῆναι καὶ πάνυ ἀδύνατον· ἐν δὲ τοῖς ὀλίγοις τὰ πρῶτά σε σχεῖν, ὡς καρποὺς ἐκ καρπῶν ἀρετῆς, καὶ παῖδας ἐκ παίδων ζητοῦντα ἐπιγεννᾷν, οὐδεὶς ἀντερεῖ, τῶν πραγμάτων αὐτῶν μαρτυρούντων· τὸν γὰρ τῷ θρόνῳ τοῦ εὐσεβεστάτου τῶν Ἡγεμόνων παρεδρεύειν λαχόντα, ἐξ οὗ ὡς ἀπὸ κέντρου πρὸς τὴν τῶν ἀρχομένων περιφέρειαν ἀμύθητοι ὅσαι εὐποιΐας ἀκτῖνες ἐξάγεσθαι λέγονται, τοῦτον καὶ ἔξωθεν ἔτι προσεπιζητεῖν ἀφορμὰς εὖ ποιεῖν, καὶ πράγματα παρ' ἐμοῦ τοιαύτας αἰτίας παρέχοντα, τοῦτο δή που ὀλίγων· ἢ μᾶλλον εἰπεῖν, οὐδ' ὀλίγων, ἀλλ' ἀρετῆς τελειότης. Ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα ἐκλογιζόμενος καὶ αὐτὸς, συγχαίρω μὲν τοῖς Ἕλλησι, φορὰν αὐτοῖς πολλῶν τοιούτων εὐχόμενος· συγχαίρω

δὲ καὶ ἐμαυτῷ, τοιοῦτον κεκτημένος ἑταῖρον· καὶ δὴ σοβαρώτερος ὅλως ἤδη γέγονα ἐμαυτοῦ, καὶ μόλις κατέρχομαι πρὸς τοὺς ἄλλους· ζήτω μοι τοίνυν ὁ Ἀριστείδης διὰ τὸ δίκαιον· Ζήτω ὁ Νέστωρ διὰ τὸ τοῦ λόγου μελίῤῥυτον· ζήτω ὁ Σωκράτης διὰ τὸ φρόνιμον· ἐῤῥώσθω μοι ὁ ἀγαθὸς, ὁ σοφὸς, ὁ εὐγενὴς Θεόδωρος Νέγρης.

*Τοῖς φίλοις.* (3.)

Νῦν δ' ὑμῖν ἄσπαρτα καὶ ἀνήροτα φύεται πάντα, καὶ ὀρνίθων ἐσθίετε γάλα· ἔμοι γε δ' οὖν οὔτε γάλα ὀρνίθειον, κἂν νέκταρ ᾖ, οὔθ' ἡ αὐτοφυΐα ἀρούρης, κἂν ἀμβροσίαν ἐνέγκῃ αὐτόχρημα, ἀξιόχρεω εἴη, οὐδ' οἷα τὰ συμβάντα ὑμῖν τῶν δεινῶν ἐπαλεῖψαι τῆς μνήμης· ἐν οἷς οὐκ οἶδα, εἰ ἀνεπνεῖτε μᾶλλον, ἢ Νεόφυτον ἐφ' ἡσυχίᾳ ἐμακαρίζετε, καὶ ἐφ' ἃ Νεόφυτος προὔλεγε, τὴν μνήμην ἀνεπέμπετε. Ἀλλ' εἴη γοῦν ὑμῖν τοῦ γε λοιποῦ τὸ εὔδαιμον ἄκρατον· δέδοικα γὰρ μή τι ὑπὸ τοῦ πλήθους τῆς εὐτυχίας, πρὸς κόρον ἐμφορηθέντες, περιστῆτε αὖθις εἴς τινα καχεξίαν, τῇ εὐδαιμονίᾳ καταχρησάμενοι· εἰς ἣν οὐδ' ὁ Ἀσκληπιὸς αὐτὸς ὑμῖν, κἂν ἀφθόνῳ ἀποχρήσηται τῷ κλυστῆρι, ἐπαρκέσειεν ἄν. Ἔῤῥωσθε.

*Δημητρίῳ.* (4.)

Κόσμος καὶ σύμπας μὲν οὑτοσὶν ὁ ὁρώμενος σοφὸν καὶ πάντα νοῦν ὑπερβαῖνον σοφοῦ ἀρχιτέκτονος δημιούργημα· τῶν δ' ἐν τῷ κόσμῳ πολλῷ τῷ λόγῳ ὑπερανεστηκέναι ἁπάντων ὁ ἄνθρωπος παρὰ πᾶσιν ἀνωμολόγηται· τοῦτον γὰρ μόνον ὁ δημιουργὸς κοσμήσας τῷ λόγῳ, τῶν ἄλλων ζώων διέστησε, καὶ βασιλέα πάντων κατέστησεν· ἀλλ' ἐπειδὴ ἡ ἁμαρτία παρεισδῦσα ποθὲν εἰς τὸν βίον, οἷον ἑπτακέφαλος

ὕδρα ἐκ παραβάσεως, παρέβλεψε τὸ ἁπλοῦν αὐτοῦ καὶ ἄθῳον, καὶ τὸ χεῖρον πολλαχῆ κατεξανέστη τοῦ κρείττονος, οὐκέθ' ὁ λόγος μόνος οἷός τε ἦν κατ' ἀξίαν ἀνέχειν πρὸς ταῦτα, οὐδὲ τομὴν καθ' Ἡρακλέα ἐπιφέρειν ἡντινοῦν τῷ θηρίῳ· ἀλλ' ἅμ' ἐκστὰς ἑαυτοῦ, ἀχρεῖος κατέστη, καὶ δοῦλος αὐτόχρημα τῶν παθῶν· τοῖς γὰρ τοῦ βίου ἀποπνιγεὶς πλημμελήμασιν, ὥσπερ σπέρμ' ἀγαθὸν καὶ σπουδαῖον ἐν μέσαις ἀκάνθαις, οὐχ ὅπως ἄγονος καὶ ἀξυντελὴς μεμένηκε καθ' αὑτὸν, ἀλλὰ καὶ τῷ χείρονι ἅπαξ ἑαυτὸν παραδοὺς, εἰς ἐκεῖνα μετήμειψε μικροῦ δεῖν καὶ τὴν φύσιν· κἀντεῦθεν τί χρὴ καὶ λέγειν, ὅσα τε καὶ ὅπως πάθεσι πάθη ἀντικρουόμενά τε καὶ συντρεφόμενα, ἀνεφύεσαν εἰς τὸν βίον; ἐκ τούτου γὰρ ἴσμεν καὶ ἀδελφὸν ἐπ' ἀδελφὸν βέλος ἐπαφέντα θανάσιμον, καὶ φίλον δόρυ ἀνταράμενον ἐπὶ φίλον· καὶ ὅλως ἐπανεστῶσαν τὴν φύσιν ἐφ' ἑαυτὴν, καὶ τὸν βίον παντάπασιν ἄγριον, καὶ πάντων τῶν κακῶν γενόμενον Ἰλιάδα· Ἔδει οὖν ἐπ' ἀμφότερα ταῦτα κατελθεῖν οὐρανόθεν ὀψέποτε τὴν παιδείαν, ὡς ἀμφότερα δυναμένην, τῷ τε λόγῳ ὥσπερ ἐκ συμμαχίας συναγωνίσασθαι, ῥαδίως αὐτῷ ἐπὶ τὴν κακίαν τὸ πῦρ, ὥσπερ ὁ Ἰόλαος τῷ Ἀλκμήνης ἐπὶ τὰς τομὰς, ἐπιφέρουσαν, καὶ ὡς γεωργὸς ἀγαθὸς, τὰς συμπεφυκυίας τῶν ἀκανθῶν ἀνασπάσασθαι, τὴν ἐκ τῆς σκαπάνης ἐμμελεστέραν πρὸς φυτουργίαν τῷ λόγῳ παρασχοῦσαν βοήθειαν· ἄμφω γὰρ ταῦθ' ἡ μεγαλουργὸς καὶ εὐεργέτης φιλοσοφία κατωρθωκέναι πεπίστευται, τέλος μὲν ἔχουσα ὡς ἐπίπαν τὴν γνῶσιν τοῦ ἀληθοῦς· γνώσεως δὲ, τὴν πρᾶξιν· πράξεως δὲ, τὴν τῆς ψυχῆς καθαρότητα· καὶ ταύτης αὖ, ἐν μὲν τῷ οὐρανῷ, βεβαίαν τὴν ἀμοιβήν· ἐπὶ δὲ τῆς γῆς, τὸν ἀδέκαστον ἔπαινον, δῶρον τοῦτο μόνον τοῖς ἀγαθοῖς τῶν ἀνδρῶν ὀφειλόμενον ἄξιον. Ὁρῶμεν γὰρ καὶ οἷς τῶν ἐθνῶν ἐξ ἀρχῆς ἐπι-

μελὲς ἐγένετο ταύτην εἰσαγαγέσθαι, ὅπως τάςτ' ἀρετὰς αὐτῶν καὶ κακίας κατὰ μικρὸν ἐξελέγξασα καὶ διδάξασα, τὰς μὲν ἀποσείσασθαι αὐτοὺς ἐκβαλόντας, τὰς δὲ περιποιεῖσθαι ἐσπουδακότας, εὐστόχως ἐστὶν ἐκπαιδεύσασα, καὶ τὴν εὐδαιμονίαν περιποιήσασα. Πρὸς τί οὖν μοι ταῦτα εἴρηται; οὐδέν σε χρὴ διδαχθῆναι· εἰδὼς γὰρ ὅθεν ποριστέα ἐστιν ἡ εὐδαιμονία καὶ ὅλῳ γένει καὶ ἰδίᾳ ἑκάστῳ, ἐκεῖνο δίωκε σθένει παντὶ, πᾶσαν ἀφεὶς εἰρωνείαν, ἵνα μὴ ταῖς ἀκάνθαις τοῦ βίου ἀποπνιγεὶς, καὶ ὃ ἔχεις, παραχρῆμ' ἀπολέσῃς, ἀντὶ τοῦ σώματος διώκων σκιάν. Ἔρρωσο.

*Νικολάῳ Λογάδῃ.* (5.)

Ἡδέως καὶ λίαν περιχαρῶς ἐδεξάμην τὸν παρὰ σοῦ συστηθέντα μοι ἐλλόγιμον Ἀναςάσιον οὐ μᾶλλον διὰ τὴν ἀξίωσιν τοῦ συστήσαντος, ἢ καὶ τὸ φιλομαθὲς αὐτοῦ καὶ τοῦ ἤθους τὸ κόσμιον, ὡς χρηστὰς ἐλπίδας παρέχοντος ἐν ὀλίγῳ τεύξεσθαι, οὗπερ καταστοχάζεται· ἀλλ' εἴη μοι αὐτῷ τε καὶ τοῖς ἄλλοις ἀκωλύτως γενέσθαι ὠφέλιμος· ἀπείη δὲ φθόνος καὶ πάθη καὶ ἔριδες τὰ ἐξ ἀρχῆς τὰ καλὰ καὶ τὰ χρήσιμα συνταράττοντα· δοκῶ μοι γὰρ ἤδη πνεῦμα ὑποπτεύειν κακοποιὸν ἡμῖν, μόνοις ἡμῖν τοῖς Ἕλλησιν ἐπεμβαῖνον καὶ διασεῖον, εἴτί πῃ φανείη πρὸς τὸ συμφέρον κοινῇ καθιστάμενον· τοιοῦτο γάρ τι ἐπειράθη μὲν ἔναγχος καὶ τὰ ἡμέτερα διασεῖσαι, ἀλλὰ διεψεύσθη τῆς πείρας· καὶ νῦν ἐσμὲν ἀπό τε τούτου ἀπηλλαγμένοι, ἐξωσθέντων τῶν ἐργολάβων, καὶ ἅμα διὰ τὸν νόμον ἀπὸ τῶν μαθημάτων διαπαυόμενοι ἐς μεσοῦντα τὸν μετὰ τοῦτον· ἐπασχολούμενοι δὲ περὶ τὴν ἐποικοδομὴν καὶ τὴν ἄλλην τοῦ Γυμνασίου ἐς τοὐπιὸν διακόσμησιν, ὅτε μάλιστα καὶ ἑτέρους αὐτόθεν παρὰ τῶν φίλων συνισταμένους ἡμῖν ἥδιστ' ἂν ἀποδεχοίμεθα. Ἔρρωσο.

*Σταύρῳ.* (6.)

Δεκάτη μὲν ἤδε, ἐξ οὗ τὰ σὰ τυγχάνω κομισάμενος γράμματα· πέμπτη δὲ καὶ εἰκοστὴ, ἐξ οὗ ταῦτα γέγραπται· ἀλλὰ καὶ οὕτω μὴ ἀμελείᾳ ἀναβεβληκέναι οἰηθῇς τὴν ἀπάντησιν, μὴ τοῦτο πάθῃς· ἀλλ' ὅτι πρὸς τῷ περὶ πολλὰ ἐνασχολεῖσθαι, οἷα εἰκὸς τὸν τοιούτου σχολείου φροντίδα δεξάμενον, περιέμενον ἰδεῖν καὶ ὃν μοι συνέστησας Πανταλέοντα· ὡς δὲ οὐκέτ' ἐκεῖνος ἐφαίνετο, ἡψάμην γραφίδος, κλέψας ἐμαυτὸν ἀπὸ τῶν φροντίδων, ὅσον ἦν πρὸς μέτρον ἐπιστολῆς, ἐφ' ᾧτε τὴν ἐκ τῆς ἀναβολῆς ὑπόνοιαν ἀνελεῖν, καὶ τὸ καθῆκόν μοι ἀποδοῦναί σοι ὄφλημα· Τὸν μὲν οὖν Πανταλέοντα οὔπω ἑώρακα· σὲ δὲ οἶδά τε καὶ ᾔδειν φίλον ὄντα τε καὶ ἐσόμενον, καὶ μάλιστα ἐν καιρῷ πολλάς μοι παρεχομένῳ αἰτίας τὴν τύχην μέμψασθαι, τῶν μὲν ἀθέων (δὸς τοῦτ' εἰπεῖν) δεισιδαίμονα καὶ ὑποκριτήν με καλούντων, τῶν δὲ δεισιδαιμονίᾳ κατεχομένων, ἀνάπαλιν, ἄθεον· τῶν δ' αὖ μέσων, εἴτινες εἶεν τοιοῦτοι τῆς ἀκριβείας φύλακες καὶ προστάται, καὶ τούτων πρὸς ἑκατέρους ἐπιῤῥεπόντων τῷ πάθει, ὁποτέροις ἂν ἕκαστος ἐγγύτερον ἔχῃ τῇ πρὸς ἑκάτερα ἐκεῖνα ῥοπῇ, ἐκείνοις αἱρουμένων συνέπεσθαι· ὥστε, εἴτις μοι σπινθὴρ ἐνῆν ἢ ἀρετῆς ἐκ μεσότητος, ἢ λόγων δυνάμεως, καὶ τοῦτον πολὺ ἐπηρείᾳ καὶ πολλαχῶς πρὸς τὴν κακίαν παραμοχλεύοντες παρ' ἑκάτερα, παντελῶς ἀποσβέσαι πολλὴν σπουδὴν μετ' ἀλλήλων πεποίηνται· καί τοι κακὸν μὲν αὐτῶν μηδένα πεποιηκότες μεμνήμεθα πώποτε· ὅτι δὲ εὐστοχώτερον, ἢ αὐτοὶ προσεδόκων, δοκοῦμεν τῶν ἐν ἡμῖν ἐπιτετραμμένων προΐστασθαι, θεῷ καὶ ἀνθρώποις καὶ τῇ φιλοστόργῳ πατρίδι ἀπροφασίστως τε καὶ ἀνεπιλήπτως, ὡς ἂν ἔγωγε φαίην, τὰ ὀφειλόμενα ἀποτίοντες, ταῦτα πάσχο-

μεν. Ταῦτ' οὖν σοι καινὰ παρὰ τῶν ἐν πόλει μεγάλῃ οἰκούντων· ὧν αὐτὸς, ἐν χωρίῳ σμικρῷ παροικῶν τῇ Σλατίνῃ, στερούμενος, δοκεῖς προσανακλάεσθαι πρὸς τὴν τύχην· ἀλλ' εἰ ταῦτά σοι δοκεῖ τραγικώτερα, ἢ προσῆκεν, ἔστι πάντως ἔμοιγε καὶ ἡδέα ἐν μέρει, ὅτι οὐ δοκεῖ παρὰ τοῖς πολλοῖς πάμπαν τὰ ἡμέτερα ἀνεπίφθονα· φθόνος γὰρ κατά γε τὸν Σταγειρίτην ἀνταγωνιστής ἐστιν εὐτυχούντων, εἰ μὴ εἰς ἀνήκεστόν τι τὸ συνεστὼς τοῦτο νέφος ῥαγήσεται. Ἔῤῥωσο· καὶ τὴν χρυσῆν τῶν σαυτοῦ μαθητῶν ξυνωρίδα κέλευε ταὐτὸν παρ' ἐμοῦ.

## *Πλάτωνι* (7.)

Ῥίψας τὸν βόλον, ἔχω τὴν ἄγραν, τοῦτ' ἅμα τὰ σὰ κομισάμενος γράμματα, ἔφην κατ' ἐμαυτόν· ὃ δε παραδοξότερον, ὅτι καὶ ἄγραν οὐχ οἵαν διαφεύγειν πειρᾶσθαι τὸν ταύτην ἀγρεύοντα, ἀλλ' οἵαν βούλεσθαι καὶ αὐτὴν θηρᾶσθαι ἐν μέρει τὸν μάλιστα ταύτης γλιχόμενον· ἐκ γὰρ ὧν ἀνέγνων, ἔγνων, ὅτι καί σε πάλαι ὁ αὐτὸς ᾕρει πόθος πρός με φιλίαν συνάψασθαι, καὶ νῦν δ' ἰδὼν αὐτὴν αὐθόρμητον ἥκουσαν, ἄσμενος κατεδέξω, καὶ εἰς τὰ οἰκία εἰσήγαγες. Τί οὖν ἂν εἴη τοῦθ', ὅπερ ἡμᾶς εἰς ἓν οὕτω παραδόξως συνήγαγεν; ὁ ἔρως, οἶμαίγε, τῶν καλῶν. εἰ δεῖ κἀμοὶ τούτων τι μετεῖναι καυχήσασθαι, καὶ τὸ ταὐτὰ φρονεῖν ἀμφοτέρους· γνῶμαι γὰρ, ξυνῳδὰ συμβαδίζουσαι, συνδεῖν τοὺς ἀνθρώπους πρὸς ἀλλήλους πεφύκασι, καθάπερ αὖθις διϊστᾶν στασιάζουσαι. Ἀλλ' εἴη ἡμῖν τὸ πρᾶγμ' ἐπὶ πλέον συμπροϊὸν, καὶ τὸν πόθον ἀεὶ ἐπισυνάγον θερμότερον. Ἀλλ' ἵνα σοι καὶ σύμβολόν τι δοίην τούτων, καὶ λάβοιμι ἕτερον, τῶν τε Ῥητόρων ἓν ἀντίτυπον ἕξεις, καὶ σύ γ' ἐν μέρει, προσθεὶς τῇ δυνάμει τὴν βούλησιν, συνεπισπεύσεις τό γ' ἐπί σοι τῶν ἀλ-

λων τὴν πρᾶσιν· καὶ τοσούτῳ γε μᾶλλον, ὅσῳ καὶ προκαταρκτικὸν ἑτέρου γε ἀγαθοῦ ἐν φίλῃ πατρίδι γαίᾳ μέλλει τὸ ἐκ τούτων ἀργύριον ἔσεσθαι· ὅπερ εἰ μὴ ἐκβαίη, οὐκ ἂν, οὐδ' ἂν εὐτυχέστατος τἆλλα δόξω, ἡ γῆ με ἄσμενον δέξαιτο. Ἔῤῥωσο.

*Λουκᾷ.* (8.)

Ἧκέ μοι γράμματα παρὰ σοῦ, νῦν μοι πρῶτον τὸ σὸν δηλώσαντα ὄνομα· ηὔφρανε μὲν οὖν τὰ γράμματα, ὡς εἰκὸς, ὑψηλῷ τε καὶ ἐμμελεῖ τῷ τοῦ λόγου χαρακτῆρι κεκοσμημένα· ηὔφρανε δὲ μᾶλλον ὡς καὶ τὸν θαυμαστόν μοι Λουκᾶν γνώριμόν μοι ποιήσαντα, καὶ τὸν τῶν φίλων ἀριθμὸν ἐπαυξήσαντα· ὃν ἔδει με πάλαι εἰδέναι, καὶ φίλον κεκτῆσθαι. Ἀλλ' οὖν ἡ μέχρι δεῦρο ζημία δοκεῖ μοι προσθεῖναί τι τῇ τῆς φιλίας κτήσει καὶ πολλαπλάσιον· πεφύκασι γὰρ οἱ ἄνθρωποι, ὧν ἂν ἐξ ἀρχῆς στερῶνται καλῶν, τούτοις προσγιγνομένοις ἥδιον ἔχειν· Ὁμολογῶ τοίνυν ἐπίτε τούτοις τὴν χάριν, καὶ ἐφ' οἷς καὶ τοῦ λοιποῦ εὐφρανεῖς με οὐχ ἥκιστα. Ἔῤῥωσο.

*Κομμητᾷ.* (9.)

Ἀκούω σε λούεσθαι καθ' ἑκάστην, ἰατρῶν κελευσάντων, τῶντ' ἄλλων νοσημάτων, καὶ δὴ καὶ τῶν ῥευμάτων ἀπαλλαγῆναι βουλόμενον· ἀλλ' οὐκ οἶδ' ὅπως ἀπερισκέπτως σε ἐν θερμοτέρῳ φασι τῷ λουτρῷ κατιόντα ἑψῆσθαι, καθάπερ οἱ ἐγχέλεις ἐν Ξάνθῳ, ὑπὸ Ἡφαιστείου πυρὸς κατεπειγομένῳ καὶ ἀνακοχλάζοντι, τοῦτο δὴ τῶν Ὁμήρου τὸ κομψότερόν τε καὶ μεγαλοφυέστερον· κἀκ τούτου σε συνεχέσι φλυκταίναις ἐξηνθημένον τῆς πυέλου ἀναδεδυκέναι· καὶ νῦν ἀφορήτοις συνέχεσθαι ταῖς ὀδύναις· Εἰ μὲν οὖν ἄκων πέπονθας τοῦτο, πολὺν ἄν τις σου καταχέοι τὸν γέλωτα, μὴ λαβόντος

ἀπόπειραν τοῦ ὕδατος, πρὶν ἢ καταδύναι· εἰ δέ γ᾽ ἑκὼν, ἵν᾽ ὡς τάχιστα τοῦ πάθους ἀπαλλαγείης, τὴν ἐπιτομωτάτην οὕτω βαδίσας, ὡς πολλῶν σοι ἂν ἐκ τῶν ἐγκαυμάτων ἐκκριθησομένων ὑγρῶν, εἴη σοι τοῦτο σωτήριον· καὶ γὰρ ὁ ἰατρὸς Φηλίτης, ὃς καὶ ταῦθ᾽ ἡμῖν τυγχάνει ἀπηγγελκὼς, ἐπελπίζει σοι ἐκ τούτου τὴν ἴασιν, κἂν ἄλλως καταγελᾷ σου τῆς ἀπογνώσεως· τινὲς δὲ τῶν παρ᾽ ἡμῖν ἀστειοτέρων καὶ εὐσεβεστέρων (δεῖ γάρ σε καὶ ταῦτα εἰδέναι) κἀκείνην τὴν γνώμην ἀπεφήναντο περὶ σοῦ, ὅτι εἴγέ σοι τὸ δέρμα κατὰ πᾶν ἐτάκη τὸ σῶμα, δεήσει σοι καὶ δευτέρου βαπτίσματος, ὡς συναπολεσθέντος τῇ δορᾷ τοῦ ὑπάρχοντος· καὶ ταῦτα μὲν ἄλλοι· ἐμοὶ δὲ δυοῖν θάτερον συμβαίνει πιστεῦσαι· ἢ ὅτι πολλῇ τῇ τῶν ῥευμάτων τρυχόμενος ἀλγηδόνι, εἰς ἀπόνοιαν ταύτην ἐλθὼν, ἔγνως ἀπαλλάξαι τοῦ βίου, τοὺς εἰς τοὺς κρατῆρας τοῦ πυρὸς ἑαυτοὺς ἐμβαλόντας, ὡς οἱ μῦθοι, ἀπομιμούμενος Ἥρωας· ἢ σεαυτὸν, ὥσπερ τὸν πατέρα αἱ Πελιάδες, ᾠήθης ἀνακαινίσαι· Εἰ οὖν θατέρου τούτων ὑπέσχης τὴν καρτερίαν, καὶ ὁποτέρου, τοῦτο βουλοίμεθ᾽ ἂν μαθεῖν, καὶ παραχρῆμα ἢ τοῖς Ἥρωσιν ἐκείνοις σε ἐγκατατάξομεν πάντως, ἢ τῆς Κολχικῆς γοητείας ὅτι μάλιστα θαυμασόμεθα. Ἔῤῥωσο.

*Γρηγορίῳ Κωνσταντᾷ.* (10.)

Ἐπέστειλάς μοι κελεύων φείδεσθαι ἑαυτῶν, πόνων ἀδιακρίτων ἀπέχεσθαι, εἴγε βουλοίμεθα παρατεῖναι τὸ ζῆν· ἀλλ᾽ ἔμοιγ᾽ αἱρετώτερον δοκεῖ δέκ᾽ ἔτη ἐπιβιοῦντα, τοὺς τὰ πράγματα διαδεξομένους καταλιπεῖν, ἢ εἴκοσι, μηδένα ἔχειν ὀπίσω ὡς εὐεργέτου ἐμοῦ μεμνημένον· ὁρᾷς δ᾽ ὅπως καὶ τὸ τῆς γλώσσης καλὸν ἐκλείπει κατὰ μικρὸν, ἄλλων ἄλλο σε εἰς ἀλλοτρίας ἕξεις ἐπτερωμένων, κἀκεῖθεν μάλα κούφως

σοφίαν ἐπικτήσασθαι ἐλπιζόντων· οὐ εἶγ᾽ ἀμελοῖμεν παντάπασι τοῖς τ᾽ ἐχθροῖς ἥδις᾽ ἂν πράξαιμεν, καὶ τῷ κοινῷ τῶν Ἑλλήνων ἀσυμφορώτατα. Ἔῤῥωσο.

*Κωνσταντίνῳ.* (11.)

Ἀκούω ἐφήδεσθαί σε μάλιστα, ὅτι οἱ πονηροί, ποικίλως ἐνιστάμενοι τοῖς ἡμετέροις βουλεύμασι πανταχοῦ, ἀπείργουσιν ἡμᾶς χρῆσθαι τῇ προαιρέσει· βούλονται γὰρ μήτε γεωργόν, μήτε σπέρμα τοῦ Ἕλληνος λόγου τοῖς ἐπιγιγνομένοις καταλειφθῆναι. Ἀλλ᾽ ἴστωσαν, καὶ οὕτω καταδιωκουμένους ἡμᾶς ὑπό τε αὐτῶν καὶ τῆς πονηρᾶς Ἀρχῆς, ἀλλ᾽ ἐξ ὧν ἐν γωνίαις καὶ ἐν παραβύστῳ διδάσκομεν, τριάκοντα καὶ πέντε μάλιςα τῶν τὰ ἐγκύκλια διδασκόντων καταλείποντας· ὧν τοὺς πλείους καὶ φιλοσόφους εἴτις εἴποι, οὐκ ἂν ἁμάρτοι· κρείττω γὰρ φιλοσοφίαν τῆς τοῦ Σωκράτους οὐδεὶς οὐδεμίαν ἐγκρίνει λόγος· εἰ δὲ βούλοι ἐπαριθμεῖν ἐν τοῖς εἰρημένοις ἰατρούς, πολιτικούς, ἐμπορικούς, καὶ τοιούτους τινάς, ἐπιλείψει σε ὁ χρόνος ἀνιστοροῦντα. Ταῦτ᾽ οὖν πεποιθώς, διάσυρε χαίρων, ὡς προσήκει καλῷ κἀγαθῷ, τὰς ἐμὰς πράξεις ἐν ταῖς τῶν ἀνοήτων διατριβαῖς. Ἔῤῥωσο.

*Ἰωάννῃ.* (12.)

Καθάπερ ἐπὶ τῶν φυτῶν, οὕτω κἀπὶ τῶν νέων ἡ πρώτη φυὴ δείκνυσι τὸν μέλλοντα καρπὸν τῆς ἀρετῆς φησὶν ὁ Δημόφιλος, τοῦθ᾽ ὅπερ ἅμα τὰ σὰ γράμματα ἀναγνούς, καὶ ὃν ἔχεις πρὸς τὴν παιδείαν ἔρωτα γνούς, ἀνεμνήσθην κατ᾽ ἐμαυτόν· Ἥσθην οὖν, ὅτι παρακαλεῖς με, ἐφ᾽ ἃ ἂν ἐγὼ μᾶλλόν σε καὶ ἐπαινῶ μέν σε τῆς περὶ τοὺς λόγους προθυμίας, νῦν ἀκούσας· ἐπαινέσομαι δὲ καὶ μᾶλλον, οἶμαι, ἰδὼν ἐκεῖνο

δὲ λυπεῖ με ἐν μέρει, ὅτι καὶ σὲ, ὥσπερ οὐκ ὀλίγους καὶ ἄλλους τῶν ἐς δεῦρο πανταχόθεν ὡς ἡμᾶς συῤῥεόντων, ἡ πενία πιέζει· ἐφ' ᾧ ἐς τοῦτ' ἀμηχανίας ἀφῖγμαι ὅ,τι πρὸς τὸ ἐρωτώμενον ἀποκρίνωμαι σαφῶς, ὥσθ' οὔθ' ὑποσχόμενος, δοκῶ μοι τοῦτο καλῶς ποιεῖν, οὔτ' αὖ πάμπαν τὴν βοήθειαν ἀπογνούς· τὸ μὲν, ἵνα μὴ δόξω ποθ' ὕστερον ψεύσασθαι τὴν ὑπόσχεσιν· τὸ δὲ, ὅτι ἄδικον κρίνω, εἰ τοὺς ὡς ἐμὲ φοιτᾶν βουλομένους, δόξαιμι ἀποπέμπεσθαι. Ἴσθι τοίνυν τὸ καθ' ἡμᾶς Γυμνάσιον καὶ νῦν καλῶς ἔχων, κἀν τῷ μέλλοντι ἐπὶ τὸ κρεῖττον, εἰ θεὸς θέλοι, χωρήσειν ἐλπίζεται· τὸ δὲ καὶ τρέφεσθαι ἀπὸ τούτου τοὺς μαθητὰς, τοῦτ' οὐκ ἐπ' ἐμοὶ, ἐπὶ δὲ τοῖς Ἐφόροις καὶ Ἄρχουσι κεῖται, κἀπὶ τοῖς μαθηταῖς αὐτοῖς, πεῖραν δοῦσι πρότερον τῆς ἐπιμελείας καὶ ἐπιδόσεως· Εἰ οὖν ἀληθῶς Μουσῶν ὑμῖν ἔρως ἐντέτηκται, προσέλθετε· κἀκεῖναι, ἴσως οὐκ ἀγνώμονες ἔσονται· προσθήσω δὲ κἀγὼ τό γε ἐπ' ἐμοὶ τὰ εἰκότα. Ἔῤῥωσο.

*τῷ Ἡγεμόνι.* (13.)

Τῶν μὲν σωματικήν τινα νόσον νοσούντων πρὸς τοὺς τὰ τοιαῦτα τῶν παθῶν θεραπεύειν ἐπαγγελλομένους ἡ ἀνάγκη καταφεύγειν διδάσκει· ἐμὲ δὲ καὶ τὴν ψυχὴν ἤδη νενοσηκότα νόσον ὀδυνηρὰν καὶ οἵαν μήτε μάλαγμα κατὰ τὸν προφήτην, μήτε καταδέσμους ἀνωδύνως καὶ εὐχερῶς ἐπιδέχεσθαι; πρὸς τίνα καταφυγεῖν δεῖ, εἰ μὴ πρὸς σὲ τὸν καὶ λόγῳ παιδεύοντα, καὶ φιλανθρωπίᾳ ἰώμενον; σὲ γὰρ, εὐμενέστατε Ἡγεμὼν, καὶ λόγος ὀρθὸς, καὶ φήμη ἡ πάντα κατέχουσα, Ἥρωα τοῦ παρόντος αἰῶνος εἶναι ὁμολογοῦσι· προαίρεσιν γὰρ πεπλουτηκὼς ἐκ τῆς φύσεως, εἴληφας καὶ τὴν δύναμιν δῶρον αὐτῆς θεόθεν, ἵνα πάντα κινῇς πρὸς τὸ σώζεσθαι, ὃς μέγιστος ἀρετῆς καθέστηκεν ὅρος, καὶ ἐφ' ᾧ οὐδεὶς μεταμε-

μέληται πώποτε· τὰ μὲν γὰρ ἄλλα πράττοντες ἄνθρωποι τῷ παραυτίκα πάθει παρασυρόμενοι, οὐκέθ᾽ ὅμοιοι εἰσὶν ἑαυτοῖς, τοῦ θυμοῦ παυσαμένου, οὐδ᾽ ὧν περ ἔπραξαν ἔθ᾽ ἡδέως ἐθέλουσι μνημονεύειν· τὰ δὲ καλὰ οὐ μόνον αὐτοὶ παραφυλάττειν ἀνεξάληπτα τῆς μνήμης σπουδάζουσιν, ἀλλὰ καὶ τῶν ἄλλων ὁμολογούντων, μάλιστα ψυχαγωγοῦνται, καὶ εἰς τὸν ἔπειτα χρόνον παραμένειν καὶ διαμένειν πολλὴ αὐτοῖς ἡ σπουδὴ καὶ ἡ πτόησις· τοιοῦτον γὰρ ἡ ἀρετὴ, οἷον ἐπὶ λυχνίας τοῖς πᾶσιν ἐθέλουσα φαίνειν· ἣν σὺ Ἡγεμόνων ἐπιεικέςατε, πᾶσαν ἔχεις ἐν σεαυτῷ συλλαβών· καὶ δι᾽ ἣν κἀγὼ δεῦρο ἐλθὼν, καὶ τὴν σὴν δόξαν διαιωνίσαι περὶ πολλοῦ ποιησάμενος, ἐφ᾽ οἷς νύκτωρ καὶ μεθ᾽ ἡμέρας ἐπόνησα, καὶ τὸ ἐμπιστευθέν μοι κατ᾽ ἀγαθὸν γεωργὸν ἐγεώργησα, καὶ τὸ λήϊον εὖ μάλα εὔσταχυ ἀπειργασάμην, νῦν τοῦ φθόνου κρείττονος γιγνομένου, συμφορᾷ, οἵαν οἶσθα, περιπεσὼν, παραδίδωμι ἐμαυτὸν τῇ σῇ προστασίᾳ, τὴν ὑψηλήν σου εὔνοιαν καὶ εὐμένειαν ἐξαιτούμενος, ἵνα τόγε λοιπὸν, εἴτι μοι παρὰ τῆς θείας Προνοίας ἔτι διώρισται ζῇν, ὑπὸ τὴν σὴν ἐπιείκειαν ἐν ἀσφαλείᾳ καὶ ἡσυχίᾳ διαβιώσω.

### *Κυρίλλῳ τῷ πατριαρχεύοντι.* (14.)

Τοὺς μὲν ποταμοὺς εἰς τὰς θαλάσσας ῥεῖν ἡ παροιμία φησὶ, Παναγιώτατε δέσποτα· ἡμᾶς δὲ τούς τε λόγῳ παρὰ τοῦ σοφοῦ κεκοσμημένους δημιουργοῦ, καὶ ὑπὸ μητρὶ τῇ Ἐκκλησίᾳ ἀνατραφέντας, καὶ τὰ θεῖα δόγματα παιδευθέντας, οὐ πρὸς τὸ στοιχειῶδες ὕδωρ τουτὶ τὸ ἐπίκηρον καὶ φθαρτὸν, ἀλλὰ πρὸς σὲ τὸ ζῶν καὶ ἀλλόμενον ὅ,τε ὀρθὸς λόγος καὶ ἡ τάξις τυγχάνει παιδεύουσα προσιέναι· ἡ γὰρ μήτηρ καὶ τιθηνὸς Ἐκκλησία, οὐ μόνον ἐφ᾽ οἱοισδήποτε νύκ-

ἔτι λόγῳ, ἀλλ' ἅμα καὶ ἰᾶται τὰ τέκνα, εἴτις ποτὲ πάθοι τι, τῇ στοργῇ καὶ τῷ πόθῳ. Πρὸς ταύτην οὖν τὴν φιλόστοργον ζωοδότην, πολλὰ ἤδη καὶ ἀνύποιστα συμβάν μοι παθεῖν, δεῖ με καταφυγεῖν, ἵνα πιὼν ἐπ' ἀδείας ἐκ ταύτης, μηκέτι διψήσω εἰς τὸν αἰῶνα.

Δεκάτη αὕτη, Παναγιώτατε Δέσποτα, ἐξ ἧς συνέβη μοι συμφορᾷ μεγίστῃ περιπεσεῖν, καὶ οἵαν οὔθ' ἡ ψυχὴ, οὔτε τὰ δάκρυα ἐπιτρέπει ἀκριβῶς ἐξηγήσασθαι. Ζακίνθιος γάρ τις τῶν μαθητῶν, φύσει τε τολμητίας τυγχάνων, καὶ προαιρέσει προσλαβὼν τὸ κακότροπος εἶναι, τὸ μὲν κατ' ἀρχὰς ἐπεδείκνυε φιλομάθειαν, καὶ διὰ τοῦθ' ἱκανῆς παρ' ἐμοῦ φιλανθρωπίας τετύχηκεν· εἶτα διαστραφεὶς οὐκ οἶδ' ὑφ' ὅτων (οὐδὲ γὰρ ταῦτ' ἐξειπεῖν μοι ἀκίνδυνον) τούς θ' ἑαυτοῦ συμφοιτητὰς εἰς συνωμοσίαν διὰ πολλῶν ἐπειρᾶτο προσαγαγέσθαι, καὶ τὸν ἑαυταῦ διδάσκαλον ἐμυκτήριζεν· Ἐν τούτοις οὖν μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν ἐγὼ, ἐπειδὴ οὔτε παύσασθαι ἤθελεν, οὔτε μὴν ἀποσχέσθαι τῶν μαθημάτων, ἀλλὰ καὶ πρὸς ἐμὲ ταῦτά ἐξυβρίζειν κατὰ βραχὺ θρασυνόμενον, ἐξέβαλον αὐτὸν τοῦ Γυμνασίου ὡς μέλος σεσηπὸς καὶ ὀλέθριον. Ἐντεῦθεν οὖν ἀφορμῆς εὐπροσώπου λαβόμενος, ἵνα πράξῃ τὸ οὐκ ἂν εἴποιμι ὑφ' ὅτου γε προσταττόμενον, παραφυλάξας ἐμὲ ἀπερχόμενον ἅμ' ἕῳ εἰς τὴν Ἐκκλησίαν, ἵησιν ὁμόσ' ὄπισθεν ἀφανῶς τῷ ῥοπάλῳ, καὶ πατάξας ἐπὶ κόῤῥης, αὐτὸς μὲν τρέπεται εἰς φυγὴν, ἐγὼ δὲ πεσὼν, παραχρῆμα τῶν τε φρενῶν ἐξέστην, καὶ τὸ φῶς παντάπασι προσαπώλεσα· ὡς δὲ ἐπανῆλθέ μοι ὀψὲ μετὰ τοῦ φωτὸς καὶ ὁ νοῦς, φοράδην ἀποκομισθεὶς οἴκαδε, μετὰ τρίτην αὖθις ἡμέραν, ἐπειδὴ τὸ σκοπούμενον τοῖς κακούργοις οὐκ ἔλαβε τὸ ποθούμενον τέλος, ἑτέραν σκευωρίαν ψυχικὴν κακουργοτέραν τῆς πρώτης ἔμοίγε ἀκούω νῦν αὐτοὺς ἐπιβαλλομένους τυρεῦσαι, ἵν' αὐτοί τε

ἑαυτοῖς παρακαλύψωσι τὸ κακούργημα, κἀμοὶ παρὰ τοῖς πολλοῖς μηδέ γε λείψανον ὑπολήψεως ταῖς διαβολαῖς ἀπολίπωσι· διὸ ἐκ κινδύνου εἰς κίνδυνον ἀπὸ τοῦ σωματικοῦ εἰς ἕτερεν περιπεσὼν χαλεπώτερον, ἠνάγκασα ἐμαυτὸν, μικρὸν τῆς κλίνης ἀνακουφίσας, παῤῥησιάσασθαι πρὸς τὴν ὑμετέραν φιλανθρωπίαν, ἴασιν τοῦ πάθους ἐλπίζων εὑρήσεσθαι· ἔχει δὲ οὕτω.

Τρίτον ἤδη ἔτος τουτὶ, Παναγιώτατε Δέσποτα, ἐξ οὗ μοι ὅ,τε Αἰσχίνης ἐκδέδοται ὁ Σωκρατικὸς, καὶ ἄλλ' ἄττα ἐμὰ περὶ πολλῶν πραγμάτων πονήματα· ἀλλ' ἐν τούτῳ οὔθ' ἡ Ἐκκλησία ἐφάνη πη ἀπαρεσκομένη τοῖς λόγοις ἐκείνοις, οὔθ' οἵσπερ ὁ ὀρθὸς λόγος καὶ ἡ περὶ ταῦτα ὑψηλοτέρα θεωρία κατ' εὐκληρίαν συνῆλθον ἅμα, εἴρηταί τι κατὰ τούτων· τῶν δὲ μέσων καὶ τῶν ἔτι κατωτέρω κειμένων τινὲς, οἱ μὲν τῷ τῆς Ἑλλάδος φωνῆς ἅψασθαι ἐπιλίγδην, τῆς ἐν τοῖς λόγοις διανοίας ὅλως διαμαρτάνοντες, οἱ δὲ καὶ δεισιδαιμονίᾳ φλεγμαίνοντες, οὐκ ἔστιν ὅ μου οὐκ ἐπεβάλοντο κατειπεῖν, ὑφ' ὅτου μὲν κινούμενοι, ἔγωγε μὲν οὐκ ἂν εἴποιμι, Ἡσίοδος δ' ὁ ποιητὴς ἀκριβῶς ἐξηγήσατο, τοὺς ὁμοτέχνους ἀντιτέχνους εἰπών· Οἱ τοιοῦτοι τοίνυν οὐχ ὅπως αὐτοὶ οὐκ ὤκνησαν καταψεύσασθαι, ἄττα οὔτ' ἐμοὶ φορητὰ, καὶ οἷς πρόσεστι κρίσις, εἰς ἀκοὴν ἐλθόντα παράδοξα, ,ἀλλὰ καὶ τὸν χύδην ὄχλον εἰς παραλογισμοὺς πρὸς τὸ ἐπιλήψιμόν με ὑπολαμβάνειν κατ' ὀλίγον παραμοχλεύουσι· καὶ νῦν, περιστάσεώς μοι ταύτης δεινῆς καὶ ἀπροσδοκήτου ἀναξίως τῶν ἐς τὸ κοινὸν πονηθέντων μοι συμβάσης, βαρβαρικώτερον πεπτωκότι μοι νῦν ἐπεμβαίνουσιν.

Ἐγὼ δ' οὖν τούτοις μὲν, ὡς μήθ' ὅ,τι λέγουσι, μήθ' ὅ,τι ποιοῦσι μετ' ἐπιγνώσεως, μήτ' εἰδόσι, μήτε βουλομένοις εἰδέναι, συγχωρῶ κατά γε δεσποτικὴν ἐντολήν· ἐπειδὴ δὲ ἔγνων νῦν ἰδιωτεύειν τοῦγε λοιποῦ, ἡσυχίαν ἄγων ἀπὸ τοῦ

ἐπαγγέλματος, πρόσειμι πρὸς τὴν ὑμετέραν Παναγιότητα, ἐκεῖνό γε δεησόμενος, εἰ μὲν ὁ πολύς μοι ζῆλος περὶ τὴν καθαρὰν καὶ ἄμωμον πίστιν, καὶ τὴν πρὸς τὸν πλησίον ἀγάπην, ἢ ἐν λέξει, ἢ φράσει, ἢ ὅλως ἐν τῷ διαλογικῷ ἰδιώματι (ἔγωγε γὰρ οὐδὲν τοιοῦτον σύνοιδα γενόμενον ἐμαυτῷ) παρέσυρέ τι ἐπιλήψιμον εἰς τὴν βίβλον, τοῦτό μοι ἐξελέγξαντ', ἐπιτάξαι, ὅπως ἂν ἡ σύνεσις, καὶ τὸ περὶ ταῦτα θεοσεβές τε καὶ ἐπιεικὲς ὑπαγορεύῃ, τὴν ἐπιδιόρθωσιν τούτου· εἰ δὲ τοὐναντίον ἐστὶν ἀνεπίληπτα, ὡς ταῖς ἀληθείαις ὑπάρχει, κἀγὼ ἀναξίως καὶ παρὰ λόγον σπαράττομαι ὡς ὑπὸ θηρίων, ποιῆσαί με ἀπαλλαγῆναι, οἷς οἶδας τρόποις ἐπιεικεστέροις, τῆς καταβοῆς τῶν ἐξ ἀρχῆς τἀμὰ πολεμούντων· οὐ γὰρ ἄξια ταῦτ' ἀπολαμβάνω τῶν ἐς τὸ κοινὸν ὄφελος ἀνυπερβλήτων μοι πόνων, καὶ ἀναλωμάτων· τὸ γὰρ ἐμὸν τουτὶ τάλαντον εἰκοστὸν ἤδη ἔτος μεταδιδόμενον, καὶ ὅλαις μετοχετευόμενον ταῖς δυνάμεσι, καὶ διὰ τοῦτο τὸ ἀντίζηλον τοῖς τἀμὰ πολεμοῦσι κεκινηκὸς, εὐγνωμοσύνης με καὶ ἀμοιβῆς καθίστησιν ἄξιον, οὐ διωγμοῦ καὶ σκευωριῶν πανταχόθεν, οἷς τοὺς κακούργους καθυποβάλλουσι.

Ταῦτα, Παναγιώτατε Δέσποτα, ἀπὸ κλίνης ὀδυνηρᾶς ἔνδακρυς μὲν πάντως, τεταραγμένος δὲ καὶ τὸν νοῦν διὰ τὴν περίστασιν, καὶ τὴν χεῖρα ἀδυναμίᾳ σφαλλόμενος, μόλις ἔγραψα· καὶ οἶδα, μᾶλλον δὲ σαφῶς πέπεισμαι, ὅτι καὶ τὴν σὴν πρᾳοτάτην ψυχὴν εἰς οἶκτον κινήσει τὰ γράμματα, ὥς' ἀναβοῆσαι μετὰ τοῦ πρᾳοτάτου Δαβὶδ, φείσασθε ὑμεῖς τοῦ υἱοῦ μου Ἀβεσαλὼμ, φείσασθε οἱ κραταιοὶ τῆς γῆς, καὶ σφόδρα ἐπηρμένοι καὶ βίαιοι.

*Τῷ αὐτῷ.* (15.)

Ἐμοὶ μὲν καὶ πρώην πάνυ εὐμενῶς ἐν μεγίσταις συμφο-

ραῖς ἀπήντησε παρὰ τῆς ὑμετέρας Παναγιότητος τὰ πρὸς εὔνοιαν, καὶ νῦν μὴ ἔλαττον ἔχειν ἐγώ τ' αὐτὸς σύνοιδα, καὶ ὁ ἐλλόγιμος Ζαχαρίας αὐτόθεν ἐλθὼν, τοῦτ' αὐτό μοι προσεβεβαίωσεν· εἶδε μεταξὺ συνέβη μοι καί τοι παρ' ἐλπίδα παθεῖν, τοῦτ' ἦν πάντως (καὶ ἴσασιν ἅπαντες) τῶν τυράννων, ὧν τοῖς βουλήμασιν ἐπιπροσθεῖ ἀεὶ τὰ καλὰ, καλῶς κατορθούμενα· βουλόμενοι γὰρ αὐτοὶ ταῖςτε δυνάμεσιν ἀεὶ καὶ τῇ τοῦ βίου προὔχειν λαμπρότητι, πολεμοῦσιν ἀσυνειδότως ταῖς κοιναῖς ὠφελείας καὶ ἐπιδόσεσι, χαμαὶ βαίνειν τοὺς ἄλλους καταμηχανώμενοι· ἵνα δῆθεν αὐτοῖς, ὡς πρὸς Δίας τινὰς, ἐφ' ὑψηλοῦ καθημένους θρόνου τὴν λατρείαν προσφέρωμεν, καὶ τοὺς ἐκεῖθεν κατασκήπτοντας κεραυνοὺς καταπτήσσωμεν· καὶ τοῦτό γε μαρτυροῦσί μοι πάντες οἵγ' ἐνταῦθα τῆς αὐτῶν μοχθηρίας διὰ πολλοῦ πειραθέντες, καὶ τὸ κακόηθες πολλαχῶς συνιέντες. Ἀλλ' ἐκεῖνοι ἤδη ἱκανὴν δεδώκασι δίκην, μεταμεληθέντες νῦν ἐπὶ πᾶσιν, οἷς ἔφθασαν πράξαντες· ἴχνος γὰρ κακίας ἡ μεταμέλεια, ὁ ἀδυσώπητος τῆς συνειδήσεως τύραννος· ἀλλ' ἱλήκοι αὐτοῖς ὁ θεός· τοῦτο γὰρ ἡμῖν εὐπρεπὲς αὐτοῖς εὔχεσθαι. Νῦν δὲ καὶ παράδοξόν τι ὁ αὐτός μοι κεκόμικεν ἄγγελος· εἴρηκέ μοι γὰρ δι' ἐφέσεως ἔχειν τὴν ὑμετέραν Παναγιότητα καὶ αὖθις καὶ πολλάκις ἐντυγχάνειν τοῖς ἐμοῖς διαλόγοις, ὡς δῆθεν ἀστείοις· ἐγὼ δὲ βουλοίμην μὲν ἂν καὶ καλόν τι αὐτοῖς ἐνυπάρχειν· ἀλλ' οἶδ' αὐτῶν μὴ κατὰ τρόπον ἐνίους συντεθειμένους· ἀλλ' ὡς τὰ πράγματα τότε ἔπειθε· τέως δ' οὖν ὅπως ἂν ἔχῃ, ὡς ἐκ πολλῆς σου συγκαταβάσεως, πέμπεται τὸ βιβλίον, μέχρις ἂν, εἰ θεὸς θέλοι, καὶ ὑψηλοτέρας καὶ ἐμβριθεστέρας ὕλης ἐμπλήσας τὰς χεῖρας, ὀφθῶ ἐναντίον σου.

*Ἀντωνίῳ τῷ πατάξαντι κατὰ κόῤῥης.* (16.)

Τῆς μὲν συγγνώμης, ἣν παρ' ἐμοῦ δοκεῖς ἐξαιτεῖσθαι, ἐφ' οἷς ἔργον ἀνοσιώτατόν τε καὶ ἀγνωμονέστατον ἔπραξας, πρὸς ὃν μεγίστην εὐγνωμοσύνην ὀφείλων ἐτύγχανες, ταύτης ἔτυχες, ἀφ' ἧς ἡμέρας ὤφθης τὸ μέγιστον ἐκεῖνό με δράσας κακὸν, μονονουχὶ ἀφελών με τὸ ζῆν, μισοκάλοις τυράννοις οὐκ οἶδ' ἐφ' ὅτῳ πεισθείς· οὐ γὰρ καλὸν ἔμοιγε, οὐδ' ἄλλως εὐπρεπὲς μνησικακεῖν καὶ πρὸς ἄλλον, πολλῷ μᾶλλον πρὸς σὲ, ὃν καὶ μάλιστα πάντων εὖ ἐποίησα καὶ ἐφίλησα, καὶ ταῦτα τῆς ἐντολῆς κελευούσης πρὶν δῦναι τὸν ἥλιον ἀφιέναι τοῖς ὀφειλέταις· καὶ γὰρ καὶ ὁ Σωτὴρ τὸν ἐπὶ σταυροῦ ἐπώδυνον θάνατον ὑπομείνας, ἄφες αὐτοῖς ἔλεγε πρὸς τὸν συνάναρχον αὐτοῦ πατέρα, ἄφες αὐτοῖς, πάτερ· οὐ γὰρ οἴδασι τί ποιοῦσιν. Ὅσον μὲν οὖν παρ' ἐμοῦ ἔςαι σοι, ὃ αἰτεῖς, καὶ μηκέτι μηδέν σοι μελέτω τούτου· μελέτω δὲ μόνον, ὅτι πρὸς τῷ ἐμῷ πάθει κακῶς ἐποίησας καὶ ἑτέρους πολλοὺς μαθητὰς ἐς τετρακοσίους, καὶ πρότερον, οἷς ἐσκευώρεις, κωλύων αὐτοῖς τὴν ἐπίδοσιν, καὶ νῦν ὕστερον ἀπογνῶναι τοῦ πράγματος αὐτοὺς ἀναγκάσας, τὸν καθηγητὴν καὶ πατέρα αὐτῶν οὕτω παραβόλως ἀποκτεῖναι ἀποτολμήσας· τοῦτο γὰρ ἦν σοι, ἢ διὰ σοῦ τὸ σκοπούμενον τοῖς τυράννοις· Οὗτοι τοίνυν περιϊόντες τὴν πόλιν καὶ καταρώμενοι, ἐπικαλοῦνται ἐπὶ σὲ καὶ τοὺς κατὰ σὲ τοὺς Ἀλάστορας καὶ τὰς Ἐριννύας. Τὴν οὖν πρὸς τούτους ἀμπλακίαν σοι οὐδεὶς ἂν εἴη ἐγγέγγυος συγχωρῆσαι· τίς γὰρ αὐτὸν κατέστησεν ἐπίτροπον; μόνος δὲ ὁ ἐτάζων καρδίας καὶ νεφροὺς, καὶ ἑκάστῳ ἀπονέμων τὸ κατ' ἀξίαν, αὐτὸς ἵλεως γένοιτό σοι· εἰ δὲ καὶ τῆς παρ' ἐμοῦ συμβουλῆς χρήζεις πρός τε ἤθους διόρθωσιν καὶ ἀπαλλαγὴν ἀπὸ τῆς ἀρᾶς τοῦ κοινοῦ, οὐδὲν ἂν εἴποιμι ἄμεινον, ἢ τὰ κοινὰ

καὶ τοὺς ὑπὲρ τῶν κοινῶν ἀεὶ κοπιῶντας σέβεσθαι ὅτι μάλιστα, ὅσον ἂν ζῇς καὶ βλέπῃς τὸν ἥλιον· ἐκ τούτων γὰρ ἄφεσις τις ἔσοιτ' ἄν σοι. Ἔῤῥωσο.

### *Τῷ Λογάδῃ* (17.)

Ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
Λιπὼν· ἵν' ᾅδης χωρὶς ᾤκισται θεῶν Νεόφυτος.

Ἀλλὰ τὸν μὲν τῆς Ἑκάβης ἐπιθυμία πάντως χρυσοῦ εἰς ᾅδου κατήγαγεν· ἐμὲ δὲ τοιοῦτον μὲν οὐδὲν· φθόνος δὲ, ὁ μὴ εἰδὼς προτιμᾶν τὸ συμφέρον· ὅσῳ γὰρ ἡμῖν εὖ προὐχώρει τὰ πράγματα, τοσούτῳ πλέον ἐκεῖνος ἐδόκει ἐκμαίνεσθαι· οἰηθέντες γὰρ, ὡς ἀκριβεστάτῃ ἐπιμελείᾳ χρησαίμεθα, τάχ' ἂν οὕτω κατασβέσαιμεν ἐκείνων τὴν λύτταν, ἐλάθομεν ἑαυτοὺς πλέον ἐφ' ἡμᾶς ἐρεθίσαντες, μὴ εἰδότες τὸ σοφῶς εἰρημένον ὡς κύνες μὲν τρεφόμενοι ἡμεροῦνται, καὶ λέοντες θεραπευόμενοι χειροήθεις γίγνονται· οἱ δὲ βάσκανοι ταῖς θεραπείαις μᾶλλον ἐξαγριοῦνται· καὶ τὰ μὲν καθ' ἡμᾶς τοιαῦτα· τὰ δὲ ἔξω πῶς; οἴμοι! παταγέντος γὰρ τοῦ ποιμένος, καὶ τῶν ὑπ' αὐτῷ συνεργούντων ἄλλων ἄλλο σε καταδύντων, τετρακόσιοι μαθηταὶ πατέρα καὶ διδάσκαλον ἀπολέσαντες, καὶ νῦν ἔτι ὀγδοηκοστῇ με ἡμέρᾳ νοσιλευόμενον αἰσθανόμενοι, οὐκ ἔχουσιν ὅπως τὸ πάθος ψυχαγωγήσωσιν· οἱ δὲ γονεῖς αὐτῶν αὖθις ἐπικαλοῦνται τὰς Ἐριννῦς, ὅπως πόρπας λαβοῦσαι, τάς τε τοῦ ἐμοῦ Πολυμήστορος ἐκκεντήσωσι κόρας, καὶ τῇ ἀπωλείᾳ τῶν παίδων τοὐμὸν ἀπομόρξωνται αἷμα· Ἡμεῖς δ' οὖν ἀλγοῦμεν μὲν, ὡς εἰκὸς, ἐπὶ τούτοις, πολλῶν καὶ μεγάλων, ὦ θεέ! ἀποστερηθέντες ἐλπίδων· συγχωροῦμεν δ' αὐτοῖς, τῷ δεσποτικῷ πειθόμενοι παραγγέλματι. Ἔῤῥωσο.

## *Τῷ αὐτῷ* (18.)

Ἐγὼ μὲν ᾤμην, τὰ κατ' ἐμαυτόν σοι ἐκτραγῳδήσας, μηκέτι δεήσειν με ἐπιστεῖλαι, πρὶν ἂν καὶ κομίσωμαί τι παρὰ σοῦ· νῦν δὲ λόγου ῥυέντος συχνοῦ παρὰ τοῖς λογίοις πολλά σε προσανακλαύσασθαι πρὸς τοὺς φίλους περὶ ἐμοῦ, καταμεμφόμενον λίαν, ὡς δῆθεν κακῶς σε εἰπὼν, κατεῖπον ὁμοίως καὶ τῆς σῆς νεοσυντάκτου καὶ κοινωφελοῦς Κιβωτοῦ, ἅττα οὔτ' ἐκείνη ἀνασχετὸν ἂν εἴη ἀκοῦσαι, οὔτ' ἐμοὶ προσήκοντα κατειπεῖν· καὶ μάλιστα, μήτ' ἰδών πω μήτε κρίνας περὶ αὐτῆς· διδαχθέντα δὲ τὴν ἀλήθειαν ταύτην δῆθεν ἐκ δύο γραμμάτων, ἐντεῦθεν ἐπισταλέντων, ἀπορεῖν, ὅπως εἰς τοῦτο προελήλυθα ἀτοπίας, ὁ πάντα τὸν πρόσθεν χρόνον παρὰ σοῦ ἐπαινούμενός τε καὶ εὐνοούμενος. Ὁ μὲν οὖν λόγος τοιοῦτος· ἐγὼ δὲ πολλὰ ἀνακυκλήσας κατὰ νοῦν περὶ τῶν παρόντων, ἐδικαίωσα μέν σε περὶ τῆς μέμψεως, οὐκ ἂν δυναίμην δὲ μὴ καταμέμψασθαί γε τῆς πίστεως, πολλῶν διαβολῶν ἱστορίαν συναγαγόντα, καὶ τὰ κατ' ἐμὲ νῦν εἰδότα, πλήρη ὄντα ἐπιβουλῶν· πλεία μὲν ἡ γῆ, πλεία δὲ ἡ θάλασσα· ἀλλὰ καὶ τὰ γράμματ' ἐκεῖνα, εἴγ' ἀληθείας ἔχοιτο ταῦτα, ἔμοιγ' ὅσον, ἐξ ὧν πολλάκις πεπείραμαι, ἐστὶν εἰκάσαι, ἀνώνυμα, ἢ γοῦν ψευδώνυμα εἶναι, εἰ μή τις παντάπασιν ἀναίσχυντος εἴη, τοιοῦτον ψεῦδος ἀνατιθέμενος, πιστεῦσαι ξυμβαίνει· οἱ γὰρ τἀμὰ πολεμοῦντες παντοίως καὶ τῆς σῆς εὐνοίας ἀπογυμνῶσαί με ἐπειράθησαν, δεινὸν ποιησάμενοι, εἰ ὁ Δούκας τιμᾶται παρὰ Λογάδῃ ἀνδρὶ τὰ πρῶτα φέροντι τῆς παιδείας· καὶ οὐδὲν ἀπεικός· πονηροὶ γὰρ ὄντες καὶ γόητες ἀεὶ ἐπὶ τὰ χείρω προκόπτουσι· καὶ ταῦτα μὲν οὕτως ἔχει· σὲ δ' ἀξιῶ, εἰ τοιοῦτό τι πέπονθας, ὥστε πιστεῦσαι τοῖς τἀμὰ παντοίως ἐπιβαλλομένοις διαβαλεῖν, ἀπομαθεῖν μὲν τὴν ταχίστην τὰ παρ' ἐκείνων τετυρευμένα· πιστεῦσαι δὲ τῷ καὶ φιλοῦντι καὶ θαυ-

μάζοντι τὴν σὴν ἀρετήν· εἰ δ' ἄλλος λόγος ἐστὶ ταῦτα κενὸς, πεῖραν οὕτω τῆς πρὸς ἀλλήλους φιλίας ἡμῶν λαμβάνειν ἐθελόντων τινῶν, ἀλλὰ καὶ οὕτως, ὡς ὑπόπτοις γε οὖσιν, εἴ ποτε δυνηθεῖεν, τοιαῦτά μου πρὸς σὲ καταψεύσασθαι τοῖς τοιούτοις παντάπασιν μὴ πιστεύειν, ὄφιν, καὶ φρῦνα, καὶ κύνα λυσητὴν φυλαττόμενον. Ἔῤῥωσο.

Τῷ αὐτῷ (19.)

Τρίτον μοι ἤδη τοῦτο πρὸς σὲ, ἐξ οὗ μοι τὰ πράγματα δεδυστύχηται· αἰτία δὲ ἡ αὐτὴ, δι' ἣν καὶ τὰ δεύτερά μοι ἐπέσταλται· ἀναγνωσθέντων γὰρ τῶν πρὸς Στέφανον Κομμητᾶν σοι ἐπισταλέντων, βεβαίωταί μοι, ἃ πρὸς σέ μου κατεῖπον οἱ παρὰ σοὶ μὲν κριτῇ (μεγάλοι τινὲς ὄντες!) μὴ δυνάμενοι ψεύδεσθαι· παρ' ἐμοὶ δὲ ἄξιοι ἐπιτρίβεσθαι, λυμεῶνες ὄντες καὶ φθορεῖς τῶν καλῶν. Πλείω τοίνυν, ὧν πρὸ τούτων ἐπέσταλκα, πρὸς τὸν αὐτὸν καὶ περὶ τῶν αὐτῶν λέγειν καὶ μάλιστά γε πρὸς σὲ, φύσιν ἀνθρώπων ἐξητακότα, καὶ ταῦτα Φαναριτῶν, οὐδ' ἂν ἔχων βουλοίμην· εἰ γὰρ ἐκεῖνα οὐχ ἱκανὰ μεταπεῖσαί σε, οὐδὲ τοῦ πλείονος ὄφελος· χρόνος δὲ πάντως πάντων ἔσται ἐξηγητὴς ἀξιόχρεως· διαβολὴ γὰρ ἐν μὲν τῷ παραυτίκα ἰσχυρὰν ἐνεργάζεται τὴν ὑπόληψιν τοῖς ἀκούουσι· χρόνῳ δὲ ὕστερον ἀσθενεστέρα γενομένη, αὐτὴ παρ' ἑαυτῆς ἐξελέγχεται. Ἔῤῥωσο.

Τῷ αὐτῷ (20.)

Τὴν μὲν τύχην, ᾗ λαμπρᾷ με κεχρῆσθαι νενόμικας, ἀφείλοντό με οἱ κακοὶ κακῶς ἀπολούμενοι, καὶ τὸ κοινῇ συνοῖσον τῶν ἰδίων παθῶν τιθέμενοι δεύτερον, ἀφ' ἧς ὥρας τὰ μέγιστά μοι εἰργάσαντο τῶν κακῶν, καὶ νῦν ἐν τοῖς κατὰ

τὰ Καρπάθια μεθορίοις με γενέσθαι ἐποίησαν, εἴ πως δυνηθείην ἐνταῦθα ἀνασφῆλαι μικρὸν τῶν τῆς κεφαλῆς ἀνυποίστων ὀδυνῶν, λουτροῖς καθ' ἑκάστην, καὶ τῇ ἄλλῃ τῇ ἀπὸ τῆς ἰατρικῆς θεραπείᾳ ἐν ταῖσδε ταῖς κοιλάσι καὶ βήσσαις εἰκοστῇ ἡμέρᾳ ἤδη χρώμενος βοηθείᾳ· τὴν τοιαύτην φημὶ τύχην οὕτως ἠμείψαντο οἱ καί σοι φίλοι ἴσως ὑπάρχοντες μετὰ πολλῆς καὶ ἑτέρων ζημίας· δός δ' εἰπεῖν καὶ παντὸς τοῦ κοινοῦ, εἴτι μου ἦν ὄφελος τοῖς πολλοῖς· καὶ νῦν εἰμί γέ σου πλουσιώτερος ἴσως, ὅσον ταῖς ἐνδείαις σου ἐλαττοῦμαι· ἀλλὰ καὶ ταῦτα νὴ τὸν φίλιον ἐλάνθανες ἐμέ τε καὶ ἄλλους πάσχων; τά τ' ἄλλα σε μακαρίζοντας, καὶ δὴ καὶ τὰ πρὸς τὸ ζῆν εὐπορεῖν σοι μέχρι τέως νενομικότας· διὸ καὶ λελύπημαι, ὅτι μὴ ἔφθην μέρος γέ τι σοὶ τῶν ἐνδειῶν ἀφελόμενος, πρὶν ἢ αἰτηθῆναι, χρέος ἐκπληρώσας φιλίας· Οὐκοῦν, ἐπειδὴ τό γε νῦν ἔχον ἀποδημῶ, ἐπέθηκά σοι τὴν ἀνὰ χεῖρας σοι πρὸς Ἀπόστολον τὸν Βαρατάσην, δι' ἧς λήψῃ, ὅσα αἰτεῖς, χίλια ἀργυρᾶ παρ' ἐκείνου· καὶ εἴτις σε καὶ ἄλλοτε ἔνδεια ἀναγκάσειε, μηκέτι αἴτει, μηδὲ μόνον ἀπαίτει· ἀλλὰ πρῶτον λαβὼν αὐτόθεν παρὰ τῶν ἐμπόρων, κέλευε, ᾧ δεῖ με ἐνταῦθα ὕστερον καταβαλεῖν τὸ συνάλλαγμα. Ἔρρωσο.

Τῷ αὐτῷ. (21)

Χθὲς ἑξηκοστῇ ἡμέρᾳ μόλις ἐκομισάμην τὰ γράμματα· ἀναγνοὺς δὲ οἶδα πολλά σε καταμεμφόμενον, ἐφ' οἷς ἡμῖν διὰ πολλοῦ πρὸς ἀλλήλους σεσίγηται, ἄλλοτ' ἄλλοις τὴν αἰτίαν ἀποδιδόντα· ἔχει δ' οὖν ταῦθ' οὕτω μὲν οὐ· ἐλπὶς δέ τις ἑτέρα τοσοῦτον ἐπέτεινε τὸ σιγᾶν, ἐμοὶ μὲν αὐτίκα δέξεσθαι ὅσημέραι, ὧν κατὰ τὸν Μάρτιον ἐπεστάλκειν σοι, τὴν ἀπάντησιν· σοὶ δ' αὖ, ὧν ἐπετεθείκεις πρός με τῷ ἀρίστῳ τῶν ἰατρῶν· τοῦτ' ἔγωγ' ἂν εἴποιμι τοῦ μὴ γράφειν ἀμφοτέροις αἰ-

τίαν γενέσθαι· εἰ δέ τι δεῖ καὶ προσθεῖναι, νωθρεία τις ἦν ἔμοιγε δὴ, ἐκ βαρυθυμίας προσοικοροῦσα· φιλεῖ γὰρ τὸ πάθος τοῦτο προσγίγνεσθαι, οἷς μάλιστα τὰ κατὰ τὸν βίον ἑτέρως, ἢ ἔδει ἔχει· πᾶν γὰρ τὸ λυπούμενον κατηφὲς καὶ ἐπιῤῥεπὲς πρὸς τὴν τῶν καθηκόντων ἀμέλειαν· τίς δὲ ἡ λύπη αὕτη; οὐδέν σε χρὴ διδαχθῆναι, εἴγ' ἐπὶ τὰ κοινὰ τὴν διάνοιαν ἐπιστήσειας· τῶν γὰρ σχολείων ἄλλοτ' ἄλλων πιπτόντων, καὶ δὴ καὶ τῶν κατὰ τὴν Ἰωνίαν, ὧν καὶ κλέος τι ἦν, ἀκολουθούντων ὁμοίως, τίνα χρὴ προσδοκίαν ἔχειν περὶ τῶν μελλόντων; τὰ γὰρ καθ' ἡμᾶς ὧδε, ὅθεν καὶ ἐλπίς τις ὑπῆν οὐ σμικρὰ εἰς τὴν τῶν λόγων ἐπίδοσιν, οὐδὲ τοῦ ὀνόματος νῦν γε ἄξια, τοῦ καλοῦ κἀγαθοῦ Ψωμάκη παραλυθέντος· ὦ, πόσον λυπεῖ με τὸ τέλος τοῦ Λυκίου, ἐναντίον τοῖς προοιμίοις ἐκβάν! τῶν γὰρ τετρακοσίων μαθητῶν τοὺς ἡμίσεις γε ἐλπίδα παρεῖχε μετὰ ἐνιαυτὸν ἀπὸ τῶν ἐγκυκλίων μεταβήσεσθαι εἰς φιλόσοφα ἀκροάματα· νῦν δὲ ταῦτα πάντα ἐν μιᾷ ἐκείνῃ ἀπεῤῥύη ἡμέρᾳ, καὶ τὰ μέλλοντα ἔτι χείρω, Ἀλάστορος δαίμονος ἐπηρεάζούσης πανταχόθεν τοῖς πράγμασι τῶν Ἑλλήνων. Ταῦτ' οὖν καὶ τὰ ὅμοια τούτοις ὡς ἐν πονηρῷ τῷ καιρῷ σιγᾷν ἀναγκάζει, καὶ μηδὲ φίλων ἡδέως παρέχει μεμνῆσθαι· Σὺ δ' οὖν τούτων αὐτῶν πολλῷ τῷ λόγῳ κρείττων γενόμενος, καὶ τὰς ἰδίας ἔτι φροντίδας ὑπερβὰς, τήν τε σιωπὴν ἔφθης λύσας, καὶ ἡμᾶς πρὸς τὸ αὐτὸ παροτρύνεις· ἐπαινῶ τὸ γενναῖον, ἀποδέχομαι τὴν ἀξίωσιν. Ἔῤῥωσο.

Τῷ αὐτῷ (22.)

Οἶδά σε, καὶ μηδενὸς παρόντος, ἀλλὰ καθ' ἑαυτὸν, καὶ ὡς ἂν εἴποιεν οἱ φιλόσοφοι, κατὰ φαντασίαν τὰ περὶ ἐμοῦ πυνθανόμενον· ἔχει δὲ ταῦθ' ὧδε· τρὶς ἀπὸ Αὐγούστου μηνὸς τὸν πυρετὸν ἐπανάλαβον· ἢ ὀρθότερον εἰπεῖν, αὐτός με το-

σάκις ἐπικατέσχε, καὶ φεύγοντά με ὡς δεσποτῶν χαλεπώτατον, ἀποφεύγειν με οὐκ ἐᾷ, ἀλλ' ἐπιδιώκων καταλαμβάνει· ἠρέμα δὲ ἤδη καὶ νοσταλγίαν δοκῶ μοι νοσεῖν, ἰσχυρῶς τῆς πατρίδος ἑλκούσης· καὶ ἦρος φανέντος συνεπαίρομαι ταῖς ἐλπίσιν ἀσπάσεσθαι τὴν φίλην μητέρα τεσσαρακοστῷ ἤδη ἔτει, ὀλίγων δεόντων· πρὸς γὰρ τῷ καὶ ἄλλοις ἐκεῖ ἴσως λυσιτελήσειν, κἀμοὶ καλῶς ἔχει, μηκέτι ἐν ἀλλοδαπῇ πλανᾶσθαι διακενῆς· ὃ εὐτυχοῦντα μὲν πάσχειν, οἰστὸν ἂν εἴη· κάμνοντα δὲ πανταχόθεν, ἐν ἀγκάλαις τῆς ἐνεγκαμένης ἀποθανεῖν εὐτυχέστερον· εἰ δὲ καὶ ὠφελῶν τοῦτο πάθοι τις, εὐδαίμον ἐντελῶς. Ταῦτα μὲν πρὸς τὴν ὑπόθεσιν· τὰ δ' ἄλα ἐρεῖ σοι κατὰ περίστασιν ὁ τὰ γράμματα κομίσας, ᾧ καὶ αὐτῷ γεννήσῃ πατὴρ καὶ φιλάνθρωπος ὅ,τι ἂν σου δεηθῇ. Ἔῤῥωσο.

*Τῷ αὐτῷ.* (23.)

Λόγος τις (ὑπόκουφος καὶ ψευδὴς ἴσως, ὡς οἶμαι, καὶ βούλομαι) διαπεφοίτηκεν ὡς ἡμᾶς, τὴν σὴν τιμιωτάτην γαμετὴν ὑπὸ νόσου πολλὰ παθεῖν· τίς δ' ἦν ἡ νόσος καὶ ὁποία, τοῦτ' οὐκέτι ἐλέγετο, κἀγὼ δι' ὅλου γενόμενος τοῦ χειμῶνος ἀνέξοδος, μαθεῖν οὐκ ἐσπούδασα, βουλόμενος δή που μάλιστα ψευδῆ ἐπίπαν καὶ ταῦτα διατεθρυλλῆσθαι· Εἰ μὲν οὖν μὴ ἀληθῆ ταῦθ', ὡς καὶ οἴομαι, ἦν, χαίρω, μεμφόμενος μόνον τοὺς τὰ τοιαῦτα διατεθρυλληκότας· εἰ δ' ὡς ἑτέρως ἔχει (γένοιτ' ἂν γὰρ καὶ τοῦτο τοῖςγε θνητῆς φύσεως εἰληχόσι) καὶ μᾶλλον χαίρω, ἐφ' οἷς ἀνεῤῥάϊσε (ἤκουσαι γὰρ καὶ τοῦθ' ἅμα μετὰ τὴν προσβολὴν τοῦ πάθους γενόμενον) εὐχόμενος ὑμῖν πανοικὶ ἐς γῆρας βαθὺ διατελεῖν ὑγιαίνοντας. Ἀλλ' ἤδη δίκαιος ἂν εἴης καὶ αὐτὸς περὶ τῶν αὐτῶν μοι συγχαρῆναι ἐν μέρει· πέμπτη γὰρ αὕτη, ἀφ' ἧς δε-

καταίᾳ νόσῳ προσπαλέσας, τὴν κλίνην κατέλιπον· ἦν δ' ἡ νόσος τῶν συνήθων ἐπαχθεστέρα, ὥστε καὶ μεμνῆσθαι ἡμᾶς καὶ πιστεῦσαι θνητοὺς γεγονέναι, καὶ περὶ τῶν μελλόντων ἰθὺς φροντίσαι, ἐπὶ πολλὰ ταῖς φαντασίαις περιαγομένους, καὶ πρὸς τὰς ἀμοιβὰς ἀποδειλιῶντας· δειλὸς γὰρ ὁ ἄνθρωπος καὶ ἐλεεινὸς αὐτὸς ἑαυτοῦ· καὶ πρὸς αὐτῇ γενόμενος τῇ τελευτῇ, εὐσεβέστερος γίγνεται· καὶ πολλοὶ τῶν σοφίᾳ διαλαμψάντων, καὶ μέγ' ὄνομα κτησαμένων, ὧν καὶ Εὐγένιος ὁ ἡμέτερος, καὶ Νεύθων ὁ Ἄγγλος, τῆς θύραθεν ἐν γήρᾳ ἀποστάντες σοφίας, ἐκ τῆς θείας γραφῆς παντίως ἀναγινώσκοντές τε καὶ γράφοντες, πλείστην ὅσην παραμυθίαν ἑαυτοῖς ἐπορίζοντο, τῆς θείας προνοίας ἀνακαλούσης αὐτούς, ἵνα θειοτέρας οὕτω τύχωσι τελευτῆς· κινεῖ γὰρ τὸ θεῖον τὴν τῶν σπουδαίων προαίρεσιν κατὰ Πλούταρχον, οὐχ ὁρμὰς ἐνεργαζόμενον, ἀλλὰ φαντασίας ὁρμῶν ἀγωγούς· αἷς οὐ ποιεῖ τὴν πρᾶξιν ἀκούσιον, ἀλλὰ τῷ ἀκουσίῳ δίδωσιν ἀρχὴν, τὸ προαιρετικὸν ἄγον εἰς πρᾶξιν· καί τοι ἐγὼ ἅμα ῥαΐσας ἤδη μικρὸν, ὡς ἐπιλαθόμενος τούτων, ἐπὶ τὴν πατρίδα ἀπαίρω ταῖς φαντασίαις, πολλὰ ὀνειροπολῶν, καὶ τὸν πόθον ταῖς ἐλπίσι θεραπεύω παντοίως, εἰ μή τι ἡ ἀπόστασις τοῦ ἀντάρτου Ἀλῆ Πασᾶ κωλύσει μοι τὸ ἐφιέμενον· ἆρ' ὄψομαί ποτε τὰ ἐκεῖ, τὸ κλεινὸν ἔδαφος τῆς πατρίδος; δὸς, ὦ σῶτερ, δὸς, ὦ ἀγαθέ. Ἔρρωσο.

*Ἐλευθερίῳ.* (24.)

Ἅμα τὰ σὰ κομισάμενος γράμματα, ἔγνων σε, ἐξ ὧν ἀνέγνων, τήν τ' ἐμὴν τύχην καταμεμφόμενον, καὶ ἐπὶ τῇ ἐρημίᾳ προσανακλαιόμενον τῇ σαυτοῦ· δικαιῶ δέ σε ἐπ' ἀμφοτέροις· ἐγώ τε γὰρ ἀνάξια πάσχω ἤδη, καί σοι ἦν ἂν τὰ πράγματα εὐτυχέστερα, ἐμοῦ εὐτυχοῦντος· τό,τε γὰρ ἦθος

τὸ σὸν, καὶ ἡ ἐν λόγοις ἑκάστης ἡμέρας ἐπίδοσις ἀραρότως σε τοῖς ἐμοῖς προσῳκείωσε φίλοις· ἀλλὰ κακοὶ κακῶς ἀπώλοιντο οἱ τὰ τοιαῦτα ἐν ἀκαιρεῖ διαλύσαντες, τοσαύτην πληθὺν μαθητευομένων ἀποστερήσαντες τῶν ἐλπίδων, κἀμοὶ ἐπώδυνον τὸν βίον ἀπεργασάμενοι· τὸ γὰρ ἄλγος τῆς κεφαλῆς συχνότερόν μοι ἐνσκήπτει καὶ ὀδυνηρότερον ἑαυτοῦ· καὶ δι' ὅλης ταύτης ἀλγήσας τῆς νυκτὸς, μόλις νῦν ἀνασφήλας, τὰ ὀλίγα σοὶ ταῦτα ἐσχεδίασα γράμματα· διὸ καὶ συγγνοίης μοι, μέχρι τούτων τὸν λόγον ὁρίσαντι. Ἔῤῥωσο.

*Τῷ Κυρίλλῳ.* (25.)

Τἆλλα ἔγνων, ἃ πρῴην ἔλεγες ἐν πολλοῖς· καὶ δὴ καὶ ἃ περὶ εὐσεβείας μοι διεξῆλθες, ὑπαινιττόμενος εἰς ἐμὲ, ὅτι κακῶς ἐποίησα δῆθεν, πέμψας τινὰς τῶν μαθητῶν, ἔνθα τελειότερον αἱ Μοῦσαι διδάσκονται, ἵν' ἐπανελθόντες συγκεκοσμημένοι τῶν ἀγωγίμων τὸ τιμαλφέστατον, κοινὸν τοῦτο καὶ ἄλλοις ποιήσωσιν, ὡς ἀθέους δῆθεν ἐσομένους τοῖς κατὰ τὴν Ἰταλίαν σοφοῖς ὁμιλήσαντας. Ἐκ τούτων οὖν εὐσεβῆ μέν σε ἔγνωμεν καὶ πεπείσμεθα πάντως· οὐ μὴν δὲ καὶ ἐνάρετον, ἄδικον ὄντα πρὸς τὸν πλησίον καὶ φθονερόν· ἄνευ γὰρ τοῦ ὠφελίμους εἶναι τοῖς ἑαυτῶν ἀδελφοῖς, μηδέποτε οἷον κατορθοῦν ἀρετὴν, κἂν ὡς κρίκον ποιήσῃς ὑπὲρ εὐσεβείας τὸν τράχηλόν σου αὐτὸν τὸν παχὺν καὶ πλατύν. Εἰ οὖν ἐνέχῃ τοῖς λεγομένοις, σκέψαι ὅπως ἀπαλλαγήσῃ τῆς ὑπὸ τῆς ὑποκρίσεως· οὐ γὰρ πέφυκεν ἡ ἀρετὴ κακίᾳ συνεῖναι· καὶ ἡ πίστις ἄνευ τῶν ἔργων ἐστὶ νεκρά· Ἔῤῥωσο.

*Σταγειρίτῃ.* (26.)

Ὥσπερ τὸ τοῖς αὐτοῖς εὐτυχεῖν φθόνου αἴτιον πρὸς ἀλλήλους

τοῖς ἔχουσιν ἐγγίγνεσθαι πέφυκεν· οὕτω τὸ τοῖς αὐτοῖς δυστυχεῖν ἐνίοισι παραμυθίαν τοῖς πάσχουσι· διὸ παραμυθεῖσθαι τοὺς ὑπό τινος θλιβομένους βουλόμενοι, παρεισάγομεν, ἃ καὶ αὐτοὶ προπεπόνθαμεν, ἵν' ἐκ τοῦ ὁμοιοπαθοῦς χειροηθεστέρους αὐτοὺς πρὸς τὴν παραμυθίαν παρασκευάσωμεν. Τί οὖν μοι βούλεται ταῦτα; ἐντυχὼν γὰρ παρά τινι τῶν λογίων τῇ πρὸς Κύριλλον τὸν πάλαι κακῇ μοίρᾳ πατριαρχεύσαντα ἀπολογίᾳ τοῦ σοφοῦ Εὐγενίου, καὶ ἀναγνοὺς πολλάκις, ἐστέναξα μὲν ἐπὶ τοῖς τότε συμβᾶσιν· ἐθρήνησα δὲ ἱκανῶς καὶ τὰ νῦν, ὡς οὐδὲν ἐκείνων κακίᾳ ἀπολειπόμενα· ἀλλ' ἐκ τῆς παραβολῆς ἀμφοτέρων ᾐσθόμην μὲν πρᾳότερον ἐμαυτὸν ἐν τῇ κοινονίᾳ τοῦ πάθους γενόμενον· οὐ μὴν δὲ καὶ ἐγκρατῆ, ὥστε μὴ ἐκφωνῆσαι, ὦ! οἷα μὲν ἂν ἦν ἡ Ἑλλὰς, μὴ ὄντος νὲ τῷ τότε Κυρίλλου! οἷα δὲ καὶ τὰ ἡμέτερα νῦν, τῶν κακοβούλων μὴ ὑπαρχόντων! Ἐπειδὴ τοίνυν ἔτι καὶ νῦν οὐκ ὀλίγοι τῶν ἐλλογίμων ἀνδρῶν παρ' ἡμῖν πάσχουσι καὶ νῦν ταῦτα τῷ σοφῷ καὶ εὐεργέτῃ ἐκείνῳ ἀνδρὶ, κοίνωσον, εἰ βούλει, τοῖς Ἕλλησι διὰ τῆς Καλλιόπης τῆς σῆς τὴν ἀπολογίαν ταυτηνὶ τὴν ἐκείνου· ἐποίσει γὰρ κατὰ τὸ εἰκὸς τοῖς μὲν ταῦτα ἐπιτηδεύουσι τῷ Κυρίλλῳ αἰσχύνην καὶ σωφρονισμὸν, μαθοῦσιν, οἷα αὐτοῖς ἔσονται ἐν τῷ μέλλοντι τὰ τῆς προαιρέσεως ἐπιτίμια, καὶ ταῦτα νῦν ἐν πολυφώνῳ τῷ χρόνῳ· τοῖς δὲ πάσχουσι διδασκάλοις, ὑπομονὴν καὶ παραμυθίαν· κἀγὼ γὰρ, ἡνίκα ταῖς τῆς κεφαλῆς ὀδύναις τυγχάνω βασανιζόμενος, τὰ κατὰ τὸν ἱερὸν ἐκεῖνον διδάσκαλον καὶ ἄλλους ἀναπολῶν, εὑρίσκω τὴν καταφορὰν τοῦ ῥοπάλου πολλῷ ὑπτιωτέραν πεμπομένην μοι ὑπὸ τῶν τυράννων. Ἔρρωσο.

*Τῷ Γεωργίῳ.* (27.)

Τῶν ἐν ταῖς τῶν ἐπωνύμων ἁγίων μνήμαις τὰ ἑαυτῶν

τελούντων γενέθλια, ἄλλος ἄλλου τοῖς ἀπὸ τοῖς παρούσης ὥρας ἀγαθοῖς ἐν τοῖς τῶν φίλων ἑστιάσεσιν ὑπερέχειν πεφιλοτίμηται· σὲ δὲ ἐς τοῦτο τήμερον ἐκπεριελθόντα λαμπρότερον πάντων εἰκὸς τὸν ἐπώνυμον ἅγιον ἑορτάσειν, οὐ μόνον ἐκ προαιρέσεως, ἀλλὰ καὶ ἀπὸ τῆς κρατίστης ὁρμώμενον τῶν ὡρῶν· σήμερον γὰρ ἔαρ μυρίζει, καὶ καινὴ κτίσις χορεύει, ἡνίχ' ἡ μὲν γῆ καρποφόρου βρύει γονῆς· πηγαὶ δὲ ὑδάτων καθαρῶν καταῤῥέουσι· παντοῖοι δὲ λειμῶνες ποικίλοις ἐαρίζονται ἄνθεσιν· ἔθνη δ' ὀρνίθων τὰ μὲν ἔνθα, τὰ δ' ἔνθα ταῖς ᾠδαῖς περιπέτονται ἁμιλλώμενα· καὶ ἁπλῶς ἅπασα ἡ φύσις ταῖς ἀπὸ πάντων δαψιλείαις σοὶ ἀφθόνως ὑπηρετεῖ· διὸ καὶ μὴ ὁρῶν, δοκῶ μοι ὁρᾷν τοὺς ἑταίρους πανταχόθεν συῤῥέοντας, τόν τ' ἀμνὸν συνεστιασομένους τῷ ἑστάσοντι, καὶ τὰ παρ' ἑαυτῶν δῶρα, ὡς εἰκὸς, ἑκάστους προσοίσοντας· τὸν μὲν, ἐκτομίαν ἀλέκτορα· τὸν δὲ, νεοσσοὺς ἴσως περιστερῶν· ἄλλον δ', ᾠὰ ἐρυθρᾶ σὺν ἄρτῳ σεμιδαλίτῃ· ἕτερον δὲ, ἀψινθίτην οἶνον, ὡς εἰκὸς ἐν ἦρι καὶ τοῦτο γιγνόμενον· καὶ ἄλλον ἄλλο τι μετὰ χεῖρας, ἄνθος, ἢ ῥόδον, σύμβουλον εὐθυμίας καὶ τέρψεως φέροντα· ἐγὼ δὲ, τῶν πραγμάτων μοι ἤδη διὰ τὸ νοσιλεύεσθαι ἔτι μὴ συγχωρούντων παραγενέσθαι τῇ εὐωχίᾳ, τίνα ἂν πρὸς τοιαύτην ἑταιρίαν προσφυέστερον συμβάλοιμι ἔρανον, ἢ διὰ τῆς ἀνὰ χεῖρας ἀποδοῦναί σοι τὰ εἰκότα, συγχαίρων ἅμα καὶ συνευχόμενος τὰ βελτίω; εἰ δὲ δεῖ καὶ ἐμαυτῷ συνεύξασθαι παράτασιν τῆς ζωῆς, ἤδη πρὸς τὴν ἔξοδον κατεπειγομένῳ, γένοιτό μοι καὶ εἰς ἄλλας πολλὰς ἐτῶν περιόδους συγχαρῆναί σοι τὰ αὐτά. Ἔῤῥωσο.

*Τῷ Ἰωάννῃ.* (28.)

Χαίρειν μὲν μετὰ χαιρόντων, κλαίειν δὲ μετὰ κλαιόντων φησὶν ὁ Ἀπόστολος· ἀλλὰ τό γε δεύτερον ἐμοὶ ἄν τις ἀνα-

θείη εἰκότως, οὐκ ἀνεκτὰ πεπονθότι· ἐφ' ᾧ καὶ οὐκ ὀλίγοι τῶν μετριοτέρων καὶ ἐπιεικεστέρων τὸ ὄμμα συνέθλιψαν· σοὶ δὲ τἄτ' ἄλλα εὐτυχοῦντι, καὶ δὴ καὶ τὰ ὀνομαστήρια τήμερον ἄγοντι οἵτε ἄλλοι, οἷς ἐξ οὐρίας τὰ πράγματα φέρεται, συγχαιρέτωσαν, κἀμὲ, κἂν ἔχω, ὡς τὸ φέρον με φέρει, τὸ αὐτὸ ποιεῖν δίκαιον, φίλῳ σοι ὄντι καὶ ἐξ ἀρχῆς εὐνοοῦντί μοι. Εἴη σοι τοίνυν ὁ Πρόδρομος τοῦ Σωτῆρος φύλαξ μὲν καὶ ἀντιλήπτωρ, ἐφ' ᾧ ἔν τε τῷ παρόντι, ὧν εὔχῃ, τυχεῖν, ἔν τε τῷ μέλλοντι ὁδηγὸς πρὸς τῶν ἀγαθῶν τὸ ἀκρότατον. Ἔῤῥωσο.

Ῥίζῳ. (29)

Χρῆσθαι ταῖς τῶν δυνατῶν φιλίαις, ἀλλὰ μὴ καταχρῆσθαι ἀξιοῖ ὁ ἐκ Κυρίνης φιλόσοφος· τοῦτο δή που δοκῶ μοι κἀυτὸς, οἷον παράγγελμα θεῖον, παντὸς μᾶλλον τηρῆσαι πρὸς τὴν σὴν φιλογένειαν, μηδὲν περὶ μηδενὸς μέχρι δεῦρο μήτ' ἐπιστείλας, μήτ' ἄλλως δεηθεὶς, ἵνα μὴ τυχὸν ἐν μικροῖς τῇ πολλῇ σου περὶ τὰ κοινῇ ξυνοίσοντα προθυμίᾳ καταχρήσασθαι δόξαιμι· πρόσθες δ' ὅτι καὶ τῷ πολλοῖς ἤδη πράγμασιν ὁμιλοῦντι, οἷα δὴ συμβαίνει τὸν τῷ ἡγεμονικῷ θρόνῳ παρεδρεύειν λαχόντα, οὐκ ἠξίωσα δι' ὄχλου γενέσθαι· νῦν δὲ μεγάλης ὑπούσης αἰτίας, καὶ ταύτης κοινῇ τῇ πατρίδι διαφερούσης, ἀλλοῖος εἰμὶ, καὶ τὸ δόγμα μετέμαθον· τῇ τε γὰρ παῤῥησίᾳ πλείονι, ἢ προσῆκε, χρήσασθαι κατεθάῤῥησα, καὶ ὧν ἥκω τὴν αἴτησιν ποιησόμενος, οὐκ ἀμφίβολον κέκτημαι τὴν ἐλπίδα· πῶς γὰρ, παρ' οὗ κἀμοί ποτ' ἰδίᾳ οὐχ ἡ τυχοῦσα ἀπήντησεν εὔνοια, καὶ σύμπαντες οἱ τῶν λόγων θεράποντες τυγχάνουσι παρ' αὐτῷ προστασίαν εὑράμενοι; καὶ τοῦτ' εἰκότως· ὃν γὰρ καὶ λόγοι ἐτίμησαν, καὶ ἡ τύχη βραβεῖον τοῦτ' αὐτῷ ἀρετῆς χορηγήσασα, τῷ ἡγεμονικῷ συμ-

καρίδρυσε θρόνῳ, ἀφ' οὗ ὡς ἀπὸ κέντρου πρὸς τὴν τῶν ἀρχομένων ἀεὶ περιφέρειαν ἀμύθητοι ὅσαι εὐποιΐας ἀκτῖνες ἀπαιτοῦνται ἐξάγεσθαι, τοῦτον ἔδει τοιοῦτον εἶναι, οἷον τό θ' ἑαυτοῦ κοινὸν τοῖς δεομένοις παρέχειν, καὶ τὰ παρὰ τοῦ Ἡγεμόνος ἀξίως ἑαυτοῦ αὐτοῖς καταπράττειν. Τί οὖν ἐστι τοῦτο, δι' ὃ τοσαῦτά μοι πεπροοιμίασται; οὐδέν σε χρὴ διδαχθῆναι, εἰ τὴν σπουδὴν τὴν ἐμὴν δέκατον καὶ πέμπτον ἔτος τουτὶ περὶ τὸ καταστῆσαι Γυμνάσιον παιδείας ἐν τῷ Ζαγορίῳ ἀκριβῶς ἐξετάσειας· πρὸς ὃ τάςτε γνώμας πάντων ἱκανῶς παρεσκεύασα, καὶ τὰ ἐμαυτοῦ, ὅσοις πόθ' οἱ λόγοι τοὺς ἐμοὺς ἠμείψατο πόνους, αὐτῷ ἀφωσίωσα· καὶ τοῦτο μὲν ἤδη βαίνει καλῶς, πολλῶν πολλαχόθεν φιλοτιμότερον, ἢ ἠλπίζομεν, οὐκ εὐκαταφρονήτοις προστιθεμένων ταῖς χορηγίαις· ὃ δὲ ἡμῖν ἀπαντᾷ ἐναντίως, καὶ περὶ οὗ ἡ δέησις ἡμῶν πρὸς τὴν σὴν φιλομάθειαν, ἐκεῖνό ἐστι· Δέκατον, οἶμαι, καὶ ὄγδοον ἔτος τουτὶ, Δημήτριός τις Σαΐτζης Ζαγορίτης ἐκ κώμης Σκαμνελίου, ἔνθα νῦν τὸ κοινὸν σχολεῖον ἀνεγερθήσεται, ἀφῆκεν αὐτῷ ἐκ διαθήκης κτῆμά τι γῆς, ἄξιον ἡμῖν, πρὸς ὃ σκοποῦμεν, ἐσόμενον· ἀλλὰ τῶν ἐπιτρόπων, οὐκ οἶδ' ὅπως, μὴ γενομένων περὶ τοῦτο δικαίων, δικάζεται πρὸς αὐτοὺς αὐτόθι Γεώργιος ὁ Παπάζογλος, ὡς ἀπὸ τοῦ κοινοῦ τῆς πατρίδος, ἀνὴρ τά τ' ἄλλα παρ' ἡμῖν ἐν ὑπολήψει, καὶ δὴ καὶ τὸ φιλόπατρι περὶ πλείστου ποιούμενος. Τούτῳ οὖν προσθέμενος, καὶ χεῖρα βοηθείας παρασχὼν ὁ εὐγενέστατος καὶ φιλομαθέστατός μοι Ποστέλνικος πρὸς τὸ δίκαιον, ὥστ' ἀνασώσασθαι τὸ χωρίον τῷ εἰρημένῳ σχολείῳ, ἐμοί τε χαριεῖται καὶ παρὰ πᾶσι τοῖς Ζαγορίταις, πρόσθες δὲ καὶ τῷ γένει παντὶ, εἴτι καὶ κοινῇ τοῖς Ἕλλησιν ὄφελος ἐκεῖθεν ἔσαι, εὐεργεσία αὐτῷ ἀνάγραπτος εἰς τὸν ἔπειτα ἀποκείσεται χρόνον. Ἔρρωσο.

*Στεφάνῳ Βουγορίδῃ.* (30.)

Ὃν Μοῦσαι καὶ λόγοι ἐτίμησαν μάλιστα, πρὸς τοῦτον τοὺς τῶν λόγων θεράποντας συνιστᾷν καὶ Ἀθηνᾶ ἀξιοῖ, καὶ Φοῖβος δικαιοῖ ὁ τῶν λόγων προστάτης. Περικλῆς γὰρ ὁ τήνδε τὴν ἐπιστολήν σοι κομίσας, συμπολίτης μὲν σὸς, παρ' ἐμοὶ δὲ μαθητεύσας, ζήλῳ καὶ λιπαρεῖ ἐπιμελείᾳ χρησάμενος, ἐκπεπαίδευται ἱκανῶς τὰ ἐγκύκλια, καὶ ὅσον ἔδει αὐτῷ πρὸς τὸ καὶ ἄλλοις γενέσθαι ὠφέλιμος, τὸ σύνολον κατορθώσας, νῦν ὥρμηται ἐπὶ τὴν ἐξ ἀρχῆς αὐτῷ γενομένην ὑπόσχεσιν· ὥρμηται μὲν σὺν θεῷ, ὥρμηται δὲ καὶ ἐπ' ἐλπίδι ἐπικουρίας παρὰ τῶν εἰδότων καὶ βουλομένων μάχεσθαι περὶ πάτρης· ἦν δ' αὐτῷ ἡ ὑπόσχεσις, παιδευθέντα, σχολεῖον συστήσειν ἐν τῇ πατρίδι, καὶ ἃ ἤκουσε, ταῦτα μεταδόντα, πολλοὺς τῶν συμπολιτῶν ὁμοίους ποιήσειν· σπάνιον τὸ γιγνόμενον καθ' ἡμᾶς, καὶ θεόθεν δοκεῖ ὁρμηθῆναι, ἔνθα μάλιστ' αἱ Μοῦσαι πανταπᾶσιν ἀγνοοῦνται. Σὸν τοίνυν, εὐγενέστατε, χεῖρα βοηθείας αὐτῷ παρασχεῖν, τοῦ εἰδότος λόγῳ μὲν, οἷον λύχνῳ, πρὸς τὸ σπουδαζόμενον αὐτὸν παραπέμψαι· ἔργῳ δὲ, ὅσον καὶ ὅθεν ἂν ᾖ δυνατὸν, πρὸς τὴν πρᾶξιν αὐτῷ συντελέσαι· εἰ γὰρ καὶ παντὶ τὰ τροφεῖα τῇ πατρίδι ἀποτίνειν χρέος ἐστὶ χρεῶν δικαιότατον, ἧπού γ' ὑμῖν, τοιούτοις ἐκ λόγων γεγενημένοις, τῇ τῶν λόγων δυνάμει συμπολίτας ἄνδρας ἐπὶ τὸ βέλτιον μεταστῆσαι, δικαιότερον γίγνεται. Ἐφ' ὑμῖν οὖν ἀμφοτέροις ἐστὶ, τῷ μὲν, διδάσκοντι καὶ πονοῦντι· τῷ δὲ, προστατεύοντι καὶ εὐνοοῦντι, ἄξιον καὶ περισπούδαστον τὸ ὑμέτερον Πηγόκωμον καταστῆσαι τῇ τῶν λόγων λαμπρότητι· Ἔῤῥωσο· καὶ τὸν χρυσοῦν μοι Θεώδωρον Νέγρην πρόσειπε παρ' ἐμοῦ· οὗ ἡ φήμη πανταχόθεν ἐπ' ὀρθότητι τρόπων καὶ ψυχῆς ἀγαθότητι, ἐπανειλημμένη πολλάκις, κροτεῖ αἰσίως ἐν ταῖς τῶν φιλοκάλων καρδίαις.

*Γρηγορίῳ Πατριαρχεύοντι.* (31.)

Θάρσει, φησὶν, ἡ γῆ, καὶ εὐφραίνου ἡ πόλις Σιών· οὕτως ἀπὸ τῆς Προφητικῆς, ὡς εἰκὸς, προοιμιάζομαι σάλπιγγος, Παναγιώτατε Δέσποτα· ἐμεγάλυνε γὰρ Κύριος τοῦ ποιῆσαι, τὸν μέγαν ἡμῖν οὐρανόθεν ἀρχιποίμενα καταπέμψας, Γρηγόριον τὸν ἀοίδιμον ὄντα τε καὶ ἐσόμενον, τὸ τῆς ἀρετῆς θεείκελον ἄγαλμα, τὸ τῆς πίστεως ἀκράδαντον ἔρεισμα, τὸν ἰατρῶν τῶν ψυχῶν, τῶν θλιβομένων τὴν παραμυθίαν· διὰ τοῦτο θαρσήτωσαν, πάλιν φησὶ, τοῦ παιδίου τὰ κτήνη, ὅτι ἐβλάστησεν ἔρημος, πρωΐμου καὶ ὀψίμου ὑετοῦ ἐπικαταβάντος· καίγε εἰκότως· ἅμα γὰρ τοῦ τῆς Ἐκκλησίας ἀστέρος ὡς ἐκ μεσουρανήματος ἀπὸ τοῦ θρόνου τὴν ὑφήλιον τοῖς τῆς ἀρετῆς ἐπαυγάσαντος σελαγίσμασιν, εὐθὺς ἐνεπλήσθησαν οἱ ἅλωνες σίτου, καὶ οἱ ληνοὶ οἴνου καὶ ἐλαίου ὑπερεκχέονται, τὰ τῆς πίστεώς φημι πανταχοῦ ἐκπεμπόμενα δόγματα, καὶ τὰ περὶ παιδείας τοῖς χρήζουσιν ἀπὸ τῆς πηγῆς ἐκχεόμενα νάματα· ἐκεῖνα μὲν, ὡς ὑποστηρίγματα πρὸς εὐσέβειαν· ταῦτα δὲ, ὡς ἀρδευτικὰ καὶ προπαρασκευαστικὰ τῶν ψυχῶν πρὸς τὰ Εὐαγγελικὰ παραγγέλματα, ἵνα ἀποστῇ παντελῶς ἀφ' ἡμῶν ἀκρὶς καὶ βροῦχος καὶ ἐρυσίβη καὶ κάμπη, ἡ ὀργὴ τοῦ θεοῦ ἡ μεγάλη, ἣν ἐξ ἀπέστειλεν ἐφ' ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν. Ταῦτα παρὰ τῆς θειοτάτης σου ψυχῆς τὰ παρόντα· μείζω δὲ ἡμῖν ἔτι πολλῷ τῷ μέτρῳ τὰ ἐλπιζόμενα. περὶ ὧν καὶ ὁ λόγος ὁδὶ, εἴτι ὄφελος ἔσται τούτου, τὸ ἑαυτοῦ συνεισφέρειν βουλόμενος, ἀποτολμᾷ παῤῥησιάσασθαι πρὸς τὴν σὴν θεοσέβειαν.

Δύο ἐκεῖνα, Παναγιώτατε δέσποτα, φέρουσιν ἡμῖν μάλιστα τὰ πρῶτα τῆς εὐδαιμονίας, ὡς καὶ χαρακτηριστικὰ τοῦ γένους ἡμῶν ὄντα, δόγμα ὀρθὸν, καὶ πατρῷα παιδεία· τὸ μὲν, ὑπὸ

3*

τῆς κοσμοσοφίας ἡμᾶς παιδεῦον μὴ παρασύρεσθαι· ἠδὲ, εἴποτε καὶ πρὸς τὴν ῥυπαρὰν δεισιδαιμονίαν ἐπιῤῥεπέστεροι γενοίμεθα, ἀποτρέπουσα· ἄμφω δηλονότι τῇ παρ᾽ ἑαυτοῦ δυνάμει ἑκάτερον ἀπὸ τῶν ἄκρων συγκεντροῦντά τε ἑκατέρωθεν, καὶ συνάγοντα ἐς τὸ μέσον τὸ μόνον θεῖον καὶ ἅγιον. ἔοικε γὰρ μήτε δόγμα δύνασθαι ἄνευ παιδείας ἀποφεύγειν τὸ κίβδηλον, ὡς πολλῆς ὑφερπούσης ἀπὸ τῆς δεισιδαιμονίας προστριβῆς τοῖς μὴ γευσαμένοις φιλοσοφίας· μήτ᾽ αὖ ἡ φιλοσοφία ἄνευ τοῦ δόγματος τοῖς ἰδίοις περιορίζεσθαι νόμοις, ὑπεραλλομένη ἔσθ᾽ ὅτε, καὶ καταθρασυνομένη παραβόλως τῶν ἀποῤῥήτων καὶ μυστικῶν.

Τὸ μὲν οὖν δόγμ᾽ ἀρχαῖον ἡμῖν ἐστιν, καὶ ἔσται ἀπαραποίητον, καὶ οὐδέποτ᾽ αὐτοῦ κατισχύσει κακία· τὸ δὲ τῆς παιδείας δοκεῖ μὲν καὶ αὐτὸ πολὺ ῥεῖν ἐν τοῖς στόμασι τῶν πολλῶν καὶ συχνόν· τῇ δὲ ἀληθείᾳ ὑπόσαθρόν ἐςι, καὶ ὑδρώπηκι ὅμοιον, καὶ τῆς σῆς προνοίας δεόμενον μάλιστα, τῆς Ἑλληνικῆς παιδείας κατὰ βραχὺ ἐκλειπούσης· οἱ γὰρ ἡμέτεροι νέοι, οὐκ οἶδ᾽ ὅπως τοῦ ὀρθοῦ ἐκτραπέντες, μόλις ἄκρῳ δακτύλῳ οἱ πλεῖστοι τῆς καθ᾽ Ἕλληνας γλώσσης ἁπτόμενοι, ἀφιστᾶσιν, ὡς εἰς εὐώνητόν τι τὴν φιλοσοφίαν αὐτομολοῦντες, καὶ οὕτως ἀμφοτέρων τῆς θήρας ἀποτυγχάνουσιν· οὐ γὰρ ἔςιν, οὐκ ἔςιν εὐςόχως ἐπὶ φιλοσοφίαν χωρεῖν, μὴ προκαταρτισθέντας τῇ μελιτρόφῳ καὶ ἠθικωτάτῃ φωνῇ τῶν Ἑλλήνων· τὰ δὲ ἡμέτερα σχολεῖα, καί τοι δοκοῦντα εὐοδοῦσθαι, καὶ πολλαπλασιάζεσθαι, λεληθότως ἐκλείπουσι· τὰ μὲν, ἐκ τῆς τῶν γραμματικῶν ὑπεροψίας τῶν διδασκάλων μαραινόμενά τε καὶ παρακμάζοντα· τὰ δὲ, καὶ χήτει τῶν διδαξόντων, ἢ καὶ ἀμελείᾳ καὶ στάσει τῶν προϊσταμένων παραλυόμενα· ὥσθ᾽ ὅσον ἐστὶν εἰκάσαι ἀπὸ τῶν παρόντων, εἰ οὕτως ἡμῖν ταῦθ᾽ ἕξει ἑξῆς δέκα ἔτη, οὐχ εὑρήσομεν φιλολόγους· ὁ γὰρ

Ἑλληνικὸς κάλαμος, τοῦτο δὴ τὸ πατρῷον κειμήλιον ἀποσωθὲν εἰς ἡμᾶς, κατήργηται ὅλως· καὶ εἴτις τούτου πόθ' ἅψαιτο, γέλως ἐστὶ τοῖς πολλοῖς· καὶ εἴη μέν μοι ψεύσασθαι ταῦτα· δέδοικα δὲ, ἐξ ὧν παρὼν καὶ ἀκούων σύνοιδα.

Τί οὖν χρὴ ποιεῖν; καὶ ὅπως ἂν ταῦθ' ὡς ἄριστα σχοίη; ἐμοὶ μὲν, εἴτις κἀμοὶ ἐμπειρία ἐςὶ τῶν τοιούτων, ἐκεῖνο κράτιστον εἶναι ἔδοξε, διελεῖν τετραχῇ τὰ σχολεῖα, εἰς παιδαγωγικὰ, φιλολογικὰ, φιλοσοφικὰ, καὶ ἐπιστημονικά· καὶ τῶν μὲν πρώτων μαθήματα εἶναι τὸ ἀναγινώσκειν ὀρθῶς καὶ περίτρανα, τὸ τὴν προφερομένην ἤδη διάλεκτον ἀκριβῶς μανθάνειν, κατήχησιν ἁπλῆν τῆς θρησκείας, μέρος ἱστορίας ἐσωτερικῆς καὶ ἐξωτερικῆς, καὶ τὴν ἁπλῆν ἀριθμητικήν· τῶν δὲ δευτέρων, τὴν γραμματικὴν, ποιητικὴν, μυθολογίαν, ἱστορίαν, γεωγραφίαν, καὶ ῥητορικήν· τῶν δ' αὖ τρίτων, τὴν λογικὴν, μεταφυσικὴν, ἠθικὴν, καὶ θεολογίαν· λείπονται δὲ τῇ τετάρτῃ τάξει, ὡς εἰκὸς, τὰ τῆς ἐπιστήμης, ἡ μαθηματικὴ καὶ ἡ φυσική· καὶ εἴτι ἕτερον ἐν τούτοις δυνατὸν ἂν εἴη πρὸς τὴν νῦν ἡμῖν τῶν πραγμάτων κατάστασιν· Χρόνος δὲ διωρίσθω τοῖς μὲν παιδαγωγικοῖς τό γε πλεῖστον μέχρι τῶν δυωκαίδεκα ἐτῶν, ἐν οἷς καὶ τῆς γραμματικῆς τὸ τυπικὸν ἐξασκεῖσθαι τοὺς παῖδας οὐθὲν ἂν κωλύοι· τοῖς δὲ δευτέροις, οὕτω προγεγυμνασμένοις, ἱκανὸν διελθεῖν τὰ αὐτοῖς προσανήκοντα ἐν ὅλῃ τριετίᾳ· εἰδὲ δοῖμεν καὶ τῇ ῥητορικῇ πρὸς ἄσκησιν λόγων ἓν ἔτος ἔτι, ἰδοὺ ἡμῖν τὸ ἄγαλμα τῆς παιδείας ἐξετελέσθη τὸ ἑκκαιδέκατον ἔτος· τὸ δὲ λοιπὸν ἔστω τοῖς λοιποῖς, ὅπως προχωροίη ἑκάστῳ.

Τούτων δ' οὖν τετραχῇ οὕτω διῃρημένων, ὅτι τὰ ἡγούμενα ἀναγκαιότερα πολλῷ τῷ λόγῳ ἐστὶ τῶν ἀεὶ ἑπομένων περιττόν ἐστι λέγειν· διὸ τὰ μὲν παιδαγωγικὰ, ὡς τὴν τῶν πάντων καὶ αὐτῶν τῶν πενεστάτων σκοποῦντα ὠφέλειαν,

ἀνάγκη διδάσκεσθαι κατὰ πᾶσαν κώμην καὶ χώραν, τὰ δὲ φιλολογικὰ τοῖς ὁπωσοῦν ἐλευθερώτερον βίον μετερχομένοις ἐν κώμαις καὶ πόλεσι προσανήκουσι· τούτοις δὲ εἰ καὶ τὴν φιλοσοφίαν προσθοῖμεν, τοῦτ' ἐν μόναις ἄξιον γενέσθαι ταῖς πόλεσιν, ἔνθ' ἡ τῶν σχολείων πρόσοδος ἔσται ὡς εἰκὸς, δαψιλεστέρα· τὸ δὲ περὶ τὴν ἐπιστήμην καὶ φύσιν εἰς τὰ γενικώτατα εἰσακτέον· ἔσται δὲ ταῦτα τρία, ἢ τέσσαρα ἱκανὰ ἔνγε τῷ παρόντι, μέχρις ἂν παραστῇ καὶ ἡμῖν ποθεν καθαριώτερος ὁ ὁρίζων, ὥστε καὶ Ἀκαδημίαν συστήσασθαι ἐθνικήν· νῦν δ' ἐκεῖνο δεῖ πρὸ τῶν ἄλλων εἰδέναι σαφῶς, κἀκεῖθεν μᾶλλον τὸν ὀρθότερον πορίσασθαι λόγον, ὅτι ἐξ ὧν ἂν πλεῖον ἡμῖν προσγένηται ὄφελος, ταῦτα προκριτέα τῶν ἄλλων· νῦν δὲ τὶς οὐχ ὁρᾷ, ὅτι ὁ βίος παρὰ πᾶσι τοῖς ἔθνεσι τῇτε χρήσει τοῦ λόγου καὶ τῇ τῆς ἠθικῆς ὠφελείᾳ διεξάγεται ἅπας; ὀφείλομεν γὰρ πρῶτον ἡμᾶς αὐτοὺς, ὅ ἐστι τὴν ἡμετέραν ψυχὴν καταρτύειν, ἱκανὴν πρὸς ἀλήθειαν, πίστιν τε, καὶ τὴν πρὸς τὸν πλησίον ἀγάπην· ὃ οὐκ ἂν ἡμῖν, εἰ μὴ ἐκ τῆς ἐγκυκλίου παιδείας καὶ τῆς φιλοσοφίας, πορίζεσθαι γένοιτο· εἶθ' οὕτως, ἐπειδὴ δευτέρῳ λόγῳ καὶ ἡ γνῶσις τῆς φύσεως ἔξωθεν ἐπαγγέλεται ἡμῖν οὐκ ὀλίγην ὠφέλειαν, ὡς δ' αὔτως καὶ ἡ μαθηματικὴ πρὸς τὸ γενικὸν τῶν τεχνῶν, προσθετέα καὶ ταῦτα· δεῖ μέντοι γ' εἰδέναι μήτ' ἐπιστήμονας πάντας, μήτε φιλοσόφους γενέσθαι μήτε δυνατὸν ὂν, μήτε ἀναγκαῖον· γραμματικοὺς δὲ πάντας, τούς γ' ἐλευθερώτερον βίον μετελθεῖν δυναμένους, οὐδὲν ἂν κωλύοι. Τῶν παιδαγωγικῶν τοίνυν καὶ τῶν γραμματικῶν πλείω πρόνοιαν ποιητέον· ὧν γὰρ ἡ χρῆσις συχνοτέρα, καὶ ἐπωφελεστέρα, περὶ ταῦτα μᾶλλον σπουδάζειν χρή· νῦν δ' ὁρῶμεν μικροῦ δεῖν τοὺς ἐν τοῖς σχολείοις διδάσκοντας πάντας, τὰς μὲν ἐπιστήμας τὰς εἰς ἠθικὴν ἀρετὴν ὁμολογουμένως ἀγονωτάτας, πλείω λόγον ποιουμέ-

νους τῶν ἀπὸ τῆς πολυχεύμονος πηγῆς τοῦ ἠθικωτάτου Σωκράτους καὶ τῶν αὐτοῦ μαθητῶν· τὰ δὲ γραμματικὰ, ὥσπερ ἕωλόν τι παρερχομένους ψυχρῶς· ὃ μεγάλην ἡμῖν μετ' οὐπολυ ἐν τῇ ἠθικῇ καὶ τῇ θεολογίᾳ ἀπεργάσεται αἴσθησιν, ἡνίκα δηλονότι καθέδραι καὶ ἄμβωνες ἱεροὶ οὐχ ἕξουσι τοὺς ἀξίως καθέξοντας· ὃ μὴ γένοιθ' ἡμῖν.

Εἴρηται δέ μοι ταῦτα Παναγιώτατε δέσποτα, οὐκ ἐφ' ᾧ ἐπιδείξασθαι, ὡς ἂν εἴποι τις μὴ εἰδὼς, ὡς δυναμένῳ παῤῥησιάσασθαι πρὸς τὴν σὴν θεοσέβειαν· οὐδ' ἄλλο τι θηρωμένῳ, ἀλλ' ὅς πάλαι κατέχει με ἔρως τῆς κοινῆς ὠφελείας, καὶ ὁ ζῆλος τῆς εὐκληρίας τοῦ γένους παντὸς, ταῦτ' ἔστι τὰ κινήσαντά με παῤῥησίᾳ τοιαύτῃ πρὸς τὴν σὴν ἁγιότητα χρήσασθαι· ἐπί τε γὰρ ἄλλοις πολλοῖς, ἐν οἷς ἡ σύντροφος ἐξ ἀρχῆς ἀρετὴ εὐδοκιμεῖν σε κατέστησε, μακαρίζω· καὶ δὴ καὶ νῦν ἐπὶ Σοῦ πατριαρχεύοντος, ἐνδόξου σχολείου, ὡς λόγος, μέλλοντος συςαθήσεσθαι ἐν Πελοποννήσῳ, βουλοίμην ἂν μηδὲν τὴν ἀρχὴν καὶ περὶ τούτου ἄχαρι ἐξ ἀπειροκαλίας γενέσθαι, εἰδὼς, ὡς πᾶν ὁτιοῦν, ὅπως ἂν τύχῃ ποτὲ ὁρμηθὲν, οὕτω καὶ μέχρι τέλους χωρήσει· καὶ τοῦτ' ἐστι τὸ τοῦ Θεολόγου, Ἀρχῆς καλλῆς κάλλιστον καὶ τὸ τέλος. Εἴτι οὖν τῶν εἰρημένων καὶ τῇ σῇ δόξει Παναγιότητι καλῶς ἔχειν, καὶ συνοίσειν ἡμῖν τὸ Γυμνάσιον ἐκεῖνο, οὕτω διατεθὲν, δὸς αὐτῷ τὸν προσήκοντα κόσμον, καὶ οἴσει σοι, εὖ ἴσθι, Παναγιώτατε πάτερ, καὶ ἓν μὲν τριάκοντα, καὶ ἓν δὲ ἑξήκοντα, καὶ ἓν ἑκατόν.

*Γρηγορίῳ τῷ Οὐγγροβλαχίας.* (32.)

Ὄρνις τις εὔλαλος καὶ χρυσοπτέρυξ, ἐξαγγείλας ἡμῖν τὴν τῆς ὑμετέρας Πανιερότητος εἰς τὸν τῆς Οὐγγροβλαχίας θρόνον αἰσίαν ἐπίβασιν, πολλῆς εὐφροσύνης ἐνέπλησεν ἅπαντας·

Πολλῶν οὖν ἐκ τούτου διαθεόντων πρὸς ἀλλήλους σὺν ἡδονῇ, τοῦ μὲν καὶ ἄλλοις τὸ πρᾶγμα κοινολογήσοντος, τοῦ δὲ καὶ συγχαιρήσοντος, ὡς εἰκὸς, ἐγὼ μικρὸν ἐκστὰς πρὸς τὴν ἀκοὴν, καὶ ἃ μὲν ἐκ πολλοῦ οὐ μόνον δι' εὐχῆς ἦν μοι γενέσθαι, ἀλλὰ καὶ συμβεβούλευταί μοι πολλάκις καὶ πολλαχῶς πρὸς τοὺς ἐν τέλει, ἐδόκει δὲ οὐδὲν οὐδαμοῦ ἐκ πολλῆς καταχρήσεως τὸ ἀρχαῖον τῆς Ἐκκλησίας λήψεσθαι σχῆμα, ταῦτ' ἰδὼν αἴφνης νῦν ἐν Δακίᾳ γιγνόμενα, καὶ κατ' ἐκλογὴν ἐνεργούμενα, καὶ τῆς Σιμωνιακῆς κατάρας παντάπασιν ἀφιστάμενα, νενίκηκεν, ἔφην, τὸ πνεῦμα. Γρηγόριος γὰρ ὁ πολὺς μὲν ἐν λόγοις, πλείων δὲ καὶ ἐν πράξεσιν, οὐ μόνον λόγοις καὶ φήμαις ἔξωθεν κηρυττόμενος, ἃ πέφυκε πολλάκις καὶ ψεύδεσθαι, ἀλλ' ἐξ αὐτοψίας ἔργῳ καὶ πείρᾳ πιστούμενος, τοὺς τῆς Ἐκκλησίας μεταχειρίζεται οἴακας, ἵνα λόγῳ τὸν Λόγον κηρύττων, ἔργῳ τὰ κηρυττόμενα βεβαιοῖ, λόγῳ μὲν διδάσκων τὰ δόγματα, τῇ δὲ ἀρετῇ τὰ τῶν διδασκομένων ἤθη διακοσμῶν, καὶ ὁρμὴν αὐτοῖς πρὸς τὴν πρᾶξιν ἐνεργαζόμενος· δεῖ γὰρ δὴ καὶ λόγον κατὰ τὸν λόγον, καὶ πρᾶξιν εἶναι σὺν λόγῳ τοῖς τοῦ Λόγου λάτραις καὶ πρέσβεσι· καὶ ἔδει τόν γε τοιοῦτον, μὴ ἐν καλύβῃ, ὡς λύχνος ὑπὸ τῷ μοδίῳ, διαιτᾶσθαι λανθάνοντα, μηδὲ μόνον μόνῳ ἁπλαῖς ἐπιβολαῖς τοῦ νοὸς συγγίγνεσθαι τῷ θεῷ, τὸν πολλοὺς τοιούτους ποιῆσαι δυνάμενον· ἀλλ' ἐπὶ τὴν περιωπὴν τῆς Μητροπόλεως ἀναβάντα, κἀπὶ τὴν λυχνίαν ἀνατιθέμενον, φαίνειν πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ, τοῖς τῆς ἀρετῆς καὶ πίστεως σελαγίσμασι περιλάμποντα, ἵνα τὸ ποιμαινόμενον οὕτω φωταγωγούμενον, τό, τε πεπλανημένον ἀνευρισκόμενον, καὶ τὸ ἀσθενὲς ἐνισχυόμενον, καὶ τὸ συντετριμμένον δεσμούμενον, τῆς τε φωνῆς τοῦ ποιμένος ἐξαγόμενόν τε καὶ εἰσαγόμενον κατακούῃ, καὶ τὰς μεθοδίας καὶ παγίδας τοῦ ἀντάρτου ἀποδιδράσκῃ. Ἐπὶ γοῦν

τούτοις τίς, φιλόθεος ὢν, οὐ χαίρει μὲν καθ' ἑαυτόν· συγχαίρει δὲ καὶ, σοὶ μὲν οὔ, ἅτε δὴ τὸ φορτίον τοῦτο ἐπιβρίθειν σοι οἰομένῳ, ἀλλ' αὐτοῖς τοῖς ποιμαινομένοις; ἐμὲ δὲ καὶ σέβας ἕξει με σὺν ἡδονῇ μετ' οὔπολυ ἐποψόμενον σὲ τὸν σοφὸν ἱεράρχην μαρμαίροντα ἐπὶ θρόνου, ἀνεπίληπτον, νηφάλιον, σώφρονα, φιλάνθρωπον, σοφὸν, διδακτικὸν, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ῇς καὶ παρακαλεῖν καὶ ἐλέγχειν, πρόσθες δὲ, καὶ τὰ πάντα τοῖς πᾶσι γιγνόμενον, ἵνα τοὺς πάντας κερδήσῃς. Ἀλλ' εἴης μοι ὑγιαίνων, σεβασμιώτατε Πάτερ, ἀναβάσεις ἐξ ἀναβάσεων τιθέμενος σεαυτῷ, καὶ τὸ ἐμπιστευθέν σοι συναναβιβάζων ἀεὶ ἐπὶ τὰ κρείττω καὶ τελειότερα.

*Τῷ νέῳ Ἡγεμόνι.* (33.)

Ἐξενίκησεν ἄρα ἡ εὐχὴ τοσούτου λαοῦ εἰς τὸ ἐπανελθεῖν τὸ σκῆπτρον τῆς Ἡγεμονίας, τοῖς γνησίοις τέκνοις ἀποδιδόμενον· καὶ τοῦτο μάλιστα τοῖς ἐκ τῆς λαμπρᾶς οἰκογενείας τῶν Γκικάδων καταγομένοις· ὧν ἥτε θεοσέβεια καὶ δικαιοσύνη, ταῦτα δὴ τὰ τῶν ἀγαθῶν Ἡγεμόνων γνωρίσματα, τῇ τε φήμῃ τυγχάνουσι κλεϊζόμενα, καὶ ἔργῳ μάλιστα βεβαιούμενα· τὸ δὲ καὶ ἀπὸ σοῦ τοῦτο ἄρξασθαι, τοῦτ' ἀποκεῖσθαι μὲν δοκεῖ κεκρυμμένον ἐν τῇ ἀβύσσῳ τῶν θείων κριμάτων, ἀποδεδόσθαι δὲ νῦν τῇ θεοσεβεστάτῃ σου Ὑψηλότητι ὡς γέρας καὶ ἆθλον τῶν πολλῶν σοι ὑπὲρ τῆς πατρίδος ἀγώνων· ὃ γεραίρει σε μάλιστα, τὴν σεβαστήν σου κορυφὴν ςεφανοῦν, ἐγκωμίοις μυρίοις, ὡς ἐγκριτώτερον πάντων Ἀνακτορικῷ θεσπίσματι ᾑρημένον· καὶ ταῦθ' ὅτε τὰ πράγματα δεῖται μὲν χειρὸς, δεῖται δὲ νοὸς, δεῖται δεῖ μάλιςα προαιρέσεως πρὸς τὰ ἔργα· ὧν κορυφαῖα ὡμολόγηται παρὰ πᾶσιν εὐποιΐα καὶ

δικαιοσύνη· ὧν θάτερον παρὰ θάτερον ἀνδρὶ Ἡγεμόνι καὶ κράτος εὑραμένῳ ἐςὶν ἀτελές· τό,τε γὰρ δίκαιον φυλαττόμενον, ὡς ὑπὸ τοῦ νόμου ἐπιταττόμενον, οὐ τελείαν δείκνυσιν Ἡγεμόνος προαίρεσιν, ἥτ' εὐποιΐα, ἐκ μὴ δικαίων ἐκτελουμένη, οὐκ ἂν ταῖς ἀρεταῖς ἀξίως ἐγκατατάττοιτο· συναμφότερον δὲ ἀκριβῶς ἐνεργούμενον, θεοειδῆ τὸν Ἡγεμόνα μάλιστα ἀπεργάζεται, ὡς κοινὸν θεῷ καὶ ἀνθρώπῳ τὸ εὐεργετικὸν καὶ δίκαιον εἶναι· ἃ πάλαιτε πεπρᾶχθαί τοῖς Γκικάσι διαβεβαίωται, καὶ νῦν παρὰ τῆς σῆς Ὑψηλότητος καραδοκεῖ ἡ Δακία. Ταῦτα τοίνυν τούς τε ἰθαγενεῖς ἐπαίρει σεμνύνεσθαι τοῦ λοιποῦ ἐλπιζόμενα, καὶ τοὺς ἐξ ἀλλοδαπῆς εἰς σέβας ἄγει περιαδόμενα· ἐμὲ δὲ τό,τε δίκαιον αὐτὸ καὶ ἡ εὔνοια πείθει εὔχεσθαι πεπληρωμένα τῷ σῷ ὕψει ταῦτ' ἰδεῖν τε καὶ συναπολαῦσαι τῷ ὑπηκόῳ. Ἀλλ' εἴης μοι ὑγιαίνων, Ἡγεμόνων ἐπιεικέστατε, ἐπιβαίνων ἀεὶ ἀσπίδος καὶ δράκοντος.

*Μανουήλῳ·* (34.)

Ἤκουσται ἡμῖν ἄκουσμα ἁπάντων ἀκουσμάτων βαρύτατον, πῦρ ἀναδοθὲν αὐτομάτως, ἐπινείμασθαι οὐκ ὀλίγον μέρος τῆς πόλεως Βουκουρεστίου ἀπὸ τοῦ Ἐγκληματικοῦ δεσμωτηρίου ἐς τ' ἐπὶ τὸ τοῦ ἁγίου Σπυρίδωνος μοναστήριον· καί μοι ἡ διάνοια εἰς τὴν οἰκίαν τὴν σὴν ἐπέβαλε παραχρῆμα, μήτι καὶ αὐτὴ τοῦ πυρὸς παρανάλωμα γέγονεν· ἀλλ' οὔπω ἐπειθόμην διά τε τὴν κατασκευὴν, καὶ τὸ πρὸς τὰς πέριξ οἰκίας ἀσύναπτον, πρόσθες δ' ὅτι καὶ τὸ βούλεσθαι οὕτω πιστεύειν ὑπηγόρευε μάλιστα ἐν τῷ τῆς ψυχῆς κρυπτῷ μὴ ἂν παθεῖν τοῦτ' ἐκείνην· ὡς δὲ εἰς τὸν ὄρχατον ἐλθὼν, ἀκήκοα αὐτοῦ τοῦ στρατηγοῦ εἰπόντος, ὅτι συγκατεφλέγη καὶ ἡ οἰκία τοῦ Καμινάρη Μανουλάκη, βέβλημαι τὴν

καρδίαν, τῆς ἀμφιβολίας ἀρθείσης ἤδη, καὶ λελύπημαι μᾶλλον, ἢ ὅτε πρῴην, ἔκτος οὗτος μάλιστα μὴν, διαπεφήμησαι τεθνηκέναι ( διατεθρύλληται γὰρ καὶ τοῦτό γε περὶ σοῦ) καί γε εἰκότως οἶμαί γε τοῦτό μοι χαλεπώτερον δόξαι· τὸ γὰρ ἀπροσδόκητον, κᾂν ἀπ᾽ ἐλάττονος βλάβης προσβάλῃ τῇ ψυχῇ, μεῖζον τοῦ προσδοκωμένου πόθ᾽ ἡμῖν ἔσεσθαι τὸ τραῦμα διὰ τὸ ἄηθες φιλεῖ αὐτῇ ἐνεργάζεσθαι· διὸ καὶ πρὸς ἐκεῖνα μὲν συνήθως χαλεπαίνουσιν ἄνθρωποι, ταῦτα δὲ πάσχοντες, φέρουσιν ἀναγκαίως, ὡς μὴ ἀήθη παθόντες· καὶ ταῦτα μὲν οὕτως ἔχει. Νῦν δ᾽, ὡς ἔοικε δεῖ με ἐπιβαλέσθαι παραμυθήσασθαι τὰ εἰκότα, εἴτι λόγῳ τοῦτο δυναίμην ποιεῖν, ἵν᾽ ἔχοιμι καὶ αὐτὸς ἐν μέρει παραμυθίας τυχεῖν· τὸ γὰρ συμπαθὲς, ἀπὸ καθαρᾶς φιλίας ὁρμώμενον, ὁμοίως ἐφ᾽ ἑκάτερα ἕρπει, ὥσπερ ἀνάγκῃ τινὶ τῇ ὁμοψυχίᾳ πρὸς ταὐτὰ συγκατασπῶν τοὺς πεφιλημένους· Πόθεν οὖν ἄρξωμαι, καὶ ὅπως ἂν τῷ λόγῳ, ὡς ἀκεσωδύνῳ φαρμάκῳ, χρησάμενος, τὰς τῆς ψυχῆς ἰασαίμην ὀδύνας σοι ὁπωσοῦν δεξιώτερον, ὥςε μετριωτέραν σοι τὴν τοῦ πάθος ποιήσασθαι αἴσθησιν; εἰ μὲν γὰρ ἀπὸ τῶν τοῦ Ἐπικτήτου ἐπιχειροῖμι, οὐκ ἂν κατορθοῖμι· ἀπότομος γὰρ πάνυ μοι δοκεῖ ὁ φιλόσοφος οὗτος, καὶ τὴν φύσιν σιδήρειος, τὴν χύτρα χύτραν κελεύων νομίζειν εἶναι, καὶ τὸν ἄνθρωπον ἄνθρωπον, ἵν᾽ ἔχῃς, φησὶν, ἢ τῆς χύτρας κατεαγείσης, ἢ τοῦ παιδὸς ἀποθανόντος, μηδὲν ἐπὶ τούτοις ὁτιοῦν ταραχθῆναι, ἵνα μὴ τὸν ἔσω ἄνθρωπον ἀπολέσῃς, τὸν ἄφθαρτον, τὸν ἀθάνατον· Ὑψηλὸς μὲν ὁ νοῦς καὶ ὑπὲρ τὴν φύσιν· ἀλλ᾽ ἡμεῖς ἐσμὲν ἐν τῇ φύσει, καὶ τοῦτ᾽ αὐτὸ ἄνθρωποι, ὑπὸ τῶν παθῶν ἀγόμενοι καὶ φερόμενοι, καὶ οὐκ ἔσθ᾽ ὅς τις καρπὸν γῆς ἐσθίων, ἀνώτερος τούτων ἂν γένοιτο πάμπαν· μετριάσει γοῦν καὶ ἀνακουφίσει μαλιστα ταῦτα, εἴγ᾽ ἀπ᾽ ὀρθοτέρου ὁρμῷτο τοῦ λόγου, ὁ μάλιστα λόγῳ

κεκοσμημένος· οἷόν σε καὶ λόγοι αὐτοὶ, καὶ πατρῷα ἀρετὴ καὶ ἐξ ἁπαλῶν ἔτι ὀνύχων ἀπέδειξαν· διὸ ἐῶντες τὸν ἀμείλικτον τοῦτον φιλόσοφον χαίρειν, προσέλθωμεν τῷ σοφωτάτῳ Ὁμήρῳ, ἀπὸ τῆς Μούσης ἐκείνου, ἠπιώτερα ληψόμενοι φάρμακα· φησὶ γὰρ κἀκεῖνός πη τῶν ἐπῶν, Ἀχιλλέα αὐτῶν εἰσάγων, Πρίαμον ἐπὶ τῇ τοῦ Ἕκτορος παραμυθούμενον τελευτῇ, δύο πίθους κεῖσθαι παρὰ τῷ θρόνῳ τοῦ Διός· τὸν μὲν, τῶν καλῶν· τὸν δὲ, τῶν κακῶν· τούτων δὴ μεταδίδωσιν ὁ Ζεὺς τοῖς θνητοῖς, πολλοῖς μὲν ἐξ ἀμφοῖν κεκραμένων, πολλοῖς δὲ καὶ ἀμίκτως ἐκ μόνων τῶν κακῶν· τῶν δὲ καλῶν ἀκράτως οὐδέ ποτε οὐδενί· καὶ οἷς μὲν ἂν μίξας ἐξ ἀμφοῖν μεταδῷ, οὗτοί γε ὁτὲ μὲν εὖ, ὁτὲ δὲ ὡς ἑτέρως τὸν βίον πορεύονται ἐναλλάξ· οἷς δ' ἂν ἀκράτων τῶν κακῶν, ἡ μετάδοσις γένηται, κακοδαίμονες οὗτοι, ἅτε δὴ ἐνδείᾳ πολλῇ βιωσόμενοι, καὶ τιμῆς οἱασοῦν παρά τε θνητοῖς καὶ ἀθανάτοις μάλιστα στερησόμενοι· Ἔσται τοίνυν κατά γε τὸν ποιητὴν εὐδαίμων μὲν οὐδὲ εἷς τῶν ἁπάντων ἀνθρώπων, ἄλλων ἄλλως τοῦ τῶν δώρων κράματος πεπωκότων, καὶ ἄλλων ἐν ἄλλοις λυπουμένων καὶ χαιρόντων ἐν μέρει· εὐτυχεῖς δὲ εἰσὶ πολλοί· οἷς γ' ἐν πολλαῖς τοῦ βίου μεταβολαῖς ἑκατέρων πειραθῆναι ξυνέβη· καὶ κατὰ τὸν Εὐριπίδην.

« Θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ.
« Ὄλβου δ' ἐπιῤῥυέντος, εὐτυχέστερος
« Ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ.

Τῶν οὖν μέσων τούτων καὶ αὐτὸς εἷς ὢν τυγχάνεις· οὔκουν σε δεῖ δάκνεσθαι, ὅτι μὴ τὴν κρείττω τέταξαι τάξιν, ἣν οἱ μῦθοι μόνοις τοῖς ἀθανάτοις ἀπένειμαν· ἀλλ' ἀγαπᾷν, ὅτι τὴν μέσην εἰληχὼς, ἐλεεῖς καὶ αὐτὸς τοὺς ἐσχάτους, οἷς ἄκρατα προπέποται τὰ κακά· Ἀνέχου τοίνυν γενναίως, ἀνθρωπίνως τάν-

θρώπινα λογιζόμενος, καὶ φέρε τὸ συμβεβηκὸς ἀναγκαίως, μηδὲν ἐπιτρέχων πρὸς τὸ μέλλον τῇ φαντασίᾳ, ἥτις τυραννεῖ μάλιστα πᾶν τὸ ἀνθρώπινον, καὶ ταῦτ' ἐν περιστάσεσιν, ἐν οἷς αὐτὴ ἑαυτῆς κρείττων πέφυκε γίγνεσθαι, τὰ μικρὰ παριστῶσα μεγάλα, καὶ τὸν κώνωπα λέοντα· ἐξ ἧς ἄλλ' ἐπ ἄλλοις συμβαίνει χαλεπὰ τοῖς ἀνθρώποις· καὶ τὸ χεῖρον, ὑγιείας ἐκπίπτειν, ἥτις ἐστὶ τῶν δώρων τὸ μέγιστον· τηνικαῦτα γὰρ οὐ τὰ περὶ ἡμᾶς μᾶλλον, ἢ ἡμᾶς αὐτοὺς θρηνητέον ἂν εἴη. Ταῦτα μὲν οὖν, πρὸς ἄνδρα, οἷόν σε καὶ παρὰ σεαυτοῦ παραμυθίαν εὑρέσθαι δυνάμενον, εἴη δ' οὖν σοι καὶ τούτων τῶν παρ' ἐμοῦ οὐχ ἧττον ἀπόνασθαι. Ἔῤῥωσο.

*Τῷ αὐτῷ.* (35.)

Τὰ τελευταῖά σου κομισάμενος γράμματα, ᾐσθόμην σὲ καὶ ὑπονοήσαντά τι περὶ ἐμοῦ, ὡς μὴ πρὸς τὰ πρῶτα ἀπηντηκότος· τὸ δὲ ἀλλοῖον ἦν, μὴ εἰδότος μου, οὐθ' ὅθεν ἄρξωμαι γράφειν, οὔθ' ὅπῃ καταλήξω· ἐν γὰρ τοῖς μεγάλοις καὶ ἀπροσδοκήτοις συμβεβηκόσι μάλισθ' ἥτε ψυχὴ ἔνδοθεν ἐκταραττομένη, καὶ ὁ λόγος ἔξωθεν τῷ τοῦ πράγματος μεγέθει πανταχόθεν περικαταλαμβανόμενος, ἡ μὲν ἀποναρκεῖ ἐννοεῖν, ὁ δὲ καὶ τὸ νοηθὲν ὁπωσοῦν οὐχ' οἷός τε ἐκφράζειν ἐστι· ταῦτ' οὖν ἠνάγκασέ με σιωπᾶν· εἰκότως δὲ τοῦτο δοκῶ μοι καὶ ἄλλως γίγνεσθαι, ἵνα μὴ ἐς μνήμην τῶν ἀπολωλότων ἀνάγκῃ τὴν ψυχὴν ἐπανάγοντες, ἀναξαίνωμεν τὰ φλεγμαίνοντα τραύματα, δέον θεραπείαν ἐνδεχομένως γ' αὐτοῖς μηχανᾶσθαι· ἀλλ' εἴης μοι αὐτὸς ὑγιαίνων, κᾀκεῖνα πάντα τῷ χρόνῳ σοι προσγενήσεται, τυχὸν μὲν τοιαῦτα, τυχὸν δὲ καὶ κρείττω· εἰ δὲ μὴ, τὸ τῆς συνειδήσεως καθαρὸν παντὸς κρεῖττον εἰς παραμυθίαν, ὅτι τὸν ἄνθρωπον τὸν τίμιον καὶ ὀρθὸν, τὸν ἐνδότερόν φημι, οὐδέ ποτε οὔτε προὔδωκας,

οὔτ' ἀπώλεσας, ὅπερ ἕτεροι ἐν τῇ καθ' ὑμᾶς πολιτείᾳ ἐμπορίαν διατελοῦσι ποιούμενοι. Ἔῤῥωσο.

Κωνσταντίνῳ. (36.)

Ἀνάγκην καὶ δυσωπίαν, πάθη ἄμφω ὄντα, πολὺν ἤδη χρόνον αἰσθάνομαι ἐν ἐμαυτῷ ἀλλήλοις μαχόμενα· τὸ μὲν παραπεῖθόν με, παῤῥησιασάμενον, ἐνοχλῆσαί σοι· τὸ δὲ μεταπεῖθον μετρεῖν πρότερον τὸν παρόντα καιρόν· οὗ δυστυχοῦς ὄντος, οὐδ' αὐτὸς τυχὸν τυγχάνεις ἀπείρατος· Ἐν δ' οὖν τοιούτῳ ἀγῶνι ἐξενίκησε μὲν τὸ πρῶτον, ἰσχυρότερον τῷ χρόνῳ γενόμενον· παρεχώρησε δὲ τὸ δεύτερον, ὡς μηκέτι δυνηθὲν ἀντιστῆναι τῇ τοῦ κρείττονος προσβολῇ· Ἀναγκάζει με τοίνυν ὁ νικητὴς, ὡς ἀπὸ ἰσχυροτέρου βραχίονος, ἀναμνῆσαί σε, ὅτι μοι ὀφείλεις ἓξ μηνῶν δίδακτρα, ἐφ' οἷς τοὺς σοὺς ἐδίδαξα παῖδας· Ἀπόδος οὖν μοι τὸ ἀργύριον, δέομαι, νῦν γ' ὡς ἐν στενωτάτῳ καιρῷ, ἵνα μὴ ἡ ἀκαταμάχητος ἐκείνη κἀπὶ τὴν ἐμὴν σὺν μείζονι ὁρμῇ ἐπιστρατεύσῃ ὑπόστασιν. Ἔῤῥωσο.

*Κοραῇ.* (37.)

Μὴ θαυμάσῃς, ὅπως, τοσαύτης οὔσης ὑμῖν ἐν λόγοις πρὸς ἀλλήλους διοφορᾶς, ἥκω ἀξιώσων τι παρὰ σοῦ οὐ μικρόν· οὔτε γὰρ ἐγὼ, οἷος περὶ πλείονος φιλονεικίαν ἰδίαν ποιήσασθαι τῶν κοινῶν, καὶ ὁ παρὼν καιρὸς, καινουργὸς ὢν καὶ τῶν ἄλλων ἡμῖν πραγμάτων (σὺν θεῷ εἰρείσθω) καὶ ἅμ' ἐλεύθερον ἐπαγγελλόμενος βίον, ἀπαιτεῖ παρ' ἡμῶν νῦν γε μᾶλλον καὶ λέγειν καὶ φρονεῖν ταὐτὰ, ἐν οἷς μάλισθ' ὁμότεχνοι ὄντες, συμπροθυμούμεθα ἀεὶ τὰ βελτίω. Ἐκεῖνα τοίνυν τὰ πάλαι, ὅπερ ἤδη πολλάκις μοι εἴρηται, ἄφαρ ἀναρ-

πάσειαν ἄελλαι· σὺ δὲ δὸς ἡμῖν αὖθις σεαυτὸν ἀγαθὸν πρὸς τὰ κοινῇ ξυνοίσοντα ἡγεμόνα· ὅ,τε γὰρ λόγος ὁ σὸς διὰ τὴν ὑπόληψιν, ἥθ᾽ ὑπόληψις διὰ τὸν λόγον ἀπὸ τοῦ ἴσου ἄμφω τὰ μέγιστ᾽ ἐν ταῖς τῶν πολλῶν γνώμαις δύνανται. Τὶ οὖν μοι ταῦτα βούλεται; ἢ ὅπερ οἶσθα πάντως κᾀυτὸς, ὅσον τὰ ἡμέτερα σχολεῖα ὡς ἐν τοιούτῳ καιρῷ, ἁπάντων τῶν περὶ ψυχῆς θεόντων, κατήργηνται ἅπαντα· ἀλλὰ τοῦτό γ᾽ οὔπω δεινὸν, καίπερ ὂν δεινὸν, οὐδ᾽ ἂν ἐπὶ πολὺ, οἶμαί γε, διαρκέσειε· τῶν γὰρ πραγμάτων ἅμα λαβόντων τὸ ποθούμενον τέλος, ἔσται ταῦτ᾽ αὖθις καὶ βελτίω καὶ πλείω· ὃ δὲ μάλιστα λυπεῖ, καὶ ἀφαιρεῖ τὰς ἐλπίδας τὸ τῶν νεωτέρων ἐστὶ λογίων· ἔνιοι γὰρ αὐτῶν ἀηδῶς, οὐκ οἶδ᾽ ὅπως, πρὸς τὴν Ἑλληνικὴν φιλολογίαν διὰ τὸ ἐπίπονον σχόντες, καὶ ἀπὸ μικρῶν ἀφορμῶν τῶν σῶν ὁρμώμενοι λόγων, οὓς οὐδ᾽ ὅπως ἔχουσι νοὸς μετελθόντες ἐπισταμένως, τούτους αὐτοὺς διαστρέφουσι, καὶ τοὺς ἄλλους πείθειν πειρῶνται πρὸς ἀλλοκότους ἐννοίας· εἰς γὰρ ἀλλοτρίας γλώσσας παρατραπέντες, αὐτοί τε τῆς Ἑλληνικῆς κατεφρόνησαν, καὶ τοὺς ἄλλους οὐ παύονται παραπείθοντες ἰσχυρῶς, γνώμην σὴν εἶναι φάσκοντες ταύτην ῥᾷον εἶναι πολλῷ ἐν ἀλλοτρίαις γλώσσαις θηρᾶσθαι φιλοσοφίαν τοὺς Ἕλληνας, κακῶς τὰ σὰ ἀναγνόντες, ἢ μᾶλλον μήδ᾽ ἀναγνόντες οἱ πλείους κατ᾽ ἐπιςασίαν· ἀλλ᾽ ἄλλος παρ᾽ ἄλλου λαβόντες, διέδωκαν φήμην ψευδῆ περὶ σοῦ, ὀλεθρίαν ἐσομένην τοῖς πράγμασι. Ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα ἔπεισάν με γράψαί σοι τὴν ἀλήθειαν ταύτην· κᾀπί σοι νῦν κεῖται ἐσχάτως θεραπεῦσαι τὸ πρᾶγμα, ἐκδόντά τι περὶ μαθήσεως τῆς Ἑλληνικῆς γλώσσης καινότερον, καὶ ἐπαναλαβόντα τὰς τῶν νέων ὁρμὰς ἀξίως τῶν νῦν πραγμάτων· ἔσται δὲ ὁ καιρὸς οὗτος συμπράκτωρ καὶ βοηθὸς εἰς ὅ,τι σοι πρῴην ἐδόκει ἀδύνατον, ἱκανώτατος· ἐν γὰρ ταῖς μεγάλαις τῶν

πραγμάτων μεταβολαῖς ῥᾳδίως συμμεταπείθονται καὶ τῶν ἀνθρώπων αἱ προαιρέσεις, ὡς ἁμιλλωμένων ἁπάντων τυχεῖν, ὧν τῷ πόθῳ κατέχονται. Σοφὸν οὖν χρῆσθαι σοφῶς τοῖς καιροῖς, ὧν ἔπειτα, καὶ ἣν ζητῶμεν, οὐκ ἂν, οἶμαι, τύχοιμεν. Πλείω δέ σοι γράψαι περὶ τούτων, καὶ τὴν ἐμαυτοῦ ἀποφήνασθαι γνώμην, ὅπως ἥτ' ἀρχαία καὶ ἡ νεωτέρα διάλεκτος ἐν μέρει ἐν τοῖς Γυμνασίοις διδάσκοιντ' ἄν, τό,τε μέτρον τῆς ἐπιστολῆς ὑπερβήσεται, καὶ τὴν σὴν ἴσως κρίσιν παρενοχλήσει· εἴη δ' οὖν σοι καὶ ταῦτα εἰλικρινῶς καὶ ἀδελφικῶς ἀποδέξασθαι. Ἔῤῥωσο.

*Δημητρίῳ.* (38.)

ν Τὰ σὰ τελευταῖα κομισάμενος γράμματα, ἐθαύμασα, ὅπως καὶ σὺ ἐπεβάλου μέμφεσθαι τὰ παρὰ τῶν Ἑλλήνων νῦν κατὰ τῶν ἐχθρῶν τῆς πίστεως καὶ πάσης δικαιοσύνης τολμώμενα· καί τοι ἔδει σε, Ἕλληνα ὄντα καὶ εἰδότα μάλιστα τὸ τῆς τῶν θεομάχων Τούρκων τυραννίας ἀπαραδειγμάτιστον καὶ ἀνήκουστον, οὐ μόνον συναινεῖν ὅτι μάλιστα τὰ ὑπ' ἐκείνων καλῶς δραττόμενα, ἀλλὰ καὶ πρὸς τοὺς ἀγνοίᾳ, ὧν πάσχομεν, ἐπιμεμφομένους τὴν τόλμην ἡμῶν τοῖς τοῦγε λόγου καὶ τοῦ δικαίου ὅπλοις ἀντιστῆναι ἀνδρείως· τί γὰρ τῶν κακῶν ἡμῖν ὑπολέλειπται, οὗ τέσσαρας μικροῦ δεῖν αἰῶνας οὐκ εἰλήφαμεν πεῖραν; τί μὲν πρῶτον, τί δ' ὕστατον ἔχοι τις ἂν καταλέξαι; αὐτούς τε τούτους τοὺς Ὀθωμανοὺς ἐξηγριωμένους ἐφ' ἡμᾶς, ὥσπερ θηρία τινὰ ἀνθρωπόμορφα, πανταχόθεν; ἢ τὴν αὐτῶν κατοφρόνησιν τῶν σεβασμιωτάτων τῆς ἱερᾶς ἡμῶν πίστεως; ἢ ἁρπαγὰς οἵας καὶ ἡλίκας περιουσιῶν; ἢ φόρους ἀφορήτους ἐκ πάσης προφάσεως καὶ συκοφαντίας; ἢ παρθένους ἁρπαζομένας ἐκ τῶν ἀγκαλῶν τῶν μητέρων; ἢ παῖδας ἀποσπωσμένους ἀπὸ τῶν χειρῶν τῶν πατέρων;

ἢ γυναῖκας ἐξυβριζομένας ἐν ὄψει τῶν ἑαυτῶν ἀνδρῶν; ἢ αὐτοὺς τούτους τοὺς ἄνδρας ἑλκομένους ἁλύσεσιν ἀπὸ τοῦ τραχήλου, καὶ ἀπαγομένους ἀκρίτως εἰς βάραθρον, ἔνθα μάλιστα πάρεστιν ἰδεῖν τὰ τῆς τυραννίας ἀποτελέσματα; αὐτὰ γὰρ τὰ ἀρχεῖα ἐν ἑκάστῃ τῶν πόλεων οὐδέν ἐστιν, ἢ ἀσωτείας καὶ ἀσελγείας ἁπάσης ἄντικρυς καταγώγια, καὶ ὅλως παρθενικῶν σωμάτων καὶ τοῦ κατὰ Χριστὸν πολιτεύματος μιαντήρια· ἐῶ δὲ λέγειν τοὺς νεκροὺς ἀτάφους κατὰ τὰς ὁδοὺς καὶ πλατείας πολλαχῇ σηπομένους μέχρις ἂν οἱ ἀγχισταὶ ἐξωνήσωνται αὐτοῖς τὴν ταφήν· ὅ,τι γάρ ποτε ἥτε φαντασία ἐπινοεῖν, καὶ ἡ βάρβαρος θέλησις δύναται συναινεῖν, τοῦτ' οὐκ ἐκ λόγου ὀρθοῦ, οὔτ' ἂν ἐκ νόμου τοῦ γε φυσικοῦ (γραπτὸς γὰρ αὐτοῖς οὐκ ἔστιν, εἰ μὴ τὸ θέλημα τοῦ τυράννου) οὔτ' ἐξ αὐτοῦ τοῦ συνειδότος κωλύοιτο· καὶ τὸ μέγιστον ἡ ζωὴ ἡμῶν κεῖται ἐπὶ τῷ τυράννῳ, ὃς ἐπισείων τὴν μάχαιραν, ζητεῖ τίνα ἀπολέσῃ, οἱῳδήποτ' ἂν τύχῃ τρόπῳ ἀηδῶς αὐτῷ ἔχων· καὶ τούτων οὕτως ἐκ παλαιοῦ γιγνομένων, μήθ' ἡ φωνὴ ἡμῶν πώποτε εἰσῆλθεν ἐλεεινῶς τὰς αὐτῶν ἀκοὰς, μήτε μὴν τὸ πάθος αὐτὸ, τοιοῦτον γεγενημένον, τὸ σκληρὸν τῆς ψυχῆς μαλάξαι δεδύνηται· ὃ δὲ παραλογώτερον, μήτ' αὐτῶν τῶν χριστιανῶν Ἡγεμόνων, ὧν οἱ λαοὶ ἐντρυφῶσι τῇ εὐνομίᾳ, ἧς τὰς ἀρχὰς παρέλαβον ὁμολογουμένως παρὰ τῶν Ἑλλήνων· τοσούτων γὰρ καὶ τοιούτων ἐπὶ τῶν καιρῶν ἑκάστων συλλόγων τε καὶ βουλῶν γενικῶν τε καὶ μερικῶν γενομένων, λόγος ἐν αὐτοῖς περὶ ἡμῶν οὐδὲ εἷς· εἰ δέ πῃ καὶ εἴρηταί τι μεταξὺ, εἰς μῖσος καὶ μυκτηρισμὸν τελευταῖον ἡμῶν ἀπεκρίθη, ὥσπερ ἂν εἰ ἦμεν αὐτοὶ μήτε χριστιανοὶ τὴν ἀρχὴν, μήτε ἄνθρωποι ὅλως· Τί οὖν ἔδει ποιεῖν τοὺς ἐγκαταλελειμμένους, ὡς ἀνδράποδά τινα μηδενὸς λόγου ἄξια; ἢ δυοῖν θάτερον, ἤτοι ἀποθανεῖν ἐν τοῖς ὅπλοις, ἢ τὸ τῶν Τούρκων ῥητὸν

καταδέξασθαι (μὴ γένοιθ' ἡμῖν τοιαύτη ἀπόνοια!) ἵνα τῷ γε ὁμοθρήσκῳ τὸν ζυγὸν ἀποσείσαιντο.- Ἀλλὰ μεταξὺ λόγων αἰσθάνομαί σε, φίλτατε, φρίττοντα μὲν πρὸς ἑκάτερα, φιλόθεον ἅμα καὶ φιλάνθρωπον ὄντα· ἐν αἱρέσει δὲ τοῦ ἑτέρου, ἐπινεύοντα πρὸς τὸ πρῶτον, ὡς πατρῷον, ὡς τιμιώτερον, ὡς θεοφιλέστερον· δυοῖν γὰρ κακῶν προκειμένων φυσικοῦ τε καὶ ἠθικοῦ, τὸ φυσικὸν αἱρετέον ἂν εἴη ὡς μετριώτερον· πρὸς ὃ καὶ παρεδόθημεν ἤδη ἅπαντες ὁμοθυμαδὸν ὑπὸ προςάτῃ, καὶ ἡγεμόνι τῷ θεῷ, οὐ μόνον προαιρέσει συνδεδεμένοι, ἀλλὰ καὶ ταύτην αὐτὴν, ἵνα ᾖ ἄῤῥηκτός τε καὶ ἀμετάθετος, ὅρκοις ἀπαραβάτοις ἐπιστηριξάμενοι· πρὸς οὓς πᾶν τὸ κωλῦον θεωρεῖται ἱστὸς ἀράχνης· ἢ μᾶλλον εἰπεῖν προσθήκη ἡμῖν τοῦτο ἔσται ὀργῆς καὶ θυμοῦ, καὶ ὅλως ἀπόνοια πρὸς τὸν θάνατον. Τί οὖν ἂν εἴποιεν πρὸς τοσαῦτα καὶ τοιαῦτα δίκαια οἱ τῶν Ἡγεμόνων σύμβουλοι καὶ γενικοὶ ὑπηρέται, οἱ παραβάλλοντες, ὡς φὴς, τὰ ἡμέτερα πρὸς τὸ τῶν Καρβονάρων παράφορον καὶ παράλογον ἴσως κίνημα; τίς δὲ ὁμοιότης νόμῳ καὶ ἀνομίᾳ; ἐκείνοις μὲν γὰρ, ὥς φατε, ἀναιρεῖται ὁ νόμος, ὡς ζυγὸς αὐτοῖς νομιζόμενος· ἡμῖν δὲ ὡς ἀνόμοις πάλαι καὶ ὑπὸ νεύματι μόνῳ ζῶσι τυραννικῷ, οὐκ ἀναιρεῖται, ἀλλὰ μᾶλλον ζητεῖται ποθούμενος, κανὼν καὶ στάθμη βίου, ὥσπερ καὶ ἄλλοις τισὶν, ἐσόμενος καὶ ἡμῖν· τίς οὖν ὁμοιότης Ἰταλιώτας καὶ Ἰσπανοῖς πρὸς ἡμᾶς, ἐκ διαμέτρου τοῦ πράγματος διαφέροντος; Δεδόσθω τοίνυν καὶ ἡμῖν, ὃς καὶ αὐτοῖς ἐστι νόμος, καὶ πρὸς τὸ ἀγαπᾷν τούτῳ καὶ χάριν αὐτοῖς ἐςαεὶ ἐσόμεθα ὠφληκότες, κἂν ὑφ' ἑτεροθρήσκῳ Ἡγεμόνι τελῶμεν· τοῦτο γὰρ οὐδ' ἄλλοις τισὶ κακῶς ἔχει· εἰ δέ γε τὸ θέλημα τῶν βασιλέων συμβούλων τοῦτ' ἔστι, τὸ μένειν ἡμᾶς ἐν ᾧ ἐσμὲν ἐςαεὶ, μέχρις ἂν τελέως καταναλωθῶμεν ἐν τῇ δουλείᾳ,

ἔσται καὶ ἡμῖν ἐκεῖνο θέλημα ἰσχυρότερον δήπου, τὸ ἀποθανεῖν πάντως πάντας, ἀφ' οὗ οὐκ αὐτοὶ, ἀλλ' οὐδ' ἂν αὐτὸς ὁ Ζεὺς, εἰμὴ πρότερον ἐξέλοι τὰς φρένας, κωλύσειεν. Ἔῤῥωσο.

*Κυριακῷ.* (38.)

Ἀκούω σε σφόδρα τὴν μὲν τῶν ἀνθρώπων καταμέμφεσθαι φύσιν· θαυμάζειν δὲ μάλιστα τὴν τῶν ἀλόγων ζώων ὡς ἐκείνων μὲν ὅρον ταῖς πρὸς τὸ θῆλυ συνουσίαις οὐδένα, καιρὸν τιθεμένων· τούτων δὲ πᾶν τὸ τοιοῦτον ὡρισμένον ποιούντων, καὶ διὰ τοῦτο λογικωτέρων, ἢ ἐκεῖνοι, δοκούντων τὸ γὰρ θῆλυ, φῄς, ἅμα συλλαβὸν ἐν γαστρὶ, μηκέτι ἐπιδέχεται ἄῤῥεν πρὸς συνουσίαν, μέχρις ἂν τεκὸν, ἀπογαλακτήσῃ τὸ τεχθὲν, τῶν ἀνθρώπων μηδεμίαν ἡμέραν εἰδότων ἀφροδισίων ἀπέχεσθαι· καὶ διὰ τοῦτό σε φασὶ καὶ τὸν γάμον ὅλως ἀρνήσασθαι βούλεσθαι, ἵνα μὴ τῷ αὐτῷ τοῖς ἄλλοις περιπεσὼν ἀτοπήματι, δόξειας τῶν ἀλόγων ἀκρατέστερον ἔχειν τὰ πρὸς συνουσίαν, μὴ εἰδὼς, ὡς ἔοικεν, ὅτι ταῦτα λέγων, ἔγκλημα τίθεσαι τὴν τῆς φύσεως πρόνοιαν· ἔδει γὰρ τὸν τὰ τοιαῦτα φιλοσοφοῦντα, καθαρὸν προλήψεων πρὸς τὴν τῆς ἀληθείας προσέρχεσθαι ζήτησιν, ἀπὸ τοῦ τέλους ἐπιχειροῦντα. Δεῖ τοίνυν διακρίνειν εὐκρινῶς πρότερον φύσιν ἁπλῶς καὶ προαίρεσιν, καὶ οὕτω κρίνειν περὶ ἑκατέρων χωρὶς, ἵνα ᾖ σοι οὕτω τὰ τῆς κρίσεως ὑγιέστερα· νῦν δ' ἑκάτερον ἀνθ' ἑκατέρου μετειληφὼς, ὅλαις πήχεσι, τὸ τοῦ λόγου, τῆς ἀληθείας ἀποπεπλάνησαι· τοῖς τε γὰρ κτήνεσιν οὐκ ἐκ προαιρέσεως τὸ σῶφρόν ἐστιν, ἵν' ᾖ αὐτοῖς ἐπαινεῖσθαι ἐκ τούτου, καὶ τοῖς ἀνθρώποις αὖ τὸ διηνεκὲς ὡς σωτήριον ὑπὸ τῆς φύσεως κεχορήγηται· τὰ δὲ τοιαῦτα ἄμεμπτα πάντως καὶ ἀνέγκλητα ὅλως, ἐν μέτρῳ γιγνόμενα· πᾶν γὰρ τὸ ὑπὸ τῆς φύσεως ἐν μέτρῳ πραττόμενον, οὐκ ἔσθ' ὅπως

οὐχὶ ὀρθῶς ἐςὶ πεπραγμένον· αὕτη γὰρ καί τοι ἄλογος οὖσα, κατὰ λόγον καὶ πρός τι τέλος εὔχρηστον ἐν τῷ βίῳ δοκεῖ πάντα πράττειν, ὡς πάντ' ἐν λόγῳ κινοῦσα κατὰ τοὺς λόγους τῆς δημιουργίας πρὸς σωτηρίαν· Δεῖ δ' οὖν τὸν τὰ τοιαῦτα ἐπιβαλλόμενον ὑγιῶς ἐξηγήσασθαι ἀπὸ τοῦ τέλους μάλιστα, ὅπερ ἔφην, δι' ὃ ἕκαστον γίνεται, ἀφορμᾶσθαι· οὐ μὴν δὲ γνώμαις ἀλλοκότοις ἀκολουθεῖν· εἰσὶ γὰρ οἱ τὸν τῇ φύσει ἐνυπάρχοντα νόμον μὴ δυνάμενοι συνιδεῖν, οὐδ' ὅπως ἂν οὗτος ὁ ὁρώμενος κόσμος ἄμεινον συντηροῖτο, εἰς ἰδίας δοξασίας ἐτράπησαν, ὡσπερεὶ βουληθέντες αὐτὸν τὸν τῆς φύσεως δημιουργὸν διορθῶσαι. Ἐκ τούτων οὖν ἦν μὲν ἄν σοι ἱκανὸν, οἶμαι, κατιδεῖν τὸ ζητούμενον, ἐπιςήσας αὐτοῖς τοῖς πράγμασιν ἀκριβῶς, εἰμὴ πάνυ ἀλλοκότοις λόγοις προκατείληψο τὴν διάνοιαν· νῦν δ' ἀμφιβόλων σοι ἔτι ὄντων (αἰσθάνομαι γὰρ τοῦτο, τὴν αἰτίαν εἰδὼς) οὐκ ἂν φθονήσαιμι καὶ περαιτέρω προϊὼν τῷ λόγῳ, ἀκριβέστερον ταῦτά σοι ἐξηγήσασθαι, εἴ γε μόνον ἀνέξῃ μου λέγοντος.

Τῶν μὲν γὰρ ζώων τὰ ἄλογα ἐν τακτοῖς χρόνοις τοῖς ἀφροδισίοις πέφυκε χρῆσθαι, εἴγε τὸ θῆλυ τῆς ὁρμῆς ταυτησὶ πεπαυμένον, οὐκέτι προσίεται τὸ ἄῤῥεν πρὸς συνουσίαν· σοφὸν τοῦτό γε ἐν τῇ φύσει τοῦ δημιουργοῦ νομοθέτημα· τὸ γὰρ διηνεκὲς πρὸς συνουσίαν αὐτῶν ἐπιῤῥεπὲς, εἴπερ ἦν, αὐτοῖς τε κακὸν ἂν ἦν, καὶ ἡμῖν οὐ καλὸν (οὐδὲν γὰρ τουτωνὶ τῶν συντρόφων καὶ ὑπουργικῶν μεθ' ἡμῶν ἂν ἦν, οὐχ ἵππος οὐ βοῦς, οὐ πρόβατον, οὐκ αἲξ, οὐ κύων, οὐ γαλῆ, οὐκ ἄλλο οὐδὲν· ἀλλ' ἦν ἂν ὁρᾶν ταῦτα κατ' ἀγέλας ἄλλ' ἄλλοσε διατρέχοντα καὶ ἀλώμενα, ὡς μαινόμενα, οἷα ὁρῶμεν κἂν τῇ τῆς συνουσίας καιρῷ γιγνόμενα παρ' αὐτῶν) οὔτ' αὖθις εἰ καὶ τὸ ἄῤῥεν τὴν τῆς ἐπιθυμίας αἴσθησιν ἀφῃρεῖτο, καὶ πάλιν ἐν ὡρισμένῳ κατὰ τὸ θῆλυ ἀνελάμβανε χρόνῳ, συνή-

νεγκε· δυνατὸν γὰρ ἦν μὴ ὀργᾷν πρὸς συνουσίαν ταὐτοχρόνως ἀμφότερα· καὶ ἦν ἂν οὕτω, πρὸς ἃ ἀφορᾷ, ἀποτυχία τῆς φύσεως· ταῦτ' ἄρα διηνεκῶς τὸ ἄῤῥεν ἐπιθυμοῦν ἀεὶ, περιμένει τὴν τοῦ θήλεως κλίσιν εἰς τὸ πράττειν τὰ εἰκότα εἰς τὴν τοῦ εἴδους συντήρησιν. Ἀλλὰ ταῦτ' εἴποις ἂν καλῶς οὕτως ἔχει, καὶ σφόδρα παρέχεις σεαυτὸν τῷ λόγῳ πειθόμενον· τὶ δ' οὐχὶ καὶ παρὰ τοῖς ἀνθρώποις οὐχ' ὁ αὐτὸς κεκράτηκε νόμος, οἷς μᾶλλον, ἢ τοῖς ἀλόγοις σωφροσύνη προσήκει, ἵν' ὥσπερ τῷ λόγῳ, οὕτω καὶ τῇ ἄλλῃ ἀρετῇ ὦμεν αὐτῶν διαφέροντες, πρὸς ὃ καὶ ἡμῖν ἐξ ἀρχῆς ὁ λόγος ὡρμήθη; ἀλλὰ σύντεινόν μοι τὸ οὖς καὶ πρὸς ταῦτα· δεῖ δ' οὖν σε μήτ' ἐκ προλήψεως ὁρμηθῆναι πρὸς τὴν ἀκρόασιν, μήθ' ὡς εἰδότα τι περὶ τούτων, δυσάγωγον τοῖς ἐκ τοῦ λόγου φαινομένοις παρασχεῖν σεαυτὸν· ἀλλ' ἀπὸ ἁπλῆς καὶ καθαρᾶς προαιρέσεως τοῖς λεγομένοις ἐθέλειν ἀκολουθεῖν, στάθμην καὶ κανόνα ἐν ἅπασι τὸν ὀρθὸν λόγον πρὸ πάντων τιθέμενον· Ἐλεύθερα τοίνυν καὶ ἀστάθμητα καὶ ἀεὶ ἐνεργὰ ἐνῆκεν ἡ φύσις τοῖς ἀνθρώποις τὰ ἀφροδίσια, καὶ ὡς ἐν διηνεκεῖ ἀγάπῃ τῇ πρὸς ἀλλήλους τούς γε γάμῳ συνεζευγμένους αὐτοὺς βουλομένη διάγειν, καὶ πρὸς τὸ σκοπούμενον τὸ τεκνοποιεῖν τῶν καιρῶν εὐστόχως τυγχάνειν· τοιοῦτον ἡ ἐξ ἔρωτος χάρις, οἵα τά τε διεστῶτα συνάπτειν, καὶ τὰ ἁπλῶς συνημμένα συνάγειν σφοδρότερον, καθ' οὓς νόμους ἔθηκε τῇ φύσει ἐξ ἀρχῆς ὁ δημιουργός· εἰ γὰρ μὴ, ἦν ἂν ὁ βίος τῶν καλῶν παντάπασιν ἄμοιρος, θηριώδης, καὶ ἄγριος ὢν, οὔτε συγγένειαν, οὔτε κοινωνίαν ἡντινοῦν παρεχόμενος· διὸ καταλείψει, φησὶν, ὁ ἀνὴρ τὸν πατέρα καὶ τὴν μητέρα, καὶ προσκοληθήσεται γυναικί· ὃ οὐδὲν ἔμοιγ' ὑποδεικνύναι δοκεῖ, ἢ τὸν ἔρωτα, τοῦτο δὴ τὸ σπέρμα τῆς ἀνθρωπότητος, τὸν ἀδιάῤῥηκτον τῆς κοινωνίας σύνδεσμον, τὸν φύλακα τοῦ γένους, τὸ ἐλατήριον τοῦ πα-

τιλισμοῦ, τὸ μέγα τῆς προνοίας δῶρον εἰς τὴν τῶν ζώντων συντήρησιν· εἰ δέ γε οὗτος κἀν τοῖς ἀνθρώποις περιώριστο, ὡς τοῖς κτήνεσιν, οὐδεὶς ἂν οὔτ' ἀνὴρ γυναικὶ, οὔτε γυνὴ ἀνδρὶ ἐκ γάμου ποτὲ συνεγένετο· τίς γὰρ ἂν νοῦν ἔχων, ἵν' ἅπαξ τυχὸν τοῦ ἐνιαυτοῦ εἰς συνουσίαν ἔλθῃ, ὡς τοῦθ' ὁρῶμεν τοῖς πλείστοις τῶν ἑτεροφυῶν ζώων γενόμενον, βουλήσεται γήμας τοσαύταις φροντίσι περιβαλέσθαι; εἰ δέ γε θοῖμεν, ὅτι καὶ τὸν καιρὸν τοῦτον τῆς συνουσίας δυνατὸν τὸν ἕτερον αὐτῶν, ἢ καὶ ἀμφοτέρους νοσῆσαι, ἢ ἀποδημεῖν, ἢ ἄλλοτι συμβῆναι (πολλὰ δ' ἂν εἴη τοιαῦτα) οἷον μὴ συγχωρεῖν αὐτοῖς συνευνάζεσθαι τηνικαῦτα, τί φῶμεν; ἡ ἐκ τούτων ἀποτυχία οὐχὶ ὑπερτενεῖ τὴν τῆς ὁμιλίας ἐλπίδα, εἰς ἕτερον ἀναβαλοῦσα ἐνιαυτὸν, κἀκεῖθεν αὖ πάλιν, καὶ οὕτω τυχὸν εἰς ἕτερον; τίς οὖν ὑπὲρ οὕτω χρονίου ἡδονῆς, καὶ ταύτης πολλάκις ἀβεβαίου γύναιον, διηνεκῆ οὕτω φροντίδα, ἀλγηδόνα παροῦσαν, μάστιγα βίου, οἴκου φθορὰν, σειρὰν ἁμαρτημάτων (πάντα γὰρ ἔσται ἐν ἀποτυχίᾳ τοῦ ἔρωτος), τίς φημι τοιοῦτον κακὸν περιβαλέσθαι βουλήσεται; ἢ οὐχὶ καὶ νῦν ὁρῶμεν καὶ ἐν ἀφύκτοις ἔτι τῶν ἐρώτων δεσμοῖς, πολλοὺς διασπῶντας αὐτοὺς, καὶ τὰς ἑαυτῶν γυναῖκας ἀπολύοντας, ὡς μηκέθ' οἵους τε ὄντας φέρειν τοσοῦτον βάρος; ἵνα γοῦν μὴ ταῦθ' ἡμῖν οὕτω κακῶς ἀεὶ ἔχῃ, μήτε πάμπαν τὸ πρᾶγμ' ἀνήκεστον ᾖ, ἐνῆκεν ἡ φύσις ἀμφοτέροις τὸ διηνεκὲς τῆς ἐπιθυμίας πρὸς τὴν συνουσίαν, ἵν' εἴποτε καὶ διενεχθεῖεν πρὸς ἀλλήλους, συνάγοιντ' αὖθις, ὥσπερ ὑπ' ἀνάγκης τοῦ ἔρωτος. Δεῖ δ' οὖν τούς γε νοῦν ἔχοντας, ὅπερ ἔφθην εἰπὼν, χρῆσθαι τῷ δώρῳ μετρίως, εἰδότας, ὥσπερ καὶ ἄλλας ἀρετὰς ὑπαρχούσας τὸ τῶν παθῶν ἑκάστων ὑπερβάλλον κωλυούσας ἐν ἅπασιν, οὕτω δὴ καὶ σωφροσύνην τὰς τῶν ἐρώτων ὑπερβολὰς χαλιναγωγοῦσαν· μυρίων γὰρ ὄντων χ' ὁ ἔρως, ἡνίχ' ὅρος,

αὐτῷ μὴ τεθείη, αἴτιος γίγνεται τοῖς ἀνθρώποις· διὸ συνᾴδειν χρὴ ἐν τούτοις μετὰ τοῦ τραγῳδοῦ.

» Ἔρωτες ὑπὲρ μὲν ἄγαν
» Ἐλθόντες, οὐκ εὐδοξίαν,
» Οὐδ' ἀρετὰν παρέδωκαν
» Ἀνδράσιν· εἰ δ' ἅλις ἔλθοι
» Κύπρις, οὐκ ἄλλα θεὸς
» Εὔχαρις οὕτω.
» Μήποτ', ὦ δέσποιν', ἐπ' ἐμοὶ
» Χρυσέων τόξων ἐφείης,
« Ἱμέρῳ χρίσασ', ἄφυκτον οἰστόν.
» Στέργοι δέ με σωφροσύνα,
» Κάλλιστον Δώρημα θεῶν.

οὕτως, ὦ θαυμάσιε, φιλοσόφει περὶ τῆς φύσεως, ἕπεσθαι ἐθέλων ἀεὶ τοῖς δόγμασι μᾶλλον αὐτῆς, ἢ ἀντιβαίνειν, αὐτὸς ἐκείνην πρὸς τὸ δοκοῦν ἀλογώτερον ἕλκων· δάκτυλος γὰρ θεοῦ ἐστιν ἐν αὐτῇ· Ἔῤῥωσο

*Ἀρσάκῃ τῷ ἰατρῷ.* (39.)

Πολλή μοι χάρις ἐν Στεφανουπόλει παρὰ πολλῶν διὰ σέ· πλείων δέ σοι παρ' ἐμοῦ δι' ἐκείνους· τὸν γὰρ παρ' ἐμοῦ σοι συσταθέντα Δημήτριον φιλανθρώπως δεξάμενος, κἀν τῷ νοσοκομείῳ καταστήσας νοσηλευθησόμενον, ἔδειξας πολλοῖς τὰ μέγιστά με δύνασθαι παρά σοι· ταῦτα ἄρα, ἧς παρ' ἐκείνων ἀξιοῦμαι τιμῆς, τὴν αὐτήν σοι καὶ σὺν τόκῳ ἐκτίω· ἀλλὰ τὸ τιμᾶσθαι ἔοικε τοῖς σιτίοις, ἃ πλέον μιᾶς ἡμέρας οὐκέτι τρέφει, καὶ διὰ τοῦτο ἐπαναλήψει συχνῇ τούτων συντηροῦμεν τὸ ζῆν, πληρώσει καὶ κενώσει ἐκεῖνο περιποιούμενοι· οὐκοῦν ἢν κἀμὲ νομίζῃς πεινῆν τε καὶ διψῆν τῆς παρὰ τῶν δεομένων ἐμοῦ ὁτιδήποτε τιμῆς καὶ, μάλιστα ἐπ' εὐεργεσίᾳ, μὴ δυσχεράνῃς μοι, ὅτι καὶ δεύτερον τὸν τὴν ἀνὰ χεῖράς σοι

δόντα συνίστημι τῇ σῇ προστασίᾳ· Γρηγόριος δ' ἐσθ' οὗτος ὁ Μερισέσκος ὁ τῶν μαθητῶν τῶν ἐμῶν εὐγνωμονέστατός τε καὶ φιλομαθέστατος, καὶ νῦν διὰ τὸ τετρίφθαι παρὰ τοῖς ἐς τὰς θύρας θαμίζουσιν, ἱκανώτατος πράγμασι χρῆσθαι, καὶ τοὺς ἑαυτοῦ θεραπεῦσαι προστάτας· Εἰ οὖν αὐτοῦ τινος τύχοι τοιούτου, δείξει αὐτῷ τε καίσοι μάλιστα μὴ φαῦλον ὄντα με ἐπαινέτην, κἂν παῖδα πρὸς παῖδά μοι γενόμενον ἐπαινῷ (παῖδας γὰρ ἔγωγε τοὺς ἐμαυτοῦ μαθητὰς, καὶ ἀδελφοὺς ἀλλήλοις καὶ καλῶ καὶ νομίζω)· ἐπίσταται γὰρ θεραπεύειν πατρῶνα, καὶ ἄξιος πελάτης γενέσθαι, εἰ μὴ δύσκολός τις καὶ σμικρολόγος κἀκεῖνος ὢν τύχοι. Ἔῤῥωσο, τιμῶν, καὶ τιμώμενος παρὰ τοῦ πατρός.

*Τῷ αὐτῷ.* (40.)

Χριστόδουλος ὁ Σαΐτζῆς, ὁ καλὸς μὲν κἀγαθὸς πρὸς πάντας γενόγενος· περιστάσεσι δὲ νῦν πολλαῖς περιπεπτωκὼς, ὁ μάλιστά μοι τῶν συμπολιτῶν μου πεφιλημένος, ἀναφέρει εἰς τὸν Ἡγεμόνα, ἐξαιτούμενος δίκαια· διαπράττεται δὲ ταῦτα διὰ τοῦ γραμματικοῦ Ἠλία. τοῦτον οὖν τὸν Ἠλίαν δεξάμενος προσηνῶς, καὶ ἀκρόασιν αὐτῷ παρασχὼν, ὧν ἂν εἴπῃ, τὰ μέγιστά μοι ἔσῃ κεχαρισμένος· εἰ δὲ καὶ ὧν ἀξιοῖ τοὺς λόγους προσαγγείλας, πρὸς ὃν δεῖ, καὶ ὡς δεῖ, προσεπιδαψιλεύσῃ ἡμῖν τὴν ἡδονήν. Τρίτη δὴ αὕτη μοι χάρις παρὰ σοῦ τῇ γε τάξει· πρώτη δὲ τῇ τιμῇ καὶ ἀξίᾳ. Ἔῤῥωσο.

*Φηλίτῃ ἰατρῷ.* (41.)

Εἴπερ ἦν μοι πεπρωμένον τοσαύτης ἐπηρείας τυχεῖν παρὰ σοῦ, ἅλις τούτου· κόρος γὰρ, ὥσπερ πάντων, καὶ τοῦ κακῶς ποιεῖν· Γενοῦ τοίνυν νῦν γε ἐμοὶ μὲν ἱλαρώτερος, σεαυτῷ δὲ δικαιότερος, οἷα δεῖ ἄνδρα πεπαιδευμένον· εἰ δὲ ἀναβάλλεις ἐπίτηδες,

ἐφ' ᾧ κιβδηλωθῆναι ἐς τοὔσχατον τὸ νόμισμα τοῦ Σουλτάνου, εἶτ' ἀποτῖσαι μήτε τὸ ἥμισυ, ἀδικεῖς αὐτὸς σεαυτὸν, ἄδικα φρονῶν τε καὶ πράττων· εἴληφας γὰρ αὐτὸς μὲν ἐν χρείᾳ, δεόμενος· δέδωκα δέ σοι ἐγὼ χαριζόμενος, δανεισάμενος παρ' ἑτέρων, ὡς οἶσθα τοῦτο σαφῶς, δεόμενος κἀγὼ περὶ σοῦ· εἰληφὼς δὲ χρυσᾶ πεντήκοντα μάλιστα πρὸς τοῖς ἑκατὸν, ὀφείλεις νῦν ἑβδόμῳ ἔτει ἐλάττω καὶ τοῦ κεφαλαίου, τοῦ νομίσματος ἐξ ἡμισείας κιβδηλωθέντος, εἴγε ἀπαθῶς ἐθελήσεις λογίσασθαι, ἃ ἔδει σε ἀποτῖσαι τῷ τῆς συνειδήσεως λόγῳ, πρὸς ἃ νῦν ὀφείλεις τῷ δικαίῳ τῆς συγγραφῆς. Δὸς οὖν μοι συλλήβδην εἰπεῖν τὸ πᾶν ἐν ὀλίγῳ· τοὺς μὲν γὰρ ἀπαιδεύτους νόμος εὐθύνει· τοὺς δὲ πεπαιδευμένους, λόγος· καὶ τοῦτ' ἂν εἴη μάλιστα φιλοσόφοις πρὸς τὸν πολὺν ἄνθρωπον πλεονέκτημα· ἃ γὰρ ἐκείνους νόμος βιάζεται, τούτους μάλιστα πείθει λόγος· Τούτου οὖν τοῦ κόμματος ὢν καὶ αὐτὸς, μὴ προδῷς τὴν τάξιν, εἰς τὴν τῶν χυδαίων σεαυτὸν μεταστήσας. Ἔρρωσο.

*Τῷ Ἀρσάκῃ.* (42.)

Ἀντὶ χάριτος χάριν ἥκω σοι ἀποδώσων μικράν γε ταύτην ἀντὶ μεγάλης, ἐφ' οἷς κατέπραξας τοῖς φίλοις μοι Σαϊτζίσι παρὰ τῆς Ὑψηλῆς ἐξουσίας τὸ δι' ἐμοῦ αὐτοῖς αἰτηθέν· χαίρω μὲν γὰρ τιμώμενος παρὰ σοῦ· χαίρω δὲ καὶ παρ' ἐκείνων ὑπερτιμώμενος διὰ σέ· ἀποφέρομαι δὲ τὴν τιμὴν οὐχ' ὁμοίως παρ' ἀμφοτέρων· ἀλλὰ τὴν μὲν, ὡς εὐεργετούμενος· παρ' ἐκείνων δ', ὡς εὐεργετῶν. Εἴη δ' οὖν παρὰ πολλῶν τῶν γε σοῦ δεομένων τοιαύτας σοι ἐγγίγνεσθαι χάριτας· θεοῦ γὰρ φύσει ἴδιον τὸ εὖ ποιεῖν ὂν, κοινὸν προαιρέσει γίγνεται καὶ ἀνθρώποις· κοινὸν ἄρ' αὐτοῖς καὶ τὸ μακαρίζεσθαι ἐπὶ τούτῳ· διὸ πάντες ἐπὶ πᾶσιν ἂν μεταμέλοιντό ποθ' ὕστερον· ἐπὶ δὲ εὐποιΐᾳ οὐδ' ἂν εἷς οἶμαι ἔγωγε· διὰ μακροῦ γὰρ ἡ χάρις

τό γ' Εὐριπίδειον. Ἔῤῥωσο, φιλοσοφῶν καὶ πράττων τοῖς γε σοῦ δεομένους ὅ,τι ἂν οἷός τε ᾖς, ἀγαθόν.

Τῷ αὐτῷ. (43.)

Πολλάκις ἔγνων ὀμόσας, ἦ μὴν μηκέτι σοὶ περὶ μηδενὸς ἐνοχλήσειν, μήτε συνεχῶς οὕτω τῇ σῇ καταχρήσεσθαι ἀρετῇ, ἄλλοις ἐπ' ἄλλοις σοι συνιστῶν· ὅτι δὲ τὸ δόγμα τοῦτ' οὐχ' ὁρμὴ ἦν ἁπλῆ, αὐτὸ τὸ πρᾶγμα προσεβεβαίωσε, πολλοὺς ἤδη συστάσεως πρὸς σὲ παρ' ἐμοῦ δεομένους ἐν πολλαῖς εὐπροσώποις προφάσεσιν ἀπράκτους μου ἀποπέμψαντος· πέπρακται δέ μοι, τοῦτο οὐ μᾶλλον σοῦ φειδομένου, ἢ καὶ ἐμαυτῷ ἀπό γε τῶν τοιούτων προμνωμένῳ τὸ ἥσυχον, πολλῶν πολλὰ παρεχόντων μοι πράγματα, ὡς δῆθεν μέγα μὲν ἐμοῦ παρά σοι δυναμένου, μέγιστον δέ σου παρὰ τῷ ἀγαθῷ Ἡγεμόνι· ὥστε καὶ δόξαν ἐκείνην διὰ πάντων χωρεῖν τηλικοῦτον δύνασθαι τὸν Νεόφυτον διὰ σοῦ ἐν Δαξὶν, ἡλίκον φασὶ τὸ Θεμιστοκλέους μειράκειον διὰ τῆς μητρὸς ἐν Ἀθήναις, εἴγε μέμνησαι, οἷα ὁ πατὴρ ἐσεμνύνετο περὶ τοῦ παιδὸς Λυσιμάχου. Ἀλλὰ τὸ δόγμα ἐκεῖνο μέχρι νῦν ἦν μοι κύριον· ἔστι γὰρ ἐν ἀνάγκαις, ὥσπερ νόμου, καὶ ὅρκου μετάθεσιν γίγνεσθαι· καὶ Ἀγησιλάῳ ποτὲ πρὸς τὸν ὑπάρχοντα κίνδυνον ἀπορουμένῳ, ἀπὸ τῆς αὔριον τὰ Λυκούργου σεμνὰ κρατεῖν εἴρειται. Ταὐτὸν οὖν κἀμοὶ ἤδη γίγνεται· οὔτε γὰρ ὅρκος, οὔτ' ὄκνος, μή τι πρὸς τὸν χρηστὸν Ἀρσάκην ἀπέχθωμαι, ἀποτρέψαι με δύναται τοῦ μὴ προσθεῖναι τῷ τῶν συνισταμένων χορῷ καὶ Δημήτριον τὸν Γκανῆν· περὶ μόνου γὰρ τούτου, τῆς γλώσσης ὀμωμοκυίας, ἡ φρὴν ἦν ἀνώμοτος ὅλως· ἔστι γὰρ ὁ ἀνὴρ ἐπιεικείᾳ μὲν καὶ τῇ ἐν πᾶσι τιμιότητι (πρόσθες δὲ καὶ τῇ τύχῃ) ὁμοιότατος Παναγιώτῃ τῷ σῷ κηδεστῇ· παιδείᾳ δὲ, καὶ ἄλλοις πράγμασι χρῆσθαι, οἶμαι, προὔχει

πολλῷ. Τοῦτον οὖν τῆς σῆς εὐνοίας δεόμενον χάρισαί μοι, φίλον φίλῳ συνιστῶντι, φιλοφρόνως δεξάμενος, μέχρις ἂν πεῖραν λαβὼν τοῦ ἀνδρὸς, καὶ χάριν μοι εὖ οἶδ' ὅτι προσομολογήσῃς, τοιούτους σοι φίλους μνηστεύοντι. Ἔῤῥωσο·

Τῷ Ἀγγελάκῃ. (44.)

Κρατίστην πάντων τὴν ἔνδειαν εἶναι ὁ σοφὸς εἴρηκεν Ὅμηρος· ἐγὼ δὲ προστίθημι καὶ ἀναίσχυντον αὐτὴν εἶναι, ἐπειδὰν κορυφωθεῖσα ἐς τὸν ἔσχατον ἥκῃ ὅρον· οὐκέτι γὰρ οὔτε πρὸς τὸν καιρὸν ἀναβάλλεσθαι, οὔτε τοὺς κρείττους αἰδεῖσθαι ἐᾷ· ἀλλ' ἐπιφυομένη πείθει, ἢ μᾶλλον προσαναγκάζει δεσποτικῶς αἰτεῖσθαί τε ἀπαιτοῦντα, καὶ δεῖσθαι προσλιπαροῦντα, μέχρις ἂν ἐκβῇ τὸ προσῆκον· τί γὰρ ἂν καὶ πάθοι τις, χειμῶνος ἤδη ἐπιβαρύνοντος, καὶ προσόδου μὲν προσούσης μηδαμόθεν μηδεμιᾶς, τῶν δὲ ὑπαρχόντων ῥυέντων παρὰ τοῖς ἀνατετροφόσι ἤδη τὴν τράπεζαν; τοῦ δὲ ἐνοικίου δεκάμηνον ἤδη μοι ὀφειλομένου τῷ τὴν οἰκίαν μισθώσαντι; Ἀλλ' ἀπόδοτέ μοι, ὦ βέλτιστοι, τὰ δίδακτρα, καὶ μὴ ἀναγκάζετε γέροντα δυτυχῆ τραπέσθαι ἐπὶ τὸ ἀπαιτεῖν ἀναξίως διὰ τῶν νόμων· τοῦτο γάρ μοι λοιπὸν, εἰ καὶ νῦν ἐκπέσοιμι ἄπρακτος. Ἔῤῥωσο.

Τῷ Κούμᾳ. (45.)

Ἤκουσται μὲν ἡμῖν, ἀλλ' οὐ καὶ πεπίστευται· νῦν δὲ καὶ ἑωρακότες καὶ ἀνεγνωκότες ἐσμὲν, ἃ ἐν Ναυπλίῳ οἱ τὴν τῶν πραγμάτων ἐμπεπιστευμένοι κυβέρνησιν, ἄνδρες ἀσυνείδητοι καὶ βδελυροὶ, οὓς οὐχ Ἑλληνίδες, ἀλλ' αἱ τοῦ ᾅδου ἐγέννησαν Ἐριννύες, καταπολιτευόμενοι τὸν δῆμον, σκευωροῦσιν, ὅπως τὸ τῆς πολιτικῆς πλοῖον, μήπω τῆς Σκύλλης ἀπαλλαγὲν ἐντελῶς, εἰς τὸ τῆς Χαρύβδεως ῥίψουσι χάσμα· Τοῦτο μὲν οὖν ἐξέπληξεν ἐνταῦθα τούς γε νοῦν ἔχοντας,

οἷς τε ἔρως ἀτεχνῶς τῆς πατρίδος ἐντέτηκε, καὶ ὧν ὁ πόθος τῆς τῶν Ἑλλήνων ἐλευθερίας καὶ βελτιώσεως τὰς ψυχὰς καταφλέγει· βαβαὶ τῶν νέων Κιμώνων καὶ Κονώνων τῶν κατὰ θάλατταν! βαβαὶ καὶ τῶν κατ' ἤπειρον Μηλτιαδῶν καὶ Περικλέων, τοῦ βήματος καταπροειμένου ὑπὸ Δημαδῶν καὶ Φιλοκρατῶν ἀνδραρίων ἐξωλεστάτων, οὕτω βδελυρῶς προποιόντων τοῖς Ἄγγλοις τὰ πράγματα! εἰς μάτην ἄρα ἔῤῥιπται τὰ πολιτικὰ παραγγέλματα τῷ σοφῷ Κοραῆ· ἀντὶ γὰρ τοῦ κατασχεῖν αὐτῶν τὸ φιλόπρωτον δοκεῖ καὶ προσερεθίσαι πρὸς τοῦτο τὴν τῶν ἀλαζόνων ἰσχυρογνωμίαν. Γράψον οὖν πρὸς θεοῦ τῷ ἱερῷ Φοίβῳ ὅ,τι ποτ' ἂν δόξῃ σοι ἄξιον πρὸς τὸ πρᾶγμα, ἐφ' ᾧ προκαταλαβεῖν τὴν νέαν ἐσομένην βουλὴν ἑτέροις λόγοις ἀναιρετικοῖς τοῦ παρανόμου καὶ βιαίου ἐκείνου ψηφίσματος· μὴ μὰρ γένοιτο τοὺς Ἕλληνας ἐκ τοσούτων τροπαίων ἐν ὅλῃ πενταετίᾳ, νῦν ὑπ' ἄλλοις γενέσθαι! μὴ θεέ μου! μὴ ὦ σῶτερ!

Τῷ *Ἀρσάκῃ*. (46.)

Οἶδ' ὅτι πολλάκις πολλοὺς συνιστῶν, ἐνοχλῶ· ἀλλὰ τί ἂν ποιήσαιμι, φίλου παρὰ φίλου ἀπαιτοῦντος τοῦτο πρὸς φίλον; Σωτήριος γὰρ ὁ Στόλνικος, οὗ ἡ σύστασις ἥδε, διὰ χρόνου ἐνταῦθα ὑμῖν συνήθης γεγενημένος, τῆς κοινῆς συμφορᾶς καὶ αὐτὸς μετασχὼν, καὶ πέμπτον ἤδη ἔτος μεθ' ἡμῶν ταλαιπωρηθεὶς, ἀναγκάζεται νῦν ἐπανελθεῖν εἰς τὴν ὑμετέραν βωτιάνειραν γαῖαν τῷ συνήθει χρησόμενος βίῳ· σὲ δὲ προστάτην τῶν τοιούτων ἥτε φήμη διεκήρυξε παρὰ πᾶσι καὶ τὰ πράγματα αὐτὰ βεβαιοῖ. Δέξαι τοίνυν τὸν ἄνδρα τῇ συνήθει σου εὐμενείᾳ, καὶ γενοῦ αὐτῷ ἀρωγὸς, ἐν οἷς ἂν σου δεηθῇ εἰδὼς, ὡς τὸ προαιρεῖσθαι εὖ ποιεῖν, ἐμοί τε χαριῇ, καὶ θείαν ἐκπληρώσεις ἐντολήν· φησὶ γὰρ, καθὼς θέλετε

ἵνα ποιῶσιν ἡμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖται αὐτοῖς ὁμοίως. Ἔῤῥωσο.

*Τῷ αὐτῷ.* (47.)

Οὐκ ἄνευ λόγου παῖδες γραφέων ἐπὶ σφαίρας ἀκροβατεῖν παριςῶσι τὴν τύχην· ἀςάτως γὰρ ἀεὶ πεπηγμένη, οὐδέποτε παύεται, ὡς ὑπὸ ῥιπίδων κάλαμος, ἐφ' ἑκάτερα ῥέπουσα, τὰ μὲν κάτω περιάγουσα ἄνω, καὶ τἄνω πάλιν ἐπὶ τὰ κάτω τάχιον, ἐπειδὰν αὐτῇ δόξῃ, ἐπὶ κεφαλὴν κατασπῶσα· ἀλλ' οὐ πᾶσι καὶ ταὐθ' ὁμοίως προσφέρεται· ἀλλ' οὓς μὲν παραλλάξεν τῇ περιαγωγῇ εὐφραίνει καὶ λυπεῖ· οἷς δὲ οὔτε τἀγαθὰ ἄμικτα δωρεῖται κακῶν, οὔτε τὰ κακὰ ἐπιφέρει ἄνευ ἐπιθήκης τῆς ἔξω ἐπηρείας· ἀνὴρ γὰρ Ἕλλην νῦν γε παρὰ τοῖς Δαξὶ καὶ ἀκουόμενος, φασὶ, μισητὸς, καὶ εἰς θέαν ἐρχόμενός ἐστιν ἀπεχθέστερος· τῇ τε τύχῃ, εἴπου γε τύχοι, διαλλαγεὶς, ἐπισπᾶται τὸν φθόνον, καὶ δυστυχήσας αὖθις, οὐκ ἐλεεινὸς, ἀλλ' ἐπίχαρμα γίγνεται τοῖς πολλοῖς κατὰ πάθος κακόηθες· ἀλλ' ἡμῶν μὲν τοῖς πλείστοις οἰστὸν τὸ φέρον, ὡς φέρει, ἄλλῳ ἄλλοθεν πορίζομένοις τὸν βίον· περὶ δὲ τῆς οἰκογενείας τῶν Σαμουρκασιδῶν τί καὶ ἂν εἴποιμι, οὕτως αἴφνης ἀπὸ τῶν ἐλπίδων καταγούσης αὐτοὺς τῆς τύχης, εἰς τὰς οὐρανίους μονὰς τοῦ εὐεργέτου καὶ πατρὸς αὐτῶν ἀπελθόντος; πατρὸς δέ φημι, ὅτι καὶ ἐκ διαθήκης τὸ παῖδες εἶναι κεκλήρωνται. Τούτους οὖν ἴσθι παιδείᾳ καὶ ἤθει κεκοσμημένους, καὶ εὐσεβείᾳ καλῶς πεφραγμένους πρὸς τὴν ἔξω ἀπάτην· μαρτυρεῖν γὰρ αὐτοῖς ἔχω, ὡς παρ' ἐμοὶ παιδευθεῖσιν· Εἰ οὖν χάρις τις πατρῴας εὐνοίας σοι προαπόκειται, ἀπόδος αὐτὴν τοῖς τοῦ πατρὸς παισὶν, ὁδὸν βίου αὐτοῖς ἐξηγούμενος· πλεῖον δὲ περὶ τούτων δεῖσθαί σου, ἵππον ἐς πεδίον, τὸ δὴ λεγόμενον, ἐστὶν ἀφιέναι. Ἔῤῥωσο.

*Τῷ αὐτῷ.* (48.)

Οὐδὲν αὐτόθεν ἡμῖν μᾶλλον ἀπαγγέλλεται περὶ σοῦ, ἢ ὅτι καλῶς διατελεῖς χρώμενος τῷ δύνασθαι πρὸς τὸν Ἡγεμόνα, ἐκτεθειμένος ὅλως τοῖς δεομένοις πρὸς εὐεργεσίαν· διὸ δρόμος τοιούτων συχνὸς πρὸς ἐμὲ, ἀξιούντων διδάσκαλον ὄντα, καλὸν κἀγαθὸν μιμήσασθαι μαθητὴν, ὁμοίως σοι χρησάμενον πρὸς τὸ εὖ ποιεῖν τῷ δύνασθαι παρά σοι· δόξα γὰρ αὕτη κεκράτηκε παρὰ πᾶσι μέγαν εἶναι παρ' Ἀρσάκῃ τὸν Δούκαν· Εἴτι οὖν ἐνοχλῶ, συχνοὺς συνιστῶν, κοινὸν τοῦτο καὶ πρὸς ἐμὲ παρὰ σοῦ, ὡς καὶ αὐτὸν ἐνοχλούμενον τῷ τιμᾶσθαι· ἀλλ' ὥσπερ χάρις, καιρὸν μὴ ἔχουσα, ἐςὶν ἐπαχθής· οὕτω καὶ ὄχλησις, εὐκαίρως γενομένη, καὶ τοῦ τέλους τυχοῦσα, τὴν θ' ἡδονὴν ἀμεταμέλητον ἔχει, καὶ τὴν χάριν ἀποκεισομένην ἀΐδιον, καὶ μάλισθ' οἷς προσήκει, καὶ ἐν καιροῖς πολλὴν ἔχουσι τὴν ἀνάγκην, κατατεθειμένην. Ἀλλὰ τίνα μοι ἐνταῦθα ὁ λόγος αἰνίττεται; οἶσθα Αἰκατερίναν τὴν σεμνοτάτην ἀδελφὴν Σαμουρκάση, τοῦ πρῴην τὸ ζῆν ἐκμετρήσαντος, τὴν πολύτεκνον μὲν καὶ καλλίτεκνον, οὐ μὴν δὲ καὶ γελώσης τυχοῦσαν τύχης· αὕτη δὴ πανοικὶ πρὸς ὑμᾶς αὐτοῦ ἐλθοῦσα, τίς γενήσεται; Οὐκοῦν ἡ σὴ καλοκἀγαθία, προσλαβοῦσα καὶ τὴν ἀνέκαθεν πρὸς τὴν οἰκογένειαν οἰκειότητα διδάξει σε, ὁποίους λόγους δεῖ προσενεγκεῖν ὑπὲρ αὐτῆς πρὸς φιλάνθρωπον Ἡγεμόνα, καὶ ὅλως σωτήριον ἑαυτῷ τὸν πρὸς τοὺς δεομένους ἀποτιθέμενον ἔλεον. Ἔρρωσο.

*Τῷ Δημητρίῳ.* (49.)

Παναγιώτης ὁ Κυπριανίδης ὁ φίλτατος ἡμῖν καὶ φιλῶν, καὶ φιλούμενος, ἐπανελθὼν πρῴην ἀπὸ τῶν καθαρτηρίων ὑδάτων, παρασκευάζεται ἤδη ἀπᾶραι εἰς Ἑρμαννούπολιν, καθ-

κεῖθεν αὖ ὡς ὑμᾶς εἰς τὸ κλεινὸν, εὐφημότερον εἰπεῖν, Βουκουρέστιον· ὁ δ' αὖ Κομμητᾶς καὶ αὐτὸς ζητεῖ ἤδη τὸν συνέμπορον πρὸς τὴν τῶν Οὔγγρων μητρόπολιν· τίς οὖν γένωμαι αὐτὸς ἔρημος ἐνταῦθα μεμενηκώς; ἔρημος δὲ ἀνθρώπων μὲν οὔ· φίλων δὲ, καὶ ὧν ταῦτα κεκράτηκε παιδικά· τούτων γὰρ τὴν ἀπουσίαν ἐρημίαν καλεῖ ὁ Ἐπίκτητος· φίλον μὲν ἡ Στεφανούπολις ἀνδρὶ φιλολόγῳ δι' ἡσυχίαν, ἀλλὰ μετὰ τῶν ὁμοίων ἐν αὐτῇ διατρίβοντι· φίλον δὲ καὶ ἐν σώφροσιν ἡδοναῖς, ὥστ' εἰς τέρψιν τὴν ἀπὸ τῆς θέας ἀνίεσθαι, ἀλλὰ κατὰ μόνον τὸ θέρος. Τούτου οὖν μετ' οὔπολυ παρελθόντος, ὄψομαι ἐν Βουκουρεστίῳ τοὺς φίλους, κἂν τὸ Βουκουρέστιον ἀποστρέφωμαι· συναπολαύσω τῶν λόγων, κἂν τῶν ἔξω στερηθῶ ἡδονῶν· μετὰ γὰρ ἐκείνων καὶ θάνατον εἰ ἐπέλθοι, μετριώτερος ἔσται. Ἔρρωσο.

### Τῷ Λουκᾷ. (50.)

Ἡ μὲν φύσις, εἰς γῆρας πολλάκις προϊέναι δοκοῦσα τῇ τοῦ φωςῆρος ἀνακαινίζεται ἐπανόδῳ, ἐπαναλαβοῦσα τὸ ἔαρ· ἡ δὲ φιλία, εἴποτε τοῦτο πάθοι, ἀναμνήσεσι καὶ γράμμασι πέφυκεν ἀναθάλλειν· ἅμα γὰρ ἐντυχὼν, οἷς ἐπέστειλας, πρὸς τὰ πρώην ἡμῖν ποθ' ὑπάρξαντα εὐθαλῆ καὶ γενναῖα τῇ διανοίᾳ ἀνέδραμον, ἃ ὁ μεταξὺ χρόνος, κακοήθως, ὡς τυφὼν, ἐμπεσὼν, μικροῦ δεῖν ἐποίησεν ἐκλιπεῖν, ὡς ἐν πολλῷ ἀπονεκρωθέντα χειμῶνι. Χάρις τοίνυν σοι, ἐφ' οἷς τε πρῶτος τῆς πρὸς ἀλλήλους ταύτης ὑπῆρξας σχέσεως, ἐφ' οἷς τε τοῖς δευτέροις ἀρδεύσας, εὐθαλεστέραν αὐτὴν γενέσθαι ἐποίησας. Ἔρρωσο.

### Τῷ Πέτρῳ. (51.)

Λόγος συχνὸς διατεθρύλληται παρ' ἡμῖν πολλὴν τὸν καλὸν κἀγαθὸν Πέτρον Ἀλεξιεύνην τῆς τῶν Ζαγοριτῶν σχολῆς

ποιούμενον πρόνοιαν, πολλὴν ὑπὲρ τῶν ἐκείνης δικαίων σπουδὴν πρὸς τοὺς δικαστὰς κατατίθεσθαι, καὶ ταῦτ' οὐ δώροις δελεαζόμενον, οὐ χάριν φέροντα ὁτῳδήποτε, οὔτ' ἄλλως ἀναγκαζόμενον ὁπωσδήποτε, ἀλλ' οἴκοθεν εὑράμενον τὴν προαίρεσιν· κήδεται δ' ἄρα τῶν Ζαγοριτῶν ὁ θεὸς, ὑπὲρ ὧν πολλὴν μετὰ πολλῶν καμάτων καὶ πόνων ἐξ ἁπαλῶν, τὸ τοῦ λόγου, ὀνύχων αὐτὸς κατεθέμην φροντίδα, ἐμαυτόν τε καὶ τὰ ἐμαυτοῦ ἐπὶ βελτιώσει ἀφοσιώσας ἐκείνοις. Πόθεν οὖν ἄρξωμαι τῶν κατὰ σοῦ ἐγκωμίων, ἐπιδεικνυμένου προαίρεσιν; ποίοις δὲ χρησάμενος λόγοις, τὴν ἐπὶ τούτοις εὐγνωμοσύνην ὁμολογήσω; Ἐπειδή μοι τοίνυν ἀνέφικτον γίγνεται, δέξαι τήν γ' ἐμὴν εὐχὴν, γενναιότατε ἄνερ, τοῦθ' ὅπερ μοι πρόσεστι μόνον δοῦναι· τάχα γὰρ οὐκ ἂν εἴη καὶ ταύτης ἡ χάρις ὡς ἐν γήρᾳ ἀηδὴς καὶ παράμουσος· δέξαι δὲ καὶ τὴν τῆς ἀθώου Ἑλληνικῆς νεολαίας εὐγνωμοσύνην· οἳ, τὴν θ' ἑαυτῶν καὶ τῶν πραγμάτων βελτίωσιν ἐκ ταύτης ἐλπίζοντες τῆς σχολῆς, δέονταί σου καὶ ἱκετεύουσι δι' ἐμοῦ σύμφωνον τοῖς προοιμίοις ἐπιθεῖναι τὸ τέλος, τῷ ἀγαθῷ συμπολίτῃ μοι κυρίῳ Γεωργίῳ, τῷ αὐτόθι δικαζομένῳ περὶ τῶν τῆς σχολῆς κτημάτων, βοηθὸν γιγνόμενον καὶ συλλήπτορα, καὶ ὑπὲρ τῶν δικαίων ἡμῶν καλῶς προϊστάμενον. Δός μοι τοίνυν, εὐμενέστατε ἄνερ, δός μοι ἰδεῖν ποτὲ καὶ ἐν γήρᾳ ἤδη τὸ ἱερὸν τοῦτο πρᾶγμα τετελεσμένον, καὶ τὰς ἐσχάτας εὐχὰς τῷ θεῷ τῷ τῶν καλῶν χορηγῷ ἐπιδόντα, εἰπεῖν τελευταῖον μετὰ τοῦ Ἰσραϊλίτου. Νῦν ἀπολύοις τὸν δοῦλόν σου, Δέσποτα, ὅτι εἶδον τὸ ἔλεός σου, γενηθήτω τὸ θέλημά σου. Ἔρρωσο.

Τῷ *Στεφάνῳ Κομμητᾷ*. (52.)

Τὰ μὲν καθ' ἡμᾶς ἄλλοτε ἄλλως ἔχει, ἐκ κακῶν ἀεὶ ἐπὶ τὰ χείρω καλινδούμενα καὶ μεθέρποντα· φήθην γὰρ μετα-

βαλὼν οἰκίαν, συμμεταλήψεσθαι καὶ βίον ἀνετώτερον καὶ ἔλαττον τῶν ἐγχωρίων μεθέξοντα κακῶν· ἀλλ' ἔλαθον ἐμαυτὸν, μείζοσι δεινοῖς περιπεπτωκὼς, ἐκ τῆς Σκύλλης τοῦτο δὴ τὸ ᾀδόμενον ἐμπεσὼν τῇ Χαρίβδει· ὅ,τε γὰρ χειμὼν δριμύτερος, εἴπερ ποτὲ, ἐφέτος γενόμενος, κατεπίεσε, καὶ ὁ τῶν πολιτικῶν πραγμάτων φόβος ἐν χειμῶνι καὶ ἐν σαββάτῳ, φησὶ, ἐπελθὼν, οὐκ εἴα ὕπνον τοῖς βλεφάροις ἡμῶν ἐφιζάνειν· ἐῶ δὲ λέγειν, ὅτι καὶ ὁ λοιμὸς ἐπισκήπτων ἔνθα πῃ, ἄλλοτ' ἄλλῃ διέσπα τὸ κοινωνικόν· καὶ τῶν μαθητῶν τινὸς ἀποθανόντος ἐγκαθεῖρξέ με μολυνθέντα τεσσαρακονθήμερον οἴκοι, τοῖς μὲν ἔξω παντάπασιν ἀκοινώνητον, μόνον δὲ τῇ τοῦ Σοφοκλέους παραφράσει διασκεδάζοντα τὸ λυποῦν· ἀλλὰ καὶ νῦν αὖθις, τῶν μαθητῶν μοι μόλις συνελθόντων, ὁ ἐκ τῶν πολιτικῶν φόβος, ὡς συγκεχυμένων τῶν σπονδῶν, ἔτι μᾶλλον ἐτάραξε τὰ ἡμέτερα· οἵ τε γὰρ μαθηταὶ ἀφεθέντες, μετέωροί εἰσι ταῖς γνώμαις φυγῇ τὴν σωτηρίαν ζητεῖν· κἀγὼ σκοπῶ τὴν Στεφανούπολιν αὖθις ἀσπάσασθαι, εἰ μή τι ἐκ τῆς τοῦ Βύζαντος ἀκούσαιμεν μετριώτερον· ἀλλὰ τί δεῖ μηκύνειν, περὶ ὧν ὁ γραμματοκομιστὴς ἐρεῖ σοι σαφέστερον; Ἐκεῖνο δέ μοι ἀναγκαῖον προσθεῖναι, ὅτι ἀδελφιδοῦς τίς σὸς, ἐλθὼν ἐνταῦθα, ἀξιοῖ καὶ υἱός σοι γενέσθαι, πάνθ' ὑπισχνούμενος θεραπεύσειν, καὶ γηροκομήσειν τὸν θεῖον· ἔστι δὲ καὶ ἄλλος ἀστεῖον πως τὸ μειράκιον, καὶ παιδείας μετεσχηκὸς, ὥστ' ἀπ' ἐλαχίστης ἀφορμῆς τῶν σῶν λόγων ἐπὶ τὰ μείζω ῥᾳδίως προσβῆναι· ἀλλὰ καὶ εἰς τὰ ἀνὰ χεῖράς σοι ἔργα τῆς τυπογραφίας ἱκανὸς χρήσιμός σοι γενέσθαι· Τούτου οὖν οὕτως ἔχοντος, τί μὴ δέξῃ συγγενῆ τοῦ γήρατος βακτηρίαν, Ἔῤῥωσο.

*Τῷ Θηρσίῳ.* (53.)

Νέους λογίους πρὸς κτῆσιν λόγων ὑψηλοτέρων τῷ τῶν λόγων ἐραστῇ καὶ προστάτῃ συνιστὰς, οὐδέν σοι πρᾶγμ' οἶμαι, παρέξομαι ἐπαχθὲς, φιλανθρώπῳ γε ὄντι καὶ φιλέλληνι μάλιστα· ὃς καὶ αὐθαίρετος τυγχάνεις πάλαι καὶ νῦν τοὺς Ἕλληνας εἰς ἐπίκτησιν τῶν καλῶν προσαγόμενος, καὶ μεθ' ὑψηλοῦ τοῦ κηρύγματος ὡς ἐπὶ τράπεζαν τῶν καθ' ὑμᾶς Μουσῶν περιούσιον συγκαλῶν· ἀνδρὸς γὰρ ἀρετὴν ἀσκοῦντος καὶ σοφίαν ἀρετῆς κεκτημένου ἔργον πολλοὺς πειρᾶσθαι ὁμοίους ἑαυτῷ ἀπεργάσασθαι, καὶ ταῦθ' ἡμῶν τῶν Ἑλλήνων· οὓς νῦν καὶ ἡ Πρόνοια εὐμενέστερον βλέπουσα, συναίρεται ἡμῖν ἀνασώσασθαι τὰ πατρῷα, καὶ τοῖς εὐνομουμένοις τῶν ἐθνῶν συγκαταταχθῆναι· Δέξαι τοίνυν, ἄνερ σοφώτατε, καὶ Γερμανῶν ἄριστε πάντων, τὴν τὰ ἀνὰ χεῖράς σοι ταῦτα κομίσασαν γράμματα τῶν νέων τριάδα, καὶ τάξον αὐτοὺς ἐφ' ἣν ἥκουσι θηρασόμενοι θήραν, ταῖς παρὰ σεαυτοῦ σοφαῖς ὑποθήκαις τάς τε τῆς νεότητος ἐκτροπὰς, εἴπῃ τύχοι, ἐπιστομῶν, καὶ πρὸς τὰ βέλτιστα παραθήγων, εἰδὼς τὸ καλὸν, ὅ,τι ποτ' ἂν ᾖ πρὸς ἡμᾶς νῦν γιγνόμενον, οὐκ ἀχάριστον ἐς τὸν ἔπειτα χρόνον ἐσόμενον, ὡς ἀναγράπτου ὑμῖν ἐν τοῖς Ἕλλησιν ἀποκεισομένης εὐεργεσίας. Ἔῤῥωσο.

*Τῷ Λουκᾷ.* (54.)

Δύο παρὰ σοῦ πέρυσι κομισάμενος γράμματα, μίαν πρὸ ἀμφότερα ἐποιησάμην ἀπάντησιν· ἀλλὰ τοῦ γραμματοκομιστοῦ ψευσαμένου μοι τὴν ὑπόσχεσιν τηνικαῦτα τῆς ἀποστολῆς, ἔμειναν ἐκεῖνα ἄπρακτα παρ' ἐμοὶ, ὡς μὴ εἰδότι, ὅποι δεῖ, καὶ ὅπως ἀπευθῦναι ταῦτα πρὸς σέ· ἄλλως τε καὶ τῶν

καιρῶν, ἅτε δὴ δεινὸν διεῤῥυηκότων, μὴ ἐπιτρεψάντων, οἷς οἱ φίλοι ἠξίωσαν ἔξωθεν προσέχειν τὸν νοῦν, φυγαῖς τε καὶ λοιμοῖς ἄλλοτ' ἄλλως μεριζομένους· πέφυκε γὰρ ἀεὶ τὰ παρὰ πόδας πιέζον, εἰς ἑαυτὸ τῷ πλείονι τῆς αἰσθήσεως τὴν τοῦ ἀνθρώπου ἀνθέλκον διάνοιαν, τὴν τῶν πόῤῥω μνήμην δευτέραν ποιεῖσθαι· ὥσπερ καὶ ὀφθισιῶν, εἴπου τύχοι, τῆς παρωνυχίδος παντάπασιν ἐπελάθετο, τὰ ἐνδότερά τε καὶ καιριώτερα ὁρῶν αὐτῷ κακῶς ἔχοντα. Νῦν δ' αὖ καὶ τρίτον χθὲς παρὰ σοῦ κομισάμενος, ἔγνων σε δι' ἐφέσεως ἔχοντα ἰδεῖν τὴν μεγαλούπολιν· ἀλλὰ πρὸς ταῦτα τί καὶ ἂν εἴποιμι;

» Ἆρ' ἔστιν; ἆρ' οὐκ ἔστιν; ἡ γνώμη πλανᾷ.
» Καί φημι, κἀπόφημι, κοὐκ ἔχω τί φῶ.

Τοῦτο δὴ τὸ τοῦ Σοφοκλέους· τὰ γὰρ καθ' ἡμᾶς ἀγόμενα καὶ φερόμενα ὑπό τε Ἄρεως καὶ λοιμοῦ, καὶ λίαν ὡς ἐν στενῷ καθιστάμενα, ἐς τοσοῦτον συμπεπίεκε καὶ αὐτοὺς τοὺς παρ' ἡμῖν λεγομένους εὐδαίμονας, ὥστε μηκέτι παιδείας τοῖς ἑαυτῶν παισὶν, ἀλλὰ μᾶλλον φροντίζειν ἀπαλλαγῆς ἀπὸ τῶν παρόντων· εἰδὲ καὶ Μουσῶν ἔτι πη μνήμη παρά τισι γίγνεται, ἀλλὰ καὶ παρὰ τούτων τό γε μίσθωμα γλίσχρον, καὶ ὅσον ψωμίσαι μόνον τοὺς, ὡς οἱ γύπες, πρὸς τοῦτο χαίνοντας τῶν λογίων· ὧν ἄλλος ἄλλοθεν πόῤῥωθεν ὀσφραινόμενοι, καθάπερ σκελετῷ τινι, ἐπιπίπτουσι τῷ εὑρήματι, εἴπως τῶν γ' ὀστέων τι, εἰμὴ τῶν σαρκῶν αὐτῶν ἐκμυζήσειαν,

» Αἰτίζοντες ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας.

Καὶ ταῦτ' οἱ πόῤῥοθεν ῥινηλατοῦντες τὸ πτῶμα· εἰδέ τις νέηλυς ἔλθοι, πολλῶν αὐτῷ δεήσει σεληνῶν εἰκῇ διατρέχειν· ἐῶ δὲ λέγειν, ὅτι καὶ καταλύματος τυχεῖν ἐργωδέστατον, τῶν τε συνοικιῶν καὶ τῶν οἰκιῶν αὐτῶν γενομένων νοσοκο-

μείων καὶ καταγωγίων ἐν μέρει τοῖς στρατιώταις. Ἐκ τούτων οὖν ἔμοιγε δοκεῖ δεῖν ἀγαπᾷν τοῖς παροῦσι, μέχρις ἂν ὁ Ὕψιστος δῷ ἡμῖν τὰ βελτίω, ἵνα μὴ διώκων τἀφανῆ, ἀπολέσῃς καὶ τὰ ἐν χερσίν. Ἔῤῥωσο.

*Πάλη τῷ Κυβερνήτῃ.* (55.)

Ἀλέξανδρος ὁ Μακεδὼν, Αἰγύπτου γενόμενος ἐγκρατὴς, οὐκ ἀπηξίωσεν ὡς ἐν παρέργῳ τῶν ὅπλων τοῖς τ' ἄλλοις τῶν φιλοσόφων, καὶ δὴ καὶ Ψάμμωνι αὐτῷ, ὃς ἐν μεγίστῳ παρ' Αἰγυπτίοις ἦν ἀξιώματι, διὰ φιλομάθειαν ὁμιλῆσαι. Λέγεται τοίνυν, ὧν διήκουσε λόγων πολλῶν καὶ σοφῶν, μάλιστ' αὐτοῦ ἀποδέξασθαι τόνδε, ὅτι πάντες ἄνθρωποι ὑπὸ θεοῦ βασιλεύονται· ἀλλ' αὐτὸς καὶ προσεπιδαψιλευσάμενος τούτοις ἐκ φιλοσοφίας, πάντων μὲν πατέρα κοινὸν εἶναι ἔλεγε τὸν θεὸν, ἰδίους δὲ ποιεῖσθαι ἑαυτοῦ τοὺς ἀρίστους. Ἐπειδὴ τοίνυν καὶ ὁ ἡμέτερος ἐπὶ γῆς βασιλεὺς εἰκών ἐστιν ὄντως ἔμψυχος θεοῦ, ὡς πάντα κατ' ἐκεῖνον πράττων καὶ διακυβερνῶν ἐκ προνοίας, εἰκὸς καὶ αὐτὸν, πατέρα τῶν ὑπηκόων ὁμολογούμενον εἶναι, ἔχειν περὶ αὐτὸν τοὺς ἀρίστους· οἷς, τιμῶν καὶ τιμώμενος, τὴν τῶν ἐθνῶν ἐμπιστεύει κυβέρνησιν· ὧν καὶ αὐτὸς εἷς ὢν τυγχάνεις, ἐνδοξότατε Κυβερνῆτα. Ὀφείλεται οὖν σοι παρ' ἁπάντων ἡμῶν ἡ καθήκουσα τιμὴ καὶ εὐπείθεια· ἀλλ' ἄλλοις μὲν εὐδαίμοσι καὶ μακαρίοις ἔξεστι καὶ ἐποχουμένους ἐλθεῖν καὶ ἐπισκέψασθαι τὴν σὴν ἐξοχότητα· τὸν δὲ χωλὸν ἐμὲ καὶ φύσει καὶ τύχῃ τί δεῖ ποιεῖν; ἢ ἐν τοῖς γράμμασι τούτοις κατά γε τὸ παρὸν ὡρίσθω ἡ τοῦ χρέους ἀπόδοσις. Ἔῤῥωσο.

*Τῷ Ἀγγελάκῃ.* (56.)

Τὴν μὲν φύσιν ἕλξις καὶ ὦσις συνέχει, καὶ συντηρεῖ, ὥς φασὶν οἱ φιλόσοφοι· τὸν δὲ ἀνθρώπινον βίον, ἡ κοινωνία, ἀλλ'

ἄλλων τῶν μὲν διδόντων, τῶν δὲ λαμβανόντων, τῶν δὲ καὶ ἀνταποδιδόντων· διδόασι δὲ ὁ μὲν καὶ μαθήματα, ὁ δὲ καὶ χρήματα. Τοιοῦτόν τι ἐμπόριον καὶ ἡμῖν ποτε πεπραγμάτευται, ἐν ᾧ ἔμεινας ἐν τῷ ἀντιλογισμῷ τοῦ καταλόγου ὀφείλων μοι γρόσια 500 ἐν λιπαρᾷ ὑποσχέσει τοῦ ταῦτ' ἀποτίσειν, ἐπειδὰν πρῶτον εὖ σοι προχωρήσῃ τὰ ἀπὸ τῆς τύχης. Ἐπειδὴ τοίνυν αὕτη ἀπήντησέ σοι ἤδη, καλῶς ποιήσασα, εὐνοϊκώτερον, ἢ προσεδόκησας, μηκέτ' ἀποστέρει διδάσκαλον γέροντα, παρασκευαζόμενον ἤδη μετὰ πεντηκονταετῆ ἐν ἀλλοδαπῇ διατριβὴν ἀπᾶραι εἰς τὴν φίλην Ἑλλάδα, ὡς ἀποδωσόμενον ἐν ἐλευθέρᾳ τῇ πατρίδι τὰ κῶλα· ἄλλως γὰρ ἐκείνη, μεταμεληθεῖσα ἂν τῆς εὐνοίας, ἀγανακτήσει σοί ποθ' ὕστερον· φιλεῖ γάρ πως αὕτη γελᾷν μὲν πρὸς τοὺς εὐγνωμονοῦντας, δεξιῶς αὐτοῖς ὑπαντῶσα· δυσχεραίνειν δὲ πρὸς τοὺς ὡς ἑτέρως διακειμένους, ἀπροσδοκήτως ἐπιπηδῶσα. Ἔῤῥωσο

*Τῷ Γεωργίῳ.* (57.)

Καὶ πρῴην λόγος πολὺς περὶ σοῦ παρ' ἡμῖν, καὶ νῦν αὖ τὸ σοφόν σου βιβλίον, κομισθὲν ὡς ἡμᾶς ἐπεδαψιλεύσατο τὰ τῆς εὐφημίας, τούς γ' εἰδότας καὶ συνιέντας, ἄλλον ἄλλο κατὰ σοῦ πλέξαι ἐκκινῆσαν ἐγκώμιον· ἐγὼ δὲ ηὐξάμην πολλὰ καὶ παρ' ἄλλων πολλῶν τοιαῦτα, καὶ παρὰ σοῦ ἔτι σοφώτερα ἀγώγιμα δέχεσθαι, τῆς τε κοινῆς ὠφελείας, καὶ τῆς ἰδίας συστάσεως ἕνεκα πρός τε τοὺς νῦν καὶ τοὺς ἔπειτα· ἡ γὰρ φύσις τῶν νέων Ἑλλήνων νῦν ὀργᾷν ἔοικε πρὸς ἀθανασίαν, ἄλλου ἄλλον ταῖς τῶν καλῶν φιλοτιμίαις ὑπερβαλέσθαι σπουδάζοντος· ἡμᾶς δὲ τοὺς γεγηρακότας ἤδη καὶ κατεῤῥικνωμένους ὡς λείψανα ἔτι ἄχρηστα τοῦ ἀχρήστου αἰῶνος, ἐᾶτε λαθόντας βιοῦν· Πρὸς ἓν δέ μοι ἔτι μόνον ἐκεῖνό με πόθος κρατερώτατος ἔχει, τὰς ἱερὰς Ἀθήνας, γενομένης εἰ-

ρήνης, ἰδόντα, τὴν ἐμαυτοῦ γῆν τῇ γῇ ἀποδοῦναι, τὸ μέρος τῷ ὅλῳ· συναγωνίζεται δέ μοι πρὸς τοῦτο μάλιστα καὶ ὁ πόθος Γρηγορίου τοῦ Κωνσταντᾶ· ἀλλ᾽ ὄψομαι ἆρα τὸν ἄνδρα; ἆρ᾽ ἐν τοῖς ζῶσίν ἐστι; τοῦτό μοι μηνύσας αὐτὸς, ἀναρτήσεις με σεαυτοῦ, καὶ πρὸς τούτῳ, εἰ ἡ τυπογραφία τῆς νέας Ἑλλάδος ἐστὶν ἱκανὴ ἐπαρκέσαι γέροντι ἀκορέστῳ. Ἔρρωσο.

*Δημητρίῳ καὶ Κωνσταντίνῳ.* (58.)

Νόμος φυσικὸς, καλῶς ἔχων πάντας ἀνθρώπους ὑπαγορεύει θεόν τε σέβειν, καὶ γονέας τιμᾶν· τούτοις δὲ εἴτις καὶ τοὺς διδασκάλους προσθείη, εὔλογά γε ποιεῖ· δευτέρους γὰρ μετὰ τοὺς πατέρας τοῖς παισὶ καὶ τούτους ἡ προαίρεσις ἔταξεν, ὡς μετὰ τὸ ζῆν τὸ εὖ ζῆν αὐτοῖς χορηγοῦντας. Ἡμεῖς δ᾽, ὦ παῖδες, καὶ πρὶν εἰπεῖν ἐμὲ ταῦθ᾽, ὁμολογεῖτέ τε ὑπ᾽ ἐμοῦ παιδευθῆναι προθυμίᾳ γε λιπαρεῖ, καὶ ᾧ τῶν ἄλλων δοκεῖ τε προὔχειν, τοῦθ᾽ ὑπ᾽ ἐμοῦ λαβόντες ἔχετε. Ταῦτ᾽οὖν ἐνθυμηθέντες, γένεσθέ μοι δικαιότεροι, ἅ μοι ὀφείλετε δίδακτρα ἀποδόντες νῦν γε, ὁπόθ᾽ ὑμῖν καὶ τὰ τῆς τύχης ἔξωθεν εὐνοεῖ. Ναὶ, ὦ φίλα τέκνα, νεύσατε πρὸς τὸ δίκαιον τοῦτ᾽ ἀπαίτημα· καὶ νεύσετέ γε, εὖ οἶδ᾽ ὅτι, εἴγ᾽ ὀρθῆς ὑπ᾽ ἐμοῦ παιδείας μετεσχηκότες τυγχάνοιτε. Ἔρρωσο.

*Μαρcυήλῳ.* (59.)

Ἀλλ᾽ οἶδα μὲν καὶ ταῦτα, καὶ ἄλλ᾽ ἔτι πολλὰ τοιαῦτα, ἃ οἱ τῶν κοινῶν παρ᾽ ἡμῖν δοκοῦντες ποιεῖσθαι πρόνοιαν, προσποιοῦνται πρὸς τὸ μηδὲν ποιεῖν τῶν δικαίων· ἀλλ᾽ ἔμοι γε τἄδικον ἀεί γε τοιοῦτόν ἐστι, καὶ οὐκ ἂν ἐκσταίη τῆς φύσεως, κἂν μικρὸν, κἂν μέγα ᾖ, ἐκ προφάσεων εὐπροσώπων τοῦ πράττοντος· ἐκ γὰρ τῶν μικρῶν τούτων, καθάπερ καὶ φλὸξ ἐκ σπινθῆρος, μέγα τῷ χρόνῳ γέγονε· καὶ νῦν ἀεὶ τὰ

πρόσω νεμόμενον, καὶ ἐπιφόρου μάλιστα πνεύματος τυχὸν τοῦ πολέμου, κατέστη γενικὸν ἐπὶ πάντων, ὧν πράττουσιν ἄνθρωποι, ὥστε μηκέτι φαίνεσθαι ἄδικον, τοῦ ἔθους παραιρουμένου τὴν αἴσθησιν, ἀλλὰ δικαίωμα ἄντικρυς ἀρχικὸν τῶν κατὰ καιροὺς λαχόντων τοῖς πράγμασιν ἐξετάζεσθαι· πάντες γὰρ πρὸς τοῦτ' εὐπρεπῶς ὁρμώμενοι φαίνονται· ὥστε δίκαιον ἄνδρα παρ' ἡμῖν οὐκ ἂν, οὐδ' ἄν τις τὸν τοῦ Διογένους ἅψῃ λύχνον, ῥᾳδίως εὕροι, οὕτως ἐκτικῶς συντραφέντος καὶ ἐκ πολλῶν συμποιωθέντος, καὶ ἐς βάθος συντετηκότος ὑμῖν τοῦ νοσήματος, ὥστε μήδ' ἐλπίδα λιπεῖν ὑμᾶς ὑφ' ἑαυτῶν πρὸς τὸ κρεῖττον μεταβαλεῖσθαι, ἅτε δὴ μήτε φιλοσοφίας ἔσωθεν, μήτε παραδείγματος ἔξωθεν ὁτουοῦν δυναμένων τὸ ἔθος μεταβαλεῖν, δευσοποιὸν ἤδη γεγενημένον· καίτοι ὁρᾶθ' οἷα δρῶσιν οἱ φιλόκαλοι Ἕλληνες, οἱ νεωστὶ τὴν ἐλευθερίαν ἀνασωσάμενοι· οἵ, καίτοι ὑπὸ δουλείαν γενόμενοι χαλεπῆ, καὶ ζυγὸν ὑποδύντες ἐπαχθέστερον, ἢ ὥστ' ἐξεῖναί ποτε δοκεῖν ἀπωθήσασθαι, ἀλλ' ἅμ' ἐλθόντες εἰς ἑαυτοὺς, καὶ εἰς κινδύνους ἐπαποδύντες μεγίστους, τόντε ζυγὸν ἀπεσείσαντο, καὶ νόμοις ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ τὰ καθ' ἑαυτοὺς ὁρισάμενοι, ἀναθάλλουσιν ἤδη περιχαρῶς, καὶ μετὰ μικρὸν ἔσονται τοῖς ἐκ πολλοῦ εὐνομουμένοις τῶν ἐθνῶν ἐναρίθμιοι· ὑμεῖς δὲ τοὐναντίον, καί περ ἐκ πλούτου, καὶ θρόνου ὁρμώμενοι ἡγεμονικοῦ, οὐχ ὅπως τὴν ἐκείνων ἀποφεύγετε μίμησιν, ἀλλὰ καὶ ὥσπερ ἐξ ἀντιῤῥόπου πλάστιγγος τὰ πρῶτ' ἀεὶ τοῖς δευτέροις ἁμαρτήμασι πειρᾶσθε οἷον ἐξ ἁμίλλης ὑπερβαλεῖν, τίς τίν' ἐν τούτοις ὑπερβῇ, διαφιλονεικοῦντες πρός τε ἑαυτοὺς καὶ ἀλλήλους, τἀναντία τοῖς Ἕλλησι πράττοντες· ἃ μὲν γὰρ ἐκεῖνοι ὡς ἐκ τῆς δουλείας δυστηχήματα ἀποσείονται, τὰς ἐκ τῆς ἐλευθερίας βελτιώσεις ἀναλαμβάνοντες, ταῦθ' ὑμεῖς ἀναλεγόμενοι, ὡς ἀρετὰς περιτίθεσθε,

προνομείας ἀρχαίας ἐπὶ βλάβῃ ἐφευρεθείσας τῶν πολλῶν, καὶ τοιαύτας προϊσχόμενοι κῆρας ὅλου ἔθνους καὶ παρανομίας· καί μοι δοκεῖτε ἐθέλειν ἡδέως ἐπᾴδειν κατὰ τῆς πατρίδος τὸ ὑπὸ Λάμπρου τοῦ ἀοιδίμου ἐκεῖνο καρκινικὸν,

• Ἡγεμόν' ἄνομον ἔχε νόμον ἄνομε γῆ.

Εἰδὼς γὰρ κἀκεῖνος ὑμᾶς ἐκ πολλῆς συνηθείας μηδόλως δικαιοσύνης οἱασοῦν δεκτικοὺς ἐσομένους, τοιαύτῃ ᾠδῇ τὸν τῶν Δακῶν ἠμύνατο τρόπον· καί γε εἰκότως. παρ' ὑμῖν γὰρ ὅλως ἡ παρθένος ἀπόλωλε δίκη, καὶ χρυσὸς πανταχῇ τὸ νικᾷν ταλαντεύεται, ὥστ' οὐκ ἔστιν ἴασις τῇ σαρκὶ ὑμῶν κατὰ τὸν Προφήτην· οὐ γὰρ ἐστιν οὔτε μάλαγμα ἐπιθεῖναι, οὔτε καταδέσμους, εἰ μὴ ὁ θεὸς ἄλλοθεν ἐκ βίας ἰσχυροτέρας δῴη ὑμῖν ποτε φρονεῖν ἄμεινον. Ἔῤῥωσο.

*Τῷ Ἀγγελῇ.* (60.)

Σὺ μὲν σύνοιδας σεαυτῷ ὀφείλων τὰ δίδακτρα, περὶ ὧν σοι καὶ πρῴην ἐγὼ μὲν καλῶς ποιήσας, ἐπέστειλα· σὺ δὲ κακῶς, οὐκ ἀπήντησας· ἀλλὰ πάθος πάθει ἐν σοὶ περὶ τούτων ἔοικε διαμάχεσθαι, ἡ πλεονεξία τῇ εὐγνωμοσύνῃ, καὶ τὸ πρῶτον ἐπικρατέστερον ὁλκῇ τοῦ δευτέρου γενόμενον, κωλύειν σε δοκεῖ γενέσθαι περὶ τὸν εὐεργέτην εὐγνώμονα, τοῦτ' ἄμεινον, ἢ ἐκεῖνο παραπεῖθόν σε εἶναι· ἡ μὲν γὰρ ὑπισχνεῖται ἀπόλαυσιν, ἡ δὲ τοὐναντίον δικαιοῖ τὴν ἀπόδοσιν· ἀλλ' ἐν τοῖς τοιούτοις ἴσθι, ὡς ἄμεινον ἡ ἐκ τῆς εὐγνωμοσύνης τῶν ὀφειλομένων ἀπότισις, ἢ ἡ ἐκ τοῦ πλέον ἔχειν τῶν μὴ προσηκόντων ἀφαίρεσις. Εἴης μοι τοίνυν αὐτὸς γ' ἐν πολλοῖς τῶν ἐμῶν μαθητῶν ἐν πᾶσιν ἐκπληρῶν τὰ καθήκοντα, εἰδὼς ἐκεῖνο, ὡς συμφερώτερόν ἐστιν εὐτελέστερον στρέφεσθαι ἐν

πολλοῖς σὺν εὐγνωμοσύνῃ, ἢ πολυτελέστερον σοβεῖν μετὰ πλεονεξίας. Ἔῤῥωσο.

Τῷ Πλάτωνι. (61.)

Τὰς μὲν βίβλους ἐπέθηκα τήμερον, οἵς μοι ἐπέστειλας, προσθεὶς τούτοις ἔτι καὶ δέκα ἀντίτυπα τῆς πρὸς τὸν Παναγιώτατον ἐπιστολῆς μου· ἀκούω γὰρ καὶ ταῦτα παρ' ὑμῖν ἐσπουδάσθαι τῷ καινοτόμῳ τοῦ πράγματος, θαυμαζόντων τῶν πλειόνων, ὅτι τοιοῦτοι ὄντες, οἷον νάνοι καὶ ἰδιῶται καὶ νουθεσίας αὐτοὶ δεόμενοι, πρὸς Ἥρωας καὶ Πατριάρχας παῤῥησίαν λαβεῖν ἐτολμήσαμεν, καὶ ἐς ἀγῶνα ἐθαῤῥήσαμεν ἐλθεῖν συμβουλῆς· καίτοι ὁ Ἥρως ἡδέως δεξάμενος, εὐχαῖς καὶ εὐλογίαις ἡμᾶς ἠμείψατο, καὶ γράφειν παρῄνησε, τὰ εἰκότα παραθαῤῥύνας, ὅ,τι σεμνὸν, ὅ,τι ἁγνὸν, ὅτι ἅγιον συντελοίη ποτὲ πρὸς τὴν τοῦ γένους βελτίωσιν καὶ ἀνάστασιν. Περὶ δὲ τῶν ἄλλων δημογερόντων, οὓς χαλεπῶς φὴς φέρειν τὸ περὶ λόγον αὐστηρὸν καὶ δραστήριον οὐ φροντὶς, φασὶν, Ἱπποκλείδῃ· οὐδ' ὡς, κλῆρος ἱερὸς ὢν, πολλὰ ὑμῖν καταρᾶται, ἀσεβεῖς καὶ κακοδόξους καὶ τὰ συνήθη ταῦτα ἀποκαλῶν, οἷα ἐξερεύγοιντ' ἂν οἱ ὑψαύχενες οὗτοι καὶ γαῦροι ἡμῖν κρασπεδῖται, οἱ τῷ ὄντι θεῷ τε καὶ ἀνθρώποις ὑπάρχοντες ἀλητήριοι· ἀλήθεια γὰρ, ἐκ φιλοσοφίας παῤῥησίαν λαβοῦσα, κοράκων κρωζόντων οὐκ ἐπαΐει.

» Δειλοῦ γὰρ πρήσσειντε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός.

Τοῦτο δὴ τὸ τοῦ Πυθαγόρου. Ἔπειτ' οὐκ ἐφ' οἷς συνεξέδωκα ἐν τῷ Σωκρατικῷ Αἰσχίνῃ κατὰ τῆς τῶν βρωμάτων ἀλλαγῆς καὶ ψευδωνύμου νηστείας, ἧς ἐπιλαμβάνονται μάλιστα, χαλεπαίνουσι· τοῦτο γὰρ αὐτοῖς προσποίησις ἄντικρυς· ἀλλ' ἐφ' οἷς ἐν τῷ Ὀνείρῳ αὐτόθι, καὶ ἀλλαχοῦ πολλαχῇ αὐ-

στηρότερον αὐτῶν καθηψάμεθα, τάτ' ἀτοπήματα αὐτοῖς καταλέγοντες, καὶ τὴν ἐπὶ τούτοις τοῦ πνεύματος ἐπιτίμησιν, καὶ ἐπὶ πᾶσι τὴν τελευταίαν τοῦ δικαστοῦ τῷ μηδὲν, ὧν ὀφείλουσι, πεπραχέναι, ὀργὴν ἐπ' αὐτοὺς οὕτως ἐς ἐπήκοον πάντων προκηρύξαντες καὶ ἐνσείσαντες, ἐκ τούτων πάντως αὐτοῖς ἐφ' ἡμᾶς, ἡ ἀπέχθεια. Ἀλλ' ὦ Θέμις.

» Ὦ μητρὸς ἐμῆς σέβας, ὦ πάντων
« Αἰθὴρ κοινὸν φάος εἱλίσσων,
» Εἰσορᾷς μ', ὡς ἔκδικα πάσχω;

Ὤμην γὰρ μὴ ἂν ἄλλως νοῦν ὑγιαίνοντα τὴν αὐτῶν εἰσιέναι ψυχὴν, εἰ μή τις αὐστηροτέρῳ καὶ συντονωτέρῳ τῷ λόγῳ, ὥσπερ τριπάνῳ, τὰ ὦτ' αὐτοῖς, βεβυσμένα ὅλως καθάπερ παχείᾳ τινὶ κυψέλῃ, διατρήσειε πρῶτον, ὅπερ καὶ γέγονεν· οὐ γὰρ ἔμελεν αὐτοῖς νηστείας καὶ παρθενίας, καὶ τοιούτων λήρων, ὡς ἂν εἴποιεν αὐτοὶ οἱ μηδέ ποτε μήτε νηστεύσαντες, μήτε παρθενεύσαντες· γνωστὸν δ' αὐτοῖς τὸ λεγόμενον, συνειδόσιν ἐνίοις τὴν ἑαυτῶν μὲν περὶ ταῦτα λαγνείαν καὶ ἀκρασίαν, ἐμοῦ δὲ τὴν ἁγνείαν καὶ καθαρότητα· ἐφ' οἷς καὶ θαυμάζουσι μάλιστα οἵ γε εἰδότες, ὅπως ἀπὸ τῶν ἐναντίων, οἷς πράττω ὁρμώμενος, τοσοῦτον κατὰ δεισιδαιμονίας ἐν καιρῷ ἀτόλμῳ καὶ λίαν ἐπτοημένῳ πεπαῤῥησίασμαι, ὡς δέον δῆθεν ἀπὸ τῶν καθ' ἑαυτοὺς παθῶν ὁρμωμένους, ἀλλ' οὐκ ἀπὸ τῆς φωτοδότιδος φιλοσοφίας μεταλλᾷν τἀληθὲς ἐλευθέρως. Ἔγωγε μὲν οὖν καὶ τοὐπάγγελμα, ἐν ᾧ εἰμι, τετίμηκα ἐς τὰ μάλιστα, καὶ τὸ τῆς νηστείας (εἴγε νηστείαν φαίη τις εἶναι τὴν ἐν πολυτελείᾳ τῶν βρωμάτων ἐναλλαγὴν) ἔργῳ μὲν οὐκ ἀεὶ διὰ τὸ τῆς σαρκὸς ἀσθενές· ἀλλά γε λόγῳ σέβομαι καὶ τιμῶ διά τε τὸ σεμνὸν καὶ ἀρχαῖον, πλὴν ὅσον φέρει ἐς δεισιδαιμονίαν τὴν ἄλλων τε πολλῶν αἰτίαν γιγνομένην ἀνθρώποις, καὶ δὴ καὶ ἀσεβείας οὖσαν μητέρα·

αὕτη γὰρ τὰ μὲν ἅγια καὶ ἁγνὰ ἄναγνα τίθησι, τὰ δὲ ἄναγνα καὶ βέβηλα ἐν μέρει τῶν ἁγνῶν καὶ ἀνεπιλήπτων πολλάκις λογίζεται. Ἀλλ' ἵν' εἰδῶσιν οἱ μωροσκόποι οὗτοι, ὅπως ἔχει ταῦτα ταῖς ἀληθείαις, ἀρξώμεθ' οὕτως ἀπὸ τῶν πρώτων, ἵν' εἴτι καὶ μέμφοιντο, εἶεν τοῦθ ὑμῖν σὺν λόγῳ μεμφόμενοι.

Τῆς θρησκείας τὸ μέν ἐστι δόγμα, τὸ δὲ ἦθος· τὸ μὲν, ἐξ ἀποκαλύψεως λατρευτόν· τὸ δὲ, ἐξ ἐντολῆς διδακτόν· καὶ τὸ μὲν εἰς θεωρίαν ἀνάγει, τὸ δὲ εἰς πρᾶξιν προάγει· ἔστι δ' ἄμφω συνεισάγοντα καὶ συναναιροῦντα· πίστις γὰρ κατὰ τὸν Ἀπόστολον ἄνευ πράξεως ἀσθενὴς, καὶ πρᾶξις ἄνευ πίστεως νεκρά. Ἐντεῦθεν οὖν δῆλον, ὡς τὸ μὲν κατὰ θεωρίαν συνίστησιν τὸ ὑπὲρ κατάληψιν τῆς Τριάδος μυστήριον, ἡ τοῦ Υἱοῦ καὶ Λόγου οὐρανόθεν ἀνεκφοιτήτως ἐπιφοίτησις καὶ κατάβασις, ἡ ἐκ Παρθένου σύλληψις καὶ γέννησις τοῦ αὐτοῦ, καὶ τὰ ἄλλα τῆς καθ' ἡμᾶς Ἐκκλησίας μυστήρια· τὸ δὲ κατὰ πρᾶξιν αὖ αἱ ἠθικαὶ ἀρεταὶ, Ἀγάπη, Δικαιοσύνη, Ἐλεημοσύνη, Σωφροσύνη, Πρᾳότης, ἡ τοῦ ταλάντου μετάδοσις, καὶ εἴτι ἕτερον ἡμῖν ἐν Εὐαγγελίοις εἴσηκται, ἐξ ὧν συνάγεται ἡ ἀληθὴς εὐσέβεια καὶ λατρεία· ὥσθ' ὃς μὲν ἂν τῶν μυστηρίων τούτων τῳ ἀπιστῇ, οὗτος ἀποκλείεται τοῦ χριστωνύμου πληρώματος, ὡς ἀσεβὴς ἐν τοῖς ἀσεβέσι κατατατ τόμενος· ὃς δ' αὖ τούτοις μὲν πιστεύῃ, τῶν δ' ἐντολῶν τινα παραβὰς, ἐμμένῃ ἀμεταμέλητος, οὗτος ὡς φαυλόβιος, χαλεπῶς ἐτασθήσεται ἐν τῇ κρίσει κατὰ τὴν ἐσχάτην ἡμέραν.

Ἐντεῦθεν τοίνυν συνάγομεν, ὡς οὐδέτερον παρὰ θάτερον, ἀλλὰ συναμφότερον πίστις ἅμα καὶ πρᾶξις, ὁμολογία καὶ ἔργον τὸν φερωνύμως χριστιανὸν ἀπεργάζεται· καὶ ἔστιν οὕτω χριστιανὸς ἀληθὴς καὶ πολίτης ἀγαθὸς ἀδιάζευκτα, ὡς ἑκάτερον ἐν τῷ ἑτέρῳ περιεχόμενον· οἷς γὰρ ἐντολῇ ὁ σωτὴρ τὰ τῆς πίστεως ἐπεστήριξε, ταῦτα καὶ ἡ πολιτικὴ ἐπεκράτυνε

νόμῳ, τἀναντία τούτων ἀπαγορεύσασα· καὶ ἔστιν οὕτω τὸ τοῦ ἤθους καλὸν οὐκ ἄλλο τι, ἢ σύνδεσμος χριστιανοῦ καὶ πολίτου, συνάγων αὐτοὺς εἰς ἓν οὐχ ἧττον, ἢ ὁ ἄξων τοῦ κόσμου τοὺς δύο ἑκατέρωθεν πώλους· ἀγάπα γάρ, φησί, κύριον τὸν θεόν σου καὶ τὸν πλησίον σου, ὡς σεαυτόν· τοῦτο γὰρ πίστις, λατρεία, εὐσέβεια καθαρά.

Τούτων δ' οὕτως ἐχόντων τῶν τε μυστηρίων καὶ τῶν ἀρετῶν, τί ἐροῦσιν οἱ εὐρυτράχηλοι οὗτοι καὶ σοβαροὶ τῶν Ἀποστόλων κακοὶ μιμηταὶ καὶ διάδοχοι; ποῦ τιθέασιν αὐτοὶ τὴν τῆς παρθενίας καὶ νηστείας ἀξίαν; πρὸς τὰ ἐξ ἀποκαλύψεως καὶ πιστά, ἢ πρὸς τὰ ἐνταλτὰ καὶ ἠθικά; πότερ όν φημι, ἐν τοῖς λατρευτοῖς μυστηρίοις, ἢ ἐν ταῖς ἠθικαῖς ἀρεταῖς; εἰ μὲν γὰρ πρὸς ἐκεῖνα, ἀνάγκη πᾶσα ἐκ τῶν εἰρημένων τοὺς καὶ τὴν παρθενίαν λελυκότας, καὶ γάμῳ συναρμοσθέντας, ἢ τὴν τῶν ἐδεσμάτων ἀλλαγὴν μὴ τηρήσαντας μὴ εἶναι χριστιανούς· ἀσεβεῖς γὰρ ἄντικρυς κατ' αὐτοὺς οἱ τοιοῦτοι, ὡς παραβάντες τὰ μυστήρια ταῦτα, καὶ διὰ τοῦτο ἀποκλειστέοι τοῦ τῆς Ἐκκλησίας ἱεροῦ περιβόλου ἐν τοῖς ἀσεβέσι· καὶ πρῶτοί γε οὗτοι αὐτοὶ οἱ πάνσεμνον ἔξωθεν σωφροσύνης καὶ ἐγκρατείας περικείμενοι σχῆμα, αὐτοὶ ἑαυτοὺς ἐκκλειέτωσαν, ὡς μηδέτερον τούτων ἔσωθεν ἐκ συνειδότος φυλάξαντες· εἰδ' αὖ ἐν ταῖς ἀρεταῖς ἐκεῖνα ὡς ἀρετὰς καὶ αὐτὰ κατατάττοιμεν, ἀδικοῦσιν οἱ σεμνοὶ ὑψηγόροι, ἀσεβεῖς καὶ ἀθέους ἀποκαλοῦντας τοὺς παρ' οὐδὲν τὰ τοιαῦτά γε τιθεμένους πρὸς σωτηρίαν, δέον ἄλλως ἁμαρτωλούς, ἢ ὅ,τι δὴ τοιοῦτον αὐτοὺς ὀνομάζειν, καίπερ αὐτοί γε ὄντες ἁμαρτωλοὶ καὶ ἀτάσθαλοι, οἱ οὐ μόνον ταῦτα παραβάντες ταῖς ἀληθείαις, ἀλλὰ καὶ εἰς τἀναντία τούτων ὑπερπηδήσαντες, τῆς μεσότητος ἑκατέρωθεν ἀποπεπλάνηνται.

Ἔπειτα κἂν δῶμεν καὶ τοῦτ' αὐτοῖς, καὶ ἐν ταῖς ἀρεταῖς

ὡς ἀρετὰς κατατάξαιμεν καὶ αὐτὰ, ὡς σεμνά γε ὄντα καὶ ἀρχαιοπρεπῆ ἐν τοῖς μάλιστα, δεήσει αὖθις ζητεῖν κἀνταῦθα καὶ τόπον, ἐν ᾧ καταχωρήσομεν ἑκάτερον αὐτῶν κατ' ἀξίαν· τοῦτο δὲ πόθεν ἄλλοθεν μεταλλοῖμεν ἂν ῥᾷον, ἢ ἐκ τῶν ἀποτελεσμάτων; ἐκ γὰρ τούτων αἱ ἀρεταὶ ἄλλη διαφέρουσα ἄλλης, ὡς ἀξίας ἑκάστη ἔχει, ἄλλη ἄλλης προτέτακταί τε καὶ ἐπιτέτακται· καὶ οἱ ἱεροὶ λόγοι συνῳδὰ τῷ ἐκ φιλοσοφίας βαδίζοντες, ἐκείνην τὴν κλίμακα αὐτῶν ἡμᾶς ἐξεδίδαξαν· οἷον, Ἀγάπη, Δικαιοσύνη, Σωφροσύνη, Εὐεργεσία, Ἐπιείκεια, Πρᾳότης, Ἐγκράτεια, καὶ ἔτι δήποθ' ὁ πρᾷος καὶ ἐπιεικὴς Ἰησοῦς ἡμῖν ἐν Εὐαγγελίοις κατέκλεισεν ἐντειλάμενος.

Ἐνταῦθα τοίνυν ὁρᾷς, ὅπως τὰ κατωτέρω ἐν τοῖς ἀνωτέροις, ἀεὶ ἀνιών, τὰ πολυβαθέστερα ἐν τοῖς πολυπλατεστέροις, ἕτερον ἐν ἑτέρῳ, καθάπερ ἐν τοῖς τοῦ ῥόδου κάλυξι, περιέχονται ἐνεργείᾳ μέχρι τῆς Ἀγάπης, ἐξ ἧς ὡς ἐκ ῥίζης μιᾶς ἀναφύονται τἄλλα πάντα, δυνάμει περιεχόμενα. Ποῦ τοίνυν θῶμεν τὴν ἀγαμίαν καὶ τὴν ἀλλαγὴν τῶν βρωμάτων (οὐ γὰρ ἂν εἴποιμι φερωνύμως νηστείαν); πότερον, πρὸ τῆς Ἀγάπης, ἣ πρώτη ὡς βασιλὶς πασῶν τῶν ἄλλων προτέτακται; ἀλλ' οὐκ ἔχουσιν αὗται οὔτε πορφύραν βασιλικὴν, οὔτε τὴν ἐκ τῶν ἔργων μεγαλειότητα· τί δέ; μετὰ τὴν ἐσχάτην; ἀλλὰ κἀνταῦθα ἐπιζητεῖται ὁμοίως ἡ ἐκ τῶν ἔργων ἀξία· ἣν οὐχ ὁρῶμεν αὐταῖς μήτ' ἐμπρέπουσαν, μήθ' ὅλως προσοῦσαν· ὥσθ' ὅπῃ τις ἐθελήσῃ καθίζειν αὐτὰς, ἀτόπως καταχωρίζειν δοκεῖ· οὐ γὰρ ἂν οὔτε συνεισάγοιεν τὰς μεθ' ὧν ἂν συνεδράσωσιν, ὡς ἀξύμφυλοι οὖσαι, οὔτε συναναιροῖντο· ὃ ἐκείναις ἐστὶ μάλιστα χαρακτὴρ οὐσιώδης. Ἔπειτα κἂν δῶμεν καὶ τοῦτ' αὐτοῖς, ἀλλ' οὐκ ἂν, οὐδ' ἂν ἐκβιάσηταί τις, τὰ τοιαῦτά γε πλάσματα ταῖς ἐκείνων ἐφαρμόζοιντο ἐνεργείαις, οὔθ' ὡς ὁμοταγῆ (πῶς γὰρ ἂν τὰ ἔκφυλα καὶ ὅλως ἀξυντελῆ;)

οὔθ' ὡς τἀναντία· οἷον τί φημι; ἡ μὲν ἀγάπη καὶ σύμπας ὁ ὑπ' αὐτὴν τῶν ἀρετῶν χορὸς οὐδὲν ἂν εἴη, ἢ σειρά τις ὁδηγὸς τῶν ὑπ' αὐτῶν συνδεδεμένων καὶ ἀλληλουχουμένων πρὸς βίον ὁμόφρονα, δίκαιον, φιλάνθρωπον, σώφρονα, ἐπιεκῆ, πρᾷον· ὅ ἐστιν ὁ τῶν ἀνθρώπων σύνδεσμος πρὸς εὐδαιμονίαν κοινήν· τὸ δὲ μῖσος ἐκ τοῦ ἐναντίου καὶ πᾶς ὁ ὑπ' αὐτὸ τῶν κακιῶν ὄχλος ἑξῆς διασπᾷ καὶ διαστρέφει τὴν ἐκ τῶν ἀρετῶν μετ' ἀλλήλων ἐναρμόνιον δίαιταν, καὶ τὴν κοινωνίαν θηριωδῶς διαῤῥήγνυσι πρὸς κακοδαιμονίαν. Ποτέραις τοίνυν τούτων, ταῖς ἀρεταῖς, ἢ ταῖς κακίαις τὴν ἀγαμίαν καὶ τὴν γαςραλγίαν (τοῦτο γὰρ ἂν εἴη οἰκειότερον, ὡς ἀπὸ τοῦ τέλους σκοπουμένοις, ἀποδοῦναι ὄνομα τῇ τοιαύτῃ νηστείᾳ) ἐφαρμόσοιμεν σὺν λόγῳ βελτίονι; δοκοῦσιγὰρ ταῦτ' ἐς οὐδέτερα ἐθέλειν συντελεῖν ἀπαραβιάστως, ὡς μήτ' ἀγαθόν τι ταῖς ἀρεταῖς συνεισάγονθ' ἡμῖν, μήτε βλαβερὸν ταῖς ἐκ τῆς ἑτέρας μερίδος· (εἰ δεῖ καὶ τοῦτο χαρίσασθαι πρὸς ὀλίγον τοῖς ἡμῶν ἐναντίοις, τὸ μηδεμίαν παρ' αὐτῶν τοῖς ἀνθρώποις γίγνεσθαι βλάβην)· καὶ διὰ τοῦτο μήτ' ἀρετὰς, μήτε μὴν κακίας, ἀλλὰ πλάσματα μάλιςα φαντασίας, ἐξ ὑποκρίσεως καὶ δεισιδαιμονίας προκύψαντα, ταῦτ' ἄν τις θείη δικαίως· τὸ γὰρ τῶν ἀρετῶν καλὸν ἐκ τοῦ τέλους ἑαυτοῦ ἐστιν αἱρετόν· οἷον ἡ ἀγάπη οὐχ ὅτι εἰσῆκται ἡμῖν ἐν Εὐαγγελίοις ἐστὶν αἱρετή· ἀλλ' ὅτι ἐστὶ τοιαύτη, τὴν ἐκεῖ κατείληφε προεδρίαν, ἀπὸ τοῦ τέλους ἡμῖν παρεχομένη τὴν αἵρεσιν, ὡς ἐν πολιτείᾳ τινὶ, τυραννίας πάσης ἀπηλλαγμένῃ· διὸ καὶ παρὰ πᾶσι τοῖς ἔθνεσι καὶ πρὶν τῆς χάριτος καὶ μετὰ τὴν σωτηρίαν ἦν, καὶ ἔσται ἀεὶ τοῦτ' αὐτὸ αἱρετὴ, ὡς συνέχουσα καὶ ζωογονοῦσα τὸν κόσμον τόν τε φυσικὸν, τόν τε πολιτικὸν, τόν τε ἠθικόν.

Νῦν δ' οὖν φέρε πλάτωμεν καταχαριζόμενοι καὶ τὸ τέλος

τὸ καλὸν τῶν σῶν ἀρετῶν, ἵνα ἔχωμεν κρίνειν τὴν ἀξίαν αὐτῶν ἐκ τοῦ προσεχοῦς. Βούλει οὖν εἴπω ὡς ἡ μὲν ἀγαμία ἰσάγγελον τὸν ἄνθρωπον ἀπεργάζεται, ὡς τοῦ γάμου μολύνοντος· ἡ δὲ νηστεία συναγελάζει αὐτὸν τῷ θεόπτῃ Μωσῇ, ὡς μιαίνοντος τοῦ τυροῦ καὶ τοῦ κρέατος; καλὸς μὲν ὁ ὕμνος, ἀλλ' ἔστιν αὐτὸ τοῦτο ὕμνος τῆς πανδήμου ῥητορικῆς ἄμεσον ἀποκύημα· ὁ δὲ λόγος, ὁ μόνος ἀληθείας ἐχόμενος, ὡς μόνος ἐκ τῆς θείας μοίρας τῆς φιλοσοφίας ὁρμώμενος, ἐγκαταλείπει με ῥαψῳδοῦντα, καὶ εὐεπείαις λόγων ἀγλαϊζόμενον· ἴσμεν γὰρ ὡς πᾶν τὸ μὲν σῶζον καὶ τελειοῦν τὴν οὐσίαν ἐστὶν ἀγαθὸν, τὸ δὲ ἀναιροῦν, κακὸν καὶ ὀλέθριον.

Ἀλλ' εἰ βούλει, χαρισώμεθα καὶ τοῦτο ἐκείνοις, καὶ τακτέον ταῦτα ἐν γοῦν ταῖς ἐσχάταις τῶν ἀρετῶν (οὐ γὰρ ἂν ἀξιώσειας αὐτὰς ἐν ταῖς πρώταις ἀσχήμονάς γε οὔσας καὶ μελανείμονας)· ἀλλὰ τίποτ' ἐπῆλθεν, ὃ μέμνημαι εἰπὼν, τίποτ' ἐπῆλθεν αὖθις τοῖς μωμοσκόποις τῶν Ἐπισκόπων ἀσεβεῖς καὶ ἀθέους καλεῖν τοὺς ταῦτα μὴ σεβομένους, ἀλλ' οὐχὶ ἁμαρτωλοὺς μᾶλλον, καθάπερ τοὺς ἀδικοῦντας καὶ συκοφάντας προσαγορεύομεν; εἰ δὲ τοιοῦτοί εἰσι, τί ὅτι μὴ καὶ τοὺς μισοῦντας καὶ ἀδικοῦντας ἀσεβείας ὁμοίως διώκουσιν· ἀλλ' ὁ μὲν ἀγάπης καὶ τῶν ἄλλων ἄμοιρος ἀρετῶν ἁμαρτάνειν νομίζεται, ὁ δὲ βρωμάτων μὴ ἀπεχόμενος καὶ τὸν γάμον τιμῶν ἀσεβεῖν κατακρίνεται; τί ἂν εἴη τὸ αἴτιον τῶν τοιούτων ἀπερισκέπτων καὶ ἀλλοκότων δογμάτων; ἢ ὅτι οὐ θεολογοῦσιν ἐξ ἀρχῶν ὑψηλῶν, ἀλλ' ἐκ τῆς ἀγοραίας θεολογίας· ἐκ γὰρ ταύτης τῆς χυδαϊκῆς συνηθείας ὁρμώμενοι, ὅττικεν ἐπ' ἀκαιρίμαν γλῶτταν ἔλθῃ, τοῦτ' ἐξερεύγονται, τὸ μὲν ἑαυτοῦ ἔν γε τῷ παρόντι ἄριστα προορώμενος ἕκαστος, τῆς δὲ κοινῆς σωτηρίας καὶ βελτιώσεως μικρὰ φροντίζων, ἵνα τῷ προσωπείῳ τῆς τῶν πολλῶν ὑπολήψεως ἐκείνους μὲν ἐξαπατῶσιν

αὐτοὶ δ' ἐντρυφῶντες λάθρα πολυτελέσι τραπέζαις, ἐκ συσκευασίας Συβαριτικῆς ἐδεσμάτων παντοίων, ἀπό τε γῆς καὶ θαλάσσης αὐτοῖς πανταχόθεν κομιζομένων, εὐρύνωσι πιμελῆ τὴν ὀσφὺν καὶ τὸν τράχηλον, ὡς πολὺν ἡμῶν τὸν ἀπὸ τῆς νηστείας καταχέοντες γέλωτα, ἐπειδὰν ὡς δεσπότας τινὰς αὐτοὺς ἔτι θύραθεν προσκυνῶμεν, καὶ σὺν εὐλαβείᾳ καταφιλῶμεν τὰς χεῖρας.

Καί τοι ἐχρῆν αὐτοὺς, ὡς πό,τε λύειν καὶ τὸ δεσμεῖν ἀλληλοδιαδόχως ἄνωθεν παραδεξαμένους, οὐ προλήψεσιν ἕπεσθαι, οὐδ' ἀρετὰς πλαστὰς φαίνεσθαι αἱρουμένους, ὧν οὐδὲν ἔσται τέλος πρὸς ἐπικαρπίαν ἡντιναοῦν, οὐδὲ γοῦν ἐπικαλαμᾶσθαι· ἀλλ' αὐτὰς ταύτας τὰς ἐς τὸ παρὸν ἐπισκοτούσας περιελόντες, ὥσπερ ἀχλὺν, τὰς Εὐαγγελικὰς ἡμῖν προτάττειν, ὡς ἀναγκαίας πρὸς σωτηρίαν· μόνος γὰρ ὁ Σωτήρ ἐστιν ἀξιόχρεως νομοθετεῖν ἡμῖν περὶ τούτων, καὶ μόνῳ ἐκείνῳ ὁ τῶν ἀρετῶν κεῖται γνώμων· πρὸς ὃν ὅσοι μὲν ἂν μήθ' ὑπερβάλλοντες, μήθ' ὑπολειπόμενοι, τὰς ἑαυτῶν δυευθύνωσι πράξεις, οὗτοι μόνον ἀρετὴν εἰλικρινῆ καὶ βεβαίαν ἀσκοῦσιν. ὅσοι δὲ παρὰ τὸν κανόνα πράττωσι τοῦτον, ἀρετὰς ἑλόμενοι κατ' ἰδίαν ἀρέσκειαν, ἐξελέγχονται ὑπὸ τοῦ πνεύματος αὐστηρῶς· τίς γὰρ φησὶν, ἀπῄτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; τὰς γὰρ νηστείας ὑμῶν καὶ τὰ σάβατα ἐμίσησεν ἡ ψυχή μου· καὶ ἕτερα τοιαῦτα φέρονται ἐν ταῖς γραφαῖς πολλαχῇ· ἀλλ' ὁ λόγος ἐνταῦθα, ὡς ἐκ μόνου τοῦ ὀρθοῦ ὁρμώμενος λόγου, εἰς ἕτερον ἐκεῖνα καιρὸν ἑκὼν παραλείψει.

Νῦν δὲ σκέψαι μοι κἀκεῖνο, εἰ ἀληθῆ σοι δοκεῖ καὶ ταῦτ' ἐξηγεῖσθαι· ἐμοὶ μὲν γὰρ δοκεῖ, ὅτε ὁ θεὸς ἔπλασε τὸ λογικὸν τοῦτο ζῶον, ὃ προσηγόρευται ἄνθρωπος, ἐνέθηκεν αὐτῷ ἐν τῷ μέσῳ, οἷον ἀποθήκας διττὰς, τὴν καρδίαν καὶ τὴν κοιλίαν· τὴν μὲν ὡς ταμεῖον τῶν πρακτικῶν δυνάμεων τῆς

ψυχῆς· τὴν δὲ, ὡς ἀφεδρῶνά τινα τῶν περιττωμάτων, ἐπισίμοις ὅροις καὶ ὀχετοῖς τὰ καθ' ἑκατέραν ὁρίσαςτε καὶ διαστήσας ἀπὸ τῆς ἑτέρας· εἶθ' οὕτως, ἵνα μηδετέρα αὐτῶν ἐκ περιεργείας τῶν ἀλλοτρίων ὑπερόριον πόδα θῇ παρὰ τὸ προσῆκον, μήδ' ἄλλη τις αὐτῶν καθ' ἑαυτὰς κατάχρησις γένηται, ἐπέστησεν αὐταῖς, οἷον οἰκονόμον τὸν νοῦν, αὐτὸ τὸ ἡγεμονικὸν τῆς ψυχῆς, ἐπὶ τῆς κεφαλῆς, ἵν' ἄνωθεν ἐπισκοπῶν ἐπιτάττῃ αὐταῖς τὰ καθήκοντα, μηδετέρᾳ αὐτῶν ἐπιτρέπων τῶν ἰδίων ἀποπλανᾶσθαι ἔργων, μήτε τῇ τῶν ἀρετῶν φρουρᾷ εἴσοδον ταῖς ἐναντίαις διδόναι κακίαις, μήτε τῇ γαστρὶ ἄλλο τι ζητεῖν παρὰ τὸ, τὰ πρόσφορα καὶ εὐχυμώτερα δεξαμένην ἔξωθεν τῶν βρωμάτων, ἀλήθειν ταῦτα, καὶ διϋλίσασαν εἰς χυλὸν, διακρίνειν τὸ μὲν εἰς ζωὴν, τὸ δὲ σκυβαλῶδες ἀποκρίνειν διὰ τῶν ἑαυτῆς ὀχετῶν ἐς τὰ ἔξω· αὐτὸ γὰρ τοῦτ' ἐπιτέτραπται μόνον, περισκοπεῖν τε καὶ ἀγρυπνεῖν, ὅπως τὸ ζῶον, ᾗ ζῶον, ὑπ' αὐτῆς ὠφελοῖτο, καθάπερ κᾀκείνη τὴν τοῦ λογικοῦ ἐμπεπίστευται πρόνοιαν· διὸ καὶ ὁ σωτὴρ, πᾶν τὸ εἰσερχόμενον, οὐ κοινοῖ τὸν ἄνθρωπον, ἀλλ' ἐς τὴν κοιλίαν, φησὶ, χωρεῖ, καὶ ἐς τὸν ἀφεδρῶνα ἐξέρχεται· ὡς εἰ ἔλεγε, τὸ ἑαυτῆς ἔργον καλῶς ποιεῖ· ἐκ δὲ τῆς καρδίας ἐξέρχονται λογισμοὶ, ἀγαθοὶ μὲν τῶν ἐν ἀρετῇ διαγόντων· πονηροὶ δὲ, τῶν πονηρῶν καὶ συκοφαντούντων· κᾀνταῦθ' ἡμῶν πᾶσαν ἀρετὴν συγκεντροῖ. Πῶς οὖν ἂν εἴημεν τὸν νοῦν ὑγιαίνοντες, εἰ τὴν τῶν ἀρετῶν ἐάσαντες ἀποθήκην, ἐν τῇ κοπροθήκῃ τὴν σωτηρίαν ζητοῖμεν, ὅτι ἀλλ' ἀντ' ἄλλων αὐτῇ βρωμάτων ἐπισωρεύομεν; τοῦτο γὰρ ἂν εἴη τὸν πίθον ἐν τῇ κεραμείᾳ ἐπιχειρεῖν μανθάνειν.

Νῦν δὲ προσθετέον ἔτι κᾀκεῖνο, ἵνα δῶμεν καὶ τέλος τῷ λόγῳ· ἴσμεν γὰρ τῶν μὲν ἀρετῶν οὐδεμίαν, οὐκ ἀγάπην, οὐ δικαιοσύνην, οὐ σωφροσύνην, οὔτε τούτων, οὔτε τῶν ἄλλων

ἔτι βλάπτουσαν, ὅτῳ ἂν ἑκάστῃ παρῇ· οὐ γὰρ ἂν εἴη αἱρετὴ, οὕτως ἔχουσα· τὴν δὲ λεγομένην, ἢ μᾶλλον τὴν νῦν πραττομένην νηστείαν παῖδές τε ἰατρῶν, καὶ αὐτῶν ἡμῶν ἕκαςος συνειδὼς, μαρτυρεῖ, οἷα καὶ ὅσα ἐπιφέρει τοῖς γε χρωμένοις ἀποτελέσματα. Πῶς οὖν τὸ μήτε ἐν ταῖς ζωτικαῖς, μήτε ἐν ταῖς ἠθικαῖς τῶν ἀρετῶν, ταῖς δ' ἐναντίαις μάλιστα καὶ κακοτικαῖς φύσει τεταγμένον εἰς εὐσέβειάν τε καὶ ἀσέβειαν ἡμῖν ἀσκοῦσί τε καὶ μὴ ἀσκοῦσι ἐγκαταλέγοιτο, τὸ μὴ μόνον πρὸς τοῦτ' ἀδιόφορον δοκοῦν εἶναι (περιώρισται γὰρ ὑμῖν ἀνωτέρω τὸ τῆς κοιλίας ἔργον ἐν τῷ ζῶον, ᾗ ζῶον, ὠφελεῖν μόνον) ἀλλὰ καὶ βλάπτων πολλάκις κατ' ἄμφω; τήν τε γὰρ ὑγιείαν παραλυμαίνεται, καὶ τῇ τῶν εὐηθεστέρων ἐπιπροσθοῦσα ψυχῇ, καὶ αὐτοχειροτόνητος σωτηρία αὐτόχρημα εἶναι κηρυττομένη, οὐκ ἐᾷ ἄλλοθέν ποθεν, ὅθεν ἂν προσήκῃ, ἀληθῆ ὡς ἐξ ἀληθῶν ἐπιζητεῖν σωτηρίαν· ἢ οὐχ' ὁρᾷς ὅπως φακῆ καὶ τυρὸς νῦν γε Ὀθωμανὸν καὶ Χριστιανὸν διΐστᾷ παρὰ τοῖς πολλοῖς, οἵτινες ἐν τοῖς βρώμασι τὸ δόγμα ὁρίζοντες, ἐκεῖθεν τὴν ἑαυτῶν προσδοκῶσιν ἀντιμισθίαν, καθάπερ ἐκεῖνοι ἐκ τῶν συχνῶν τοῦ σώματος λουτρῶν τε καὶ καθαρμῶν ἐν τῷ κατ' αὐτοὺς παραδείσῳ τὴν τῶν τῆς σαρκὸς ἐπιθυμιῶν καραδοκοῦσιν ἀπόλαυσιν; βάπτισμα δὲ, καὶ μυστήρια, καὶ σύμβολον πίστεως παρὰ τοῖς δεισιδεμονεςέροις, καὶ ἐπὶ τούτοις ἡ συνοπαδοῦσα ἐκ τῶν ἔργων τῆς ἀγάπης καὶ δικαιοσύνης ῥοπὴ καὶ βοήθεια ἕωλα ὅλως ταῦτα, ἄφωνά τε καὶ νεκρὰ ἀρχαιότητος ἀπηχήματα.

Τούτων τοίνυν οὕτως ἐχόντων, εἴ τι καὶ καθ' ὑπερβολὴν περὶ τούτων πῃ τοῖς διδασκάλοις πεφιλοσόφηται, καὶ ἡ ἀλήθεια ἐλευθερώτερον προὔκυψεν, ἢ ἐλπίζειν, τί τοσοῦτον οἱ πρᾳότατοι οὗτοι καὶ μιμηταὶ τοῦ Χριστοῦ ἱεράρχαι αὐτοῖς χαλεπαίνουσιν, ὑπερβολῇ τὴν ὑπερβολὴν, τῇ τοῦ λόγου τὴν

περὶ τὰ ἔργα κωλύειν προθυμουμένοις; καὶ ταῦτ' εἰδότες, ὡς συνίσασιν οὗτοι ἑαυτῶν τοῦτο ἔργον ὄν, τἀληθὲς ἐπὶ πᾶσι ζητεῖν, καὶ τοῖς ἄλλοις μετὰ παῤῥησίας αὐτὸ κοινῶσαι, πολλὴν ποιούμενοι σπουδὴν τοὺς πεπλανημένους ἐπανορθῶσαι, καὶ ἐς τὰ καθήκοντα μεταστῆσαι; ὥσπερ γὰρ τοῖς πολιτικῆς καὶ τῶν ἄλλων τῶν ἔξω τεχνῶν τε καὶ ἐπιστημῶν αἱ ἐπιδόσεις οὐ διὰ τοὺς ἐμμένοντας ἀεὶ τοῖς κατακεχρημένοις, ἀλλὰ διὰ τοὺς νεωτερῆσαί τι ἀποτετολμηκότας γεγόνασιν· οὕτω κἀπὶ τῆς θρησκείας, ἡνίκα ποτὲ ἐκ δεισιδαιμονίας τινὸς σαθρόν τι ἐκ πολλῆς συγχωθῇ ἀμαθείας, οἵῳ τρόπῳ αὕτη κατὰ μικρὸν ὡς διὰ τοῦ σκότους κατέπεσε, τοιούτῳ αὖθις ἐκ τοὐναντίου διὰ τοῦ φωτὸς κατ' ὀλίγον ἐπανορθωτέα, καὶ ἐπαναληπτέα ἂν εἴη πρὸς τὰ ἀρχαῖα καὶ ἀνεπίληπτα, περιαιρούντων μὲν ἡμῶν τὰς ἀπὸ τῆς ἀμαθείας, ὥσπερ λήμας τῇ ὄψει, προσθήκας, προστιθέντων δὲ τὰς ἀπὸ τῆς καθαρᾶς καὶ ἐλλόγου θεολογίας ἀφαιρέσεις τε καὶ ἐλλείψεις, μέχρις ἂν ἐξ ἀφαιρέσεως οὕτω καὶ προσθέσεως ἀναλάμψῃ ἡμῖν ἐξ ὑπαρχῆς καθαρὸν τὸ θεοπαράδοτον θρήσκευμα τὸ ἁπλούστατον, καὶ σεμνότατον.

Ἀλλ' εἴποις ἂν ἴσως αὐτὸς, ὅτι τοῦτο τοῖς Ἐπισκόποις προσήκει πρώτως ἐπανορθοῦν· ἀλλὰ τὸ πρώτως καὶ μάλιστα τούτοις προσῆκον τοῦτ' ἄριστα αὐτοῖς ἐπηνώρθωται, ἀπό τε καταρῶν καὶ εὐλογιῶν χρήματα εὖ μάλα σὺν κόσμῳ σπουδῇ παντοίᾳ συλλεγομένοις· τοῦτο γὰρ ἐκεῖνοι πρῶτόν τε καὶ ἔσχατον τῶν περιμαχήτων αὐτοῖς θρόνων πεποίηνται σκοπιμώτατον· οἱ δὲ διδάσκαλοι, οἷς γε τὸ σπουδαζόμενόν ἐστι τὸ ἑαυτῶν τάλαντον κατὰ τὴν ἐντολὴν πολλαπλασιάζειν, οὐδὲν παρὰ τὴν τοῦ γένους ἀνάστασιν καὶ βελτίωσιν πεποίηνται περὶ πλείονος· οἷς γε καὶ τὸ πλεῖον τῆς ἐνεστώσης μεταβολῆς, ἐξ ἧς καὶ ἡ κατ' ἄμφω ἠθικῶς τε καὶ πολιτικῶς τῆς Ἐκκλη-

σίας ἐλπίζεται ἐπανόρθωσις, ἀποδοῦναι δικαιότατον γίγνεται· οἷοι γὰρ πέπνυνται, τοὶ δὲ σκιαὶ ἀΐσουσιν· ἀλλ' ἵλῆκοι αὐτοῖς τε καὶ ἡμῖν ὁ σωτὴρ ἐν ἐσχάτοις· τοῦτο γὰρ καλὸν εἰπεῖν νῦν γε πεπαυμένους τοῦ λόγου. Ἔῤῥωσο.

*Τῷ Ησαΐᾳ* (62.)

Ἰδοὺ καὶ ἕτερος τῶν ἀπορωτάτων ἥκει, συνιστάμενός σοι καὶ αὐτός παρ' ἐμοῦ· οἶσθα γὰρ τὸν ἐμὸν τρόπον, ὅτι συγχαίρω μὲν εὐτυχοῦσι τοῖς Ἕλλησι· συμπάσχω δὲ αὐτοῖς αὖθις, ὅταν τις αὐτῶν ὡς φθονεροῦ πειρᾶται τοῦ δαίμονος· διὸ καὶ δρόμος αὐτῶν συχνὸς ὡς ἐμὲ, καὶ δι' ἐμοῦ αὖ πρὸς τὴν σὴν καλοκἀγαθίαν συχνότερος. Οὗτος οὖν ἐξ Ἀμοργοῦς (νῆσος δὲ τῶν Κυκλάδων ἡ Ἀμοργὼ) ἀπάρας πρὸς τοὺς ἑαυτῷ προσήκοντας ἐς Βυζάντιον, καὶ ἐπιδὼν αὐτοὺς πάντας ἀνῃρημένους αὐθημερὸν ὑπὸ τῶν τυράννων, μόλις διαδρὰς αὐτὸς ἀπεσώθη εἰς Ὀδησσόν· ἀλλ' οὐδ' ἐνταῦθα εὐμενέστερον αὐτῷ τὰ ἀπὸ τῆς τύχης ἀπήντησε· παρακολουθήσας γὰρ τῷ τῶν Ῥώσσων στρατῷ ἐπὶ ἐμπορίᾳ, οὐ μόνον, ὧν ἐτύγχανεν ἔχων, ἀφῄρηται, αἴφνης τῶν Ὀθωμανῶν ἐπιθεμένων αὐτοῖς κατὰ τὴν Σιλίστραν, ἀλλὰ καὶ περὶ τοῦ ζῆν ἐκινδύνευσε, μόλις διαδρὰς σὺν ὀλίγοις. Ἀλλ' οὔπω ὁ δαίμων οὐδ' οὕτω δοκεῖ κόρον τῶν ἐς αὐτὸν εἰληφέναι κακῶν· χειμῶνι γὰρ καὶ κρύει σφοδρῷ ἐμπεσὼν ἐν φυγῇ, καὶ ἀποπαγεὶς τοὺς πόδας, ἔκειτο ἔτος ὅλον πη ἐν νοσοκομείῳ νοσιλευόμενος, τῶν δακτύλων αὐτῷ σήψει ἐκρυέντων ἁπάντων. Οἱ μὲν οὖν ἆθλοι τῷ νεανίᾳ τοιοῦτοι· νῦν δὲ μόλις προκύψας, καθάπερ αἱ σαῦραι πρὸς τὴν τοῦ ἡλίου ἀλέαν, ταὐτὸν τῷ τοῦ Λαερτίου δοκεῖ πεπονθέναι, ἀγαπῶν καὶ καπνὸν ἀπὸ τῆς ἐνεγκαμένης ἀποθρώσκοντ' ἰδὼν, μᾶλλον ἀποθανεῖν αὐτοῦ, ἢ ζῆν τοιαῦτα πάσχων ἐν ἀλλοδαπῇ· Πρὸς γοῦν τοῦτ' ἐφοδίου αὐτῷ δεῖ

τοῦγ' ἀναγκαιοτάτου· διὸ ἐδεήθη μου συστῆσαι αὐτὸν τῷ σεβασμιωτάτῳ Ἐπισκόπῳ, εἴτις αὐτῷ παρ' ἐκείνου ἔσοιτο δόσις· ἀλλ' ἐπειδὴ καὶ φύσει σοι πρόσεστι τὸ ἐλεεινὸν καὶ φιλάνθρωπον πρὸς τοὺς πάσχοντας, καὶ τύχῃ παρὰ τῷ σοφῷ ἱεράρχῃ παῤῥησίαν τυγχάνεις εὑράμενος, ποιήσειας αὐτῷ, ὃ ἐγὼ οὐ δεδύνημαι, τῷτ' Ἐπισκόπῳ συστήσας, καὶ ἄλλοθέν ποθεν αὐτόθεν αὐτῷ ἔρανον συλλέξας τὸν δυνατόν· ἐφ' ᾧ μισθὸν τῆς προαιρέσεως ταύτης εἴης ἀποτιθέμενος τὸ, ξένος ἤμην, καὶ συνηγάγετέ με, καὶ νοσοῦντα ἐπεσκέψασθέ με. Ἔῤῥωσο.

### Τῷ *Θεοδώρῳ*. (63.)

Οὐδὲν τῶν ἐπὶ γῆς ἑρπόντων φαυλότερον ἀνθρώπου ἀγνώμονος· ἀχαριστία γὰρ καὶ τῆς πρὸς θεὸν ἀσεβείας μήτηρ ἐστί· πῶς γὰρ ἄντις φοβηθείη θεὸν, ὃν οὐχ ἑώρακε πώποτε, τὴν πρὸς τὸν εὐεργέτην, ὃν πολλάκις ὁρᾷ τῆς ἡμέρας, αἰδῶ παντάπασιν ἀποδύς; Εἴτι οὖν καὶ σοῦ τῆς ψυχῆς καθάπτεται ἡ ἀλήθεια αὕτη, καταμαρτυρούσης τῆς συνειδήσεως, σπεῦσον θεραπεῦσαι μετανοίᾳ τὸ πάθος, ἀποδούς μοι τὸ ὀφειλόμενον, ἀνθ' ὧν τυγχάνεις εὑράμενος, μικρὰ ἀντὶ μεγάλων, ἀργύριον φθαρτὸν ἀντὶ λόγων ἀθανάτων ἀνταλλαξάμενος· μηδὲ κάκου ἔτι γέροντα καὶ διδάσκαλον, πολλῶν μὲν ἤδη ἐν γήρως οὐδῷ δεόμενον, ἐλάττῳ δὲ πολλῷ κεκτημένον τῆς χρείας. Ἔῤῥωσο.

### Τῷ *Ἰωάννῃ* (64.)

Ἆρα μέμνησαι, ὅπως ἡμᾶς ἀμφοτέρους συνῆψάν ποτε οἱ τῶν καλῶν παιδικῶν ἔρωτες ἐν Στεφανουπόλει, ἔνθ' ὁ σὸς ἀοίδιμος πατὴρ προσελθὼν, ἐδεήθη μου συντάξαι καί σε τοῖς ἄλλοις τοῖς τόθ' ἡμῖν ὁμιλοῦσι; τότε δὴ αὐτὸς αἴφνης

ἀπῇρας εἰς Ῥωσσίαν προσοφείλων μοι λοιπὰ γρόσια ὀγδοήκοντα πρὸς τοῖς ἑκατὸν, ἐφ' οἷς καὶ συγγραφὴν ὁ πατὴρ δέδωκέ μοι, δεόμενος ἀναβαλεῖν τὴν ἀπαίτησιν, μήδ' ἀγανακτῆσαί τι κατὰ σοῦ, πατέρα σοι τἄλλα γεγενημένον. Οὐκοῦν καιρὸς ἤδη ἐκεῖνόν τε τιμῆσαι, καὶ σεαυτὸν δίκαιον καὶ εὐγνώμονα πρὸς τὸν καθηγητὴν ἀποδεῖξαι, ἀποδόντα τὰ δίδακτρα· μήδ' ἐπιθύμει ἀδικῆσαι διδάσκαλον τοῖς περὶ ὑμᾶς πόνοις μᾶλλον, ἢ τοῖς ἔτεσιν αὐτοῖς γεγηρακότα. Ἔῤῥωσο.

Τοῖς Ἀγγελίδαις. (65.)

Τὰ μὲν σώματα τὰ τοξεύματα βάλλει, τὴν δὲ ψυχὴν τοσοῦτον ἀλγεινότερον ἀδικία, ὅσον αὕτη γε πέφυκε κρείττων ἐκείνου οὖσα, καὶ μάλιστ' ἐπειδάν τις, ὧν εὖ πεποίηκε, τῇ μνήμῃ ἐρεθιζόμενος, λογίζηται, οἷ' ἀνθ' οἵων ἀπολαμβάνει. Εὐεργεσίας καὶ εὐνοίας ἐτύχετε, ὦ φίλτατοι, παρ' ἐμοῦ, ἄριστα τἄτ' ἄλλα παιδευθέντες, καὶ τὴν ἠθικὴν φιλοσοφίαν, ταύτην δὴ τὴν ὁδὸν πρὸς τὴν ἀρετὴν, διδαχθέντες ἀμφιλαφῶς, ἣν νῦν παραλόγως ἀθετοῦντες, καὶ τὰ καθήκονθ' ἡμῖν παραβαίνοντες, διδάσκαλον, ὃν τιμῶσι πολλοὶ καὶ τῶν μηδεμίαν πρὸς αὐτὸν ἐχόντων σχέσιν, ὑμεῖς εὖ παθόντες, ταῖς τῶν ὀφειλομένων ἀναβολαῖς ἀεὶ περικναίετε, καὶ ταῦτ' εἰδότες αὐτὸν παρασκευαζόμενον ἤδη εἰς τὴν φίλην ἀπονοστῆσαι πατρίδα, ἀπὸ γλίσχρου ὁρμώμενον ἐφοδίου· εἶτά φατε, ὡς ἀκούω, ὡς καὶ ἕτεροι τῶν συμφοιτησάντων ποθ' ὑμῖν οὐκ ἀπέτισαν· τοῦτο μὲν οἶδ' αὐτὸς μᾶλλον, αὐτὸς παθών· ἀλλ' οὐ χρὴ τὴν τῶν ἄλλων ἀγνωμοσύνην πρόφασιν καὶ ὑμῖν γενέσθαι πρὸς τὴν αὐτὴν ἀτοπίαν· εἴη γὰρ ἂν τοῦθ' οὕτω καὶ τοῖς κακουργοῦσι συνήγορον, εἴγ' ἐξείη τὴν τῶν ἄλλων παρανομίαν εὐλόγως πρὸς δικαιολογίαν προβάλλεσθαι·

νῦν δὲ τοῦτ' αὐτοῖς μάλιστα μεῖζον ποιεῖ τὸ ἔγκλημα, ὅτι τὴν τῆς σπουδαίας μερίδος τάξιν ἐάσαντες, πρὸς τὴν τῶν κακουργούντων μίμησιν ἀπετράποντο. Ἀλλ' ἔγωγε καὶ ἕτερόν τι παράδοξον πέπονθα, καὶ οὐκ οἶδ' ὅςτις ποτ' ἄνθρωπος γέγονα. Ὑμῶν γὰρ μὴ ἀποδιδόντων, ἅ μοι ὀφείλετε, μήδ' αἰσχυνομένων, αὐτὸς αἰδοῦμαι, καὶ περιστέλλομαι, μήτι ἐνοχλοίην πολλάκις ἀπαιτῶν καὶ μάλιστα τὴν αἰδημονεστάτην ὑμῶν μητέρα· ἧς ἐπίτε σωφροσύνῃ καὶ φρονήσει λόγος ῥεῖ παρὰ πᾶσι πολύς· Οὐκοῦν τελευταῖά μοι ταῦτά γε πρὸς ὑμᾶς· ὑμεῖς δὲ δυεῖν θάτερον, ἢ τὸ ἀργύριον ἀποδόντες, εὐγνώμονες γίγνεσθε, ἢ τούτου ἀπογνόντες, ἀπόφατε ὅλως, ἵνα κᾀγὼ ἀπαλείψας αὐτὸ τοῦ καταλόγου, ὑποπέμψω ἡμᾶς πρὸς τοὺς ἄλλους, ὧν φατὲ μιμήσασθαι τὴν πρὸς τὸν διδάξαντα τῶν καθηκόντων παράβασιν. Ἔρρωσθε.

*Νικοδήμῳ.* (66.)

Ἀκήκοάσε καὶ ἄλλ' ἄττα βλάσφημα περὶ ἡμῶν θαλαττοκοπεῖν, καὶ ὡς ἡ καθ' ἡμᾶς τοῦ διδάσκειν μέθοδος, ὡς τὴν ἐν πᾶσιν ἀφορῶσα τῶν μαθημάτων ἀκρίβειαν, πρόσκομμα μᾶλλον, ἢ πρόοδος τοῖς ἡμῶν ἀκούουσι γίγνεται, ὡς δῆθεν τοὺς παρ' ἄλλων ἐπιπολαίως διδασκομένους ἐπὶ πλέον ἐπιδιδόντας. Τοῦτο μὲν οὖν οὕτως ἁπλῶς ἀκοῦσαι δόξειεν ἂν ἔχεσθαί τινος ἀληθείας, πολλῶν ἤδη πολλαχῆ θορυβούντων, ἐφ' ᾧ τοῖς ἑαυτῶν λήροις ἐπισκοτίσειαν, εἴγε δύναιντο, τὰ ἡμέτερα· ἔργῳ δὲ δεῖξαι οὐδεὶς αὐτῶν ἐπιβάλλοιτ' ἄν, εὖ εἰδὼς, ὡς ἐκ τοῦ καρποῦ τὸ δένδρον γνωρίζεται· ἴσασι γὰρ τὸ ἑαυτῶν οὐχ ὅπως καρπὸν, ἀλλ' οὐδέ γε φύλλα ἔχον τοῖς κλάδοις περισειόμενα· παρ' ἐκείνοις μὲν γὰρ οὐδεὶς τῶν μαθητῶν πω ἐφάνη ἴσος ἕξει τῷ διδασκάλῳ γεγενημένος διὰ τὸ τῆς διδαχῆς ἐπιπόλαιον· ἐμοὶ δὲ τῶν γε τελειοτέρων,

πλειόνων συμπάντων, ἢ πεντήκοντα πρὸς τοῖς ἑκατὸν ἀριθμουμένων, πολλοίγε ἴσοι, καὶ τοῦθ' ὑπ' ἐμὲ ἔτι ὄντες· νῦν δ' αὖ ὕστερον οὐκ ὀλίγοι τούτων καὶ ὑπὲρ ἐμέ· οὓς γὰρ τῶν λόγων ἡμεῖς διὰ βίου, ὡς ἐν ἀφορίᾳ καιροῦ, γλίσχρως ἐπικαλαμώμενοι, ἐδυνήθημεν κατ' ὀλίγον ἀμήσασθαι, ταῦτ' ἀθρόως αὐτοῖς μετεδώκαμεν ἤδη· οἱ δὲ ἐκ τῆς αὐτῆς μεθόδου τοῖς συγγραφεῦσιν ἐγκύψαντες, καὶ ἐπὶ μείζω ἀπιδόντες τῇ διανοίᾳ, καὶ πρὸς τὴν ἐκ τοῦ καιροῦ ἐπιδεικνύμενοι ἅμιλλαν, πολλῷ κρείττους ἐγένοντο τοῦ διδάξαντος· καὶ εἰ μὴ ὁ φθόνος, ἰσχυρῶς ἡμῖν ἀντιστρατηγήσας, ἀνέτρεψε τὸ Γυμνάσιον ἅμ' ἀκμάσαν, εἶδες ἂν πεντακοσίους ἐν πενταετίᾳ τοιούτους γεγενημένους· νῦν δὲ οἱ τῶν καλῶν ἐχθροί, προειδότες ταῦτ', ἐπεβούλευσαν καὶ αὐτὸ τὸ ζῆν ἀφελεῖν τὸν νύκτωρ καὶ μεθ' ἡμέρας ὑπὲρ τοῦ κοινῇ συνφέροντος ἁμιλλώμενον· μέμνησαι μὲν γὰρ τοὺς ἐν τῷ σχολείῳ τῶν μαθητῶν ἀγῶνας· μέμνησαι δὲ πάντως καὶ τὴν ἐπὶ κόρρης τοῦ ῥοπάλου ἐπὶ τούτοις καταφορὰν, καὶ σύμπαν τὸ τραγικώτατον πάθος ἑξῆς· ὃ ἦν τῶν ἀγώνων ἐκείνων διὰ φθόνον ἐπακολούθημα· οὐδὲν γὰρ ἂν ἐπάθομεν τούτων, εἰ τῇ τῶν πρὸ ἡμῶν μεθόδῳ ἐμμένοντες, ἀβληχρῶς οὕτω καὶ ἀργῶς κατ' ἐκείνους ἀκροβατοῦντες, ἐβαίνομεν· νῦν δὲ δραστηρίως τοῦ ἔργου ἁψάμενοι, καὶ νεανικῶς ἀεὶ τοῦ πρόσω ἐχόμενοι, εἰς τοιαύτην ἀκμὴν προηγάγομεν τὸ Γυμνάσιον· ἢ πόθεν δοκεῖς τοσούτους μαθητὰς, πλείους ἢ τετρακοσίους, πανταχόθεν ἡμῖν συῤῥυῆναι, τοῖς πρὸ ἡμῶν ἀριθμουμένων οὐδ' ὅλων ἑξήκοντα, καὶ τούτων τὸ παράπαν ἐκδεδιῃτημένων καὶ ἀσυντάκτων; Ταῦτ' οὖν εἰδὼς καὶ πεποιθὼς ἀστεμφῶς, μηκέτι χαῖρε λόγοις κενοῖς, μηδὲ τοῖς τῶν ἀνοήτων πάθεσι δούλευε, εἰδὼς, ὡς λόγῳ μὲν πᾶς παλαίει, ἔργῳ δέ τις. Ἔῤῥωσο.

*Δημητρίῳ.* (67.)

Τί φῄς, ἄνθρωπε; τί δὲ καὶ ποιεῖν ἐθέλεις, σπουδὴν ὅσην, ὡς ἀκούω, ποιούμενος τῆς πρὸς τὴν πατρίδα ὁρμῆς ἡμᾶς ἀποτρέψαι; ἀλλ' οὐκ ἂν εἴης τὰ πάντα δυνάμενος, οὐχ Ὁμηρικὴν εὐτυχῶν εὐγλωττίαν, οὐ Δημοσθενικὴν δεινότητα περικείμενος· οὐδὲ μὴν γῆρας τοὐμόν σοι, ὃ φαίνῃ προτείνων, πρὸς τοῦτο συναγωνίσοιτο· ὁ γὰρ τῆς πατρίδος ἔρως οὐκ ἐπὶ τῶν γονάτων, ἀλλ' ἐν τῇ καρδίᾳ τὴν ἕδραν ἔχει· ἡ δὲ οὐδέποτ' ἂν γηράσειεν, οὐδ' ἂν ἄλλως ἀποτραπείη τῆς φύσεως, οὐκ ἔχθρᾳ παραχωροῦσα, οὐ φιλίᾳ χαριζομένη, οὐ λόγοις πειθομένη, οὐ χρήμασι φθειρομένη. Ἀποδοὺς τοίνυν εἴτι μοι προσοφείλεις, ἄφες ζῆν, ὅπῃ βούλοιτο ἕκαστος· καὶ ταῦτα νῦν γε τῆς πατρίδος ἐλευθέρας γεγενημένης· ὑπὲρ οὗ σύνοιδας ἡμᾶς ἐν τεσσαράκοντα ἔτεσιν οὐδὲ γοῦν μίαν ἡμέραν μεταξὺ διαλιπόντας τῶν πόνων πρὸς ἄνεσιν. Ἔα τοίνυν ἀπολαβεῖν με ἡδέως, καὶ ἐν γήρᾳ γε τὸ ἀπὸ τῶν ἐμῶν πόνων τὸ μέρος γιγνόμενον, καὶ εὖ ποιεῖν τό γε δυνατὸν τὸ ὁμόφυλον· φιλότιμον γὰρ ὁ ἄνθρωπος καὶ ἐπιῤῥεπὲς εἰς ἐπίδειξιν, εἴγε δὴ πρὸς ὑμᾶς, Βλάχους γε ὄντας, τὰ τοιαῦτα καυχήσασθαι, ὡς μήτε φιλοτιμίαν εἰδότας, μήτ' ἐπίδειξιν πρὸς εὐεργεσίαν αἰσθανομένους, οὐ μᾶλλον, ἢ καὶ οἱ ἐκ γενέσεως τυφλοὶ (δὸς γὰρ μετὰ παῤῥησίας εἰπεῖν) περὶ χρωμάτων καὶ φωτὸς διδασκόμενοι· καὶ εἰδὼς, οὐκ ἀκηκοὼς ταῦτα λέγω, ἔργῳ μαθών· ἢ οὐ μέμνησαι αὐτὸς, ὅσους, καὶ οἵους ἀγῶνας ὑπέστημεν, γράφοντές τε καὶ νουθετοῦντες ἐν ἅπαντι τῷ χρόνῳ, ἐφ' ᾧ πεῖσαι ἡμᾶς χρηστότερον ἦθος μεταλαβεῖν, καὶ ὀρθότερον ἀνακτήσασθαι φρόνημα; ἀλλ' οὐδ' οὕτως ἠδυνήθημεν διατρῆσαι τὰ ὦθ' ἡμῶν πρὸς ὑποδοχὴν οἱασοῦν ἀρετῆς· εἰδ' ἔπειτα καὶ ὑμῖν ἐπὶ πλούτῳ ἴσως μέγα φρονεῖν, καὶ Λυδικὴν

εὐδαιμονίαν αὔχειν, ἐπὶ μὲν τῷ δικαίῳ, ἔχοι ἄν τινα λόγον τοῦτο· ὡς δὲ ὑμεῖς γε πλουτεῖτε ἐξ ἁρπαγῆς τὸ πλεῖστον, αἰσχύνην μᾶλλον, ἢ καύχησιν τοῦθ' ὑμῖν ἔχει· ἔπειτα βλάκες τινὲς ἐπὶ τοῖς ἔξω πτοεῖσθαι φιλοῦσιν· ἡμῖν δ' Ἕλλησιν οὖσιν, ἀπ' ἀρχῆς καὶ νῦν ἔτι σέμνωμά τε οἰκεῖον καὶ γάνωμα μάλιστα ἐπιστήμη, ἰσονομία, δικαιοσύνη, καὶ ἄνδρες ἀγαθοὶ δεξιῶς χρῆσθαι ὅπλοις. Πλουτεῖτε τοίνυν ὑμεῖς μὲν τὴν καθ' ἡμᾶς θαυμαστὴν ταύτην εὐδαιμονίαν· ἡμᾶς δ' ἐᾶτε ἑλέσθαι τὰ ταπεινὰ καὶ οἰκεῖα, ἐπανελθόντας, ὅθεν ἡμῖν καὶ τὸ φύραμά ἐστιν ἐκ γενέσεως· καὶ γὰρ καὶ τῶν στοιχείων ἕκαστον, διακριθέν ποτε τῆς συνεχούσης αἰτίας, πρὸς τὸ ὁμόφυλον φύσει παλινοστεῖ. Ἔρρωσο.

Τῷ *Πάνῳ*. (68.)

Πυνθάνῃ μου τί ποιῶ; παρασκευάζομαι· ποίαν τινὰ παρασκευήν; τὴν ἡδίστην, ἐντεῦθεν ἀπᾶραι φροντίζων ἐς φίλην πατρίδα γαῖαν, ἀπὸ τῆς χαλεπωτάτης ἤδη ἀπαλλαγεῖσαν δουλείας· τὸ δὲ ἥδιστον τοῦτό μοι, ὅτι καὶ οἱ ἐμοὶ πόνοι, συνεχεῖς τε καὶ πολυετεῖς γεγονότες, τάς τ' Ἀθήνας αὐτὰς καὶ τὰ ἐξ Ἀθηνῶν σεμνὰ καὶ ἀρχαῖα ἀεὶ ἐξυμνοῦντες, καὶ πρὸς μίμησιν αὐτῶν τοὺς πολλοὺς διεγείροντες, οὐ μικρὸν συνεισενεγκεῖν πρὸς τὴν ἐλευθερίαν δοκοῦσι. Πῶς οὖν ἂν εἴη, οἷς τέως ἐν ἐλπίσι μόναις τὴν ψυχὴν ηὐφραινόμεθα, τούτοις νῦν κατορθωθεῖσι μὴ καὶ αὐταῖς ταῖς ὄψεσιν ἐντρυφῶντας, ἐπιτέρπεσθαι τὴν διάνοιαν; Οὐκοῦν μετέωρος ὅλως εἰμὶ, τῷ μὲν σώματι διατρίβων ἐν Βουκουρεστίῳ, τὴν δὲ ψυχὴν ἤδη μοι δοκῶν ἀποβαίνειν, κάμψας τὸ Σούνιον, εἰς τὸν Πειραιᾶ. Τί οὖν ἀναβάλλομαι, εἴποις ἂν, τὴν πορείαν; μήτι ἐμφιλοχωρῶ ὑπὸ συνηθείας; οὐμενοῦν, ἀλλ' ἐπειδὴ δεῖ καὶ ἐφόδιόν τι εἰς τὸ γῆρας ἔχοντα κατελθεῖν (πόνῳ γὰρ καὶ γήρᾳ καμ-

φθεὶς, οὐκέτ' ἂν ἐξαρκοῖμι ἐκ τοῦ ἐπαγγέλματος τὸν βίον πορίζεσθαι) πρὸς τοῦτο νῦν εἰμὶ, τὸν δίκαιον ἔρανον ἀπὸ τῶν διδάκτρων παρὰ τῶν ὀφειλόντων μοι συλλεγόμενος· ποιῶ δὲ τοῦτ' οὐκέτι αὐτὸς βαδίζων ἑκασταχόσε, τῶν γονάτων μοι ἤδη λελυμένων· διὰ δὲ γραφίδος, καὶ τοῦθ' ὑποτρεμούσης μοι τῆς χειρός. Ἐπειδὴ τοίνυν προσοφείλεταί μοι καὶ παρὰ σοῦ τι, ὧν τε ἤκουσας, καὶ ὧν ἔλαβες βιβλίων, τοῦτ' εἰ μὲν ἀποτίσῃς ἀπροφασίστως, εἰς τὴν τῶν εὐγνωμόνων μαθητῶν παρ' ἐμοῦ καταταχθήσῃ τάξιν· εἰ δὲ μὴ, αὐτὸς παρὰ σεαυτοῦ εἰς τὸν τῆς Κίρκης παραχειραγωγούμενος συφεὸν, ἐκεῖ τοῖς χοίροις συναγελασθήσῃ·

» Οἱ δὲ συῶν μὲν ἔχον κεφαλὰς, φωνήν τε, δέμας τε,
» Τρίχας τε· αὐτὰρ δὲ νοῦς ἦν ἔμπεδος, ὡς τὸ πάρος περ.

Οἱ γὰρ ἀγνώμονες, κἂν γρύζωσιν ἐθελοκακοῦντες, κἂν ἄλλως εὐπροσώπως περιστέλλωσι τἄδικα, ἀλλὰ τήν γε συνείδησιν οὐκ ἂν τελέως ἀπολέσειαν. Ἔρρωσο.

*Πετράκῃ.* (69.)

Ἀκούω σε πολλά μου πρώην κατειπεῖν, ἀπαιτηθέντα τὸ ὄφλημα παρ' ἐμοῦ· οὕτως οἱ μὴ τὰ δίκαια βουλόμενοι ποιεῖν, εἰώθασι βλασφημεῖν τοὺς τὰ ἑαυτῶν ἀπαιτοῦντας, ἵν' εὐπροσωπότερον τὴν ἰδίαν πλεονεξίαν συγκρύψειαν· ἡμεῖς γὰρ κἂν τρυφᾶν, ὅπερ ἔφης, κἂν πλουτεῖν βουλόμενοι, τοὺς θησαυροὺς τούτους, οὓς αὐτὸς ἀριθμεῖς, πανταχόθεν ἐπισωρεύωμεν, οὐδὲν ἄδικον οἰόμεθα πράττειν, τὰ ἑαυτῶν θησαυρίζοντες· καίτοι οὔτε φιλαργυρίᾳ, οὔθ' ἡδονῇ πώποτ' οὐδ' ὁποστηοῦν μεμνήμεθα κεκρατῆσθαι· φιλοτιμίᾳ δὲ καὶ μάλα ὅσῃ γε καὶ ἂν εἴπῃς· χιλιάδας γὰρ βίβλους δυωκαίδεκα μάλιστα νῦν αὖθις (ἐῶ γὰρ τὰ πάλαι) ἀποστέλλομεν εἰς τὰς νέας Ἀθήνας

δωρεὰν τῷ κοινῷ, ταῖς νεοσυστάτοις ἐκεῖ τῶν σχολείων διανεμηθησομένας καὶ ταύτας· καὶ νῦν αὖθις πρὸς δευτέρους ἐξ ὑπαρχῆς ἀγῶνας ἀποδυόμεθα, τούς τ' ἐνδοξοτάτους τῶν ποιητῶν, καὶ ὅσ' ἄλλα μοι κατὰ τὴν σωτήριον συγγέγραπται ἐπανάστασιν, δὶς τοσαῦτ' ἔτι ἀπὸ τῶν ἐμῶν πόνων ἐκδοῦναι πάντα, εἰ θεὸς παρατείνοι μοι τὸ ζῆν ἔτι εἰς πέντε ἔτη· ἐκδόντες δὲ εἰσοίσομεν καὶ ταῦθ' ὁμοίως τῇ πτωχῇ νεολαίᾳ, ταύτῃ δὴ τῇ νέᾳ τῆς Ἑλλάδος ἐλπίδι. Ἐπὶ τούτοις οὖν τὰ ἑαυτῶν ἀπαιτοῦντες, δοκοῦμέν τισιν ἐνοχλεῖν, οἷς ταῦτα πρόσκομμα γίγνεται, ἀλλ' οὐ φιλόπλουτοι ὄντες αὐτοί γε· πῶς γὰρ, ὡς οὐδὲ νέων γε ὄντων τὰ τοιαῦτα πάθη κεκράτηκε; σὺ γὰρ αὐτὸς, εἴπερ ἔτι ὑγιαίνει σοι ἡ συνείδησις, μαρτυρήσεις ἡμῖν, ὡς οὐδέποτ', οὐδ' ὀβολῷ ὅλῳ οὕτως εἰπεῖν, οὐκ ἐς τρυφὴν γαστρὸς, οὐκ ἐς περιβολῆς πολυτέλειαν, οὐ τιμὰς διώκοντες ἐξωτερικὰς, οὐκ ἐς ἀξιώματα ἀφορῶντες, περὶ ἃ οἱ πλεῖστοι ἐπτόηνται, ἐς οὐδὲν τούτων κατεχρησάμεθα· ἀλλ' ὅτι δήποτ' ἐδοκοῦμεν ὠφελεῖν τὰ κοινὰ, ἐς τοῦτ' ἀφειδῶς ἀνηλώσαμεν· καὶ ταῦτ' οὐχὶ πατρῴους κληρονομήσαντες θησαυροὺς, οὐδὲ χάριν ποθὲν εὑράμενοι ἡντινοῦν, ὥσπερ ἄλλοι· ἀλλ' ἐξ ὧν αὐτοὶ ἐπονοῦμεν, τὰς μὲν ἡμέρας διδάσκοντες, τὰς δὲ νύκτας γράφοντες τοῦθ' ὅ,τι ποτε ἠδυνάμεθα. Πρὸς ταῦτα τοίνυν παραινοῖμεν ἂν καί σοι μιμήσασθαι τὴν ἡμετέραν μᾶλλον φιλοτιμίαν, ἢ φθόνῳ τὴν ψυχὴν ἀποσμύχεσθαι· τὰ γὰρ τῶν Ἑλλήνων, εἴπερ ποτὲ καὶ νῦν οὐ συκοφαντίαις καὶ κατηγορίαις, ἀλλὰ χορηγίαις καὶ ἐπιδόσεσι μέλλουσι τὴν πάλαι ποτὲ ἀναλήψεσθαι εὔκλειαν. Ἔῤῥωσο.

*Πολυαίνῃ* (70.)

Ἡ μὲν οὖν ἐλευθερία τῶν Ἑλλήνων ἐψήφισται ἤδη ὑπὸ τῶν συμμάχων, καὶ Ἡγεμὼν αὐτοῖς, ὡς λέγεται, Λεοπόλδος κε-

χειροτόνηται ὁ ἐκ τῆς Σαξωνίας, ἀνὴρ τἄτ' ἄλλα οἷος ὅλου γένους φασὶν ἀναγεννωμένου τοῖς οἴαξι χρήσασθαι, καὶ δὴ καὶ πλούτου πολλοῦ, οὗ ἐνδεῖ τοῖς Ἕλλησι μάλιστα, κύριον αὐτῶν φασιν εἶναι· σὺ δ' ἐμφιλοχωρεῖν δοκεῖς ἔτι κλίματι ψυχρῷ καὶ δυσχειμέρῳ καὶ πολὺ τῆς πατρίδος ἀπεσχοινισμένῳ παρὰ φύσιν ἡδέως αὐτοῦ διατρίβων· οὐ γὰρ Βασαραβία, ἀλλ' ἡ Ἑλλάς ἐστιν ἡ τὸ φῶς σοι ὁρᾷν παρασχοῦσα τὰ πρῶτα. Τί οὖν φήσεις πρὸς ταῦτα; ἐγὼ γὰρ ἅμα ἦρι ὥρμηκα κατελθεῖν εἰς Ἀθήνας, καταλιπὼν τὴν Δακίαν, τάτε λοιπά μοι τῶν ἀπὸ τῆς ἐπαναστάσεως διασωθέντων βιβλίων ἀφοσιῶσαι τῷ γένει (εἰσὶ δὲ ταῦτα κιβώτια πέντε πρὸς τοῖς τριάκοντα) καὶ ἅ μοι ἔτ' ἐπεξείργαστο, ἢ ἄλλως συγγέγραπτο κατὰ τὴν ἐπανάστασιν ἐν τοῖς Καρπαθίοις, καὶ ταῦτ' ἐκδοὺς προσθεῖναι τοῖς ἄλλοις, ἵν' οὕτως εὐμενεστέρας τύχοιμι τῆς πατρίδος, ἣν πεντηκοστὸν ἤδη ἔτος ὀφθαλμοῖς οὐχ ἑώρακα· σὺ δὲ καὶ ἕτερα πέντε κιβώτια περισώσας, αὐτοῦ πῃ κατάθου ποτὲ παρά τῳ τῶν ἐν Ἰασίῳ ἐμπόρων. Εἰ οὖν πείθῃ μοι συναπᾶραι, καὶ συνέμπορός μοι διὰ Βυζαντίου γενέσθαι, λαβὼν τὰ βιβλία, σπεῦσον ἐλθεῖν ὡς ἡμᾶς· εἰδὲ μὴ, αὐτά γε ταῦτα πέμψον μοι τάχιον ἐς Γαλάζιον, ἵνα καὶ ταῦτα μετὰ τῶν ἄλλων δίκαιος ἔρανος ἐν καιρῷ γένωνται τῇ Ἑλλάδι. Ἔῤῥωσο.

*Χριστοδούλῳ* (71.)

Εἰδώς με, ὡς ἔοικεν, οὐκ ἂν ἄλλως τῆς προσθέσεως ἀφεξόμενον, ἐχρήσω, οἷον ὅπλῳ πρὸς τὴν νίκην ἰσχυροτάτῳ, αὐτῇ τῇ παρ' ἡμῖν διὰ πολλῶν ἐτῶν συνηθείᾳ, λέγων, ὡς οὐ καλῶς ποιῶ, οὐδὲ συμφέροντα ἐμαυτῷ, βουλόμενος ἀπᾶραι πρὸς οὐ πάνυ βεβαίαν εὐδαιμονίαν, τῶν Ἑλληνικῶν ἔτι ἐν Πελοποννήσῳ ταραττομένων, φίλους ἀρχαίους, διατριβάς τε, καὶ ὁμιλίας εὐγενῶν, μεθ' ὧν διεβίωσα, καταλιπὼν, καὶ

ταῦτα ἤδη γεγηρακὼς, καὶ πολλῶν δεόμενος πρὸς ἀνακούφισιν τῶν ἀπὸ τοῦ γήρους ἀνιαρῶν. Τοιαῦτα μὲν τὰ παρὰ σοῦ, καὶ ἕτερα ἔτι πλείω παραπλήσια τούτοις· ἐγὼ δὲ πρὸς μὲν τὴν συνήθειαν, ἀληθῶς ἰσχυρὰν γενομένην, ἀντιπαρατάττοιμι ἂν τὸν τῶν Ἀθηνῶν πόθον, ὃν ὁ τῆς πατρίδος ἔρως, καὶ ἡ τῆς ἐλευθερίας μετὰ δισχίλια ἔτι μάλιστα εὐτυχὴς ἐπανάληψις ποιεῖ πολλῷ ἰσχυρότερον. Οὕτως οὖν πάθει τὸ πάθος ἐκκρούων, τὸ ἀσθενέςερον τῷ ἰσχυροτέρῳ, σωζοίμην ἐς φίλην πατρίδα γαίαν· ἔνθ' οὐ μόνων φίλων νέων ἐξ ὑπαρχῆς εὐπορρίην, ἀλλὰ καὶ παίδων ἔτι πολλῶν προσευπορήσειν ἐλπίζω· πολλοὺς γὰρ τοιούτους οἱ ἡμέτεροι πόνοι ἡμῖν εἰσεποίησαν· οὐδ' ἄλλως ἀφανεῖς τινες ἐσμὲν, ὥσθ' ἑτέρων ἀπὸ πάσης δεῖσθαι προφάσεως· ἀλλὰ πολλοὺς ἐκείνων εὑρήσομεν ἥδιστα διατεθειμένους ἡμῶν τῇ παρουσίᾳ· οὓς ἐκ πολλοῦ ἰδεῖν δι' ἐφέσεως ἔχουσι· καὶ τἄλλα, εἴτινος ἡμῖν σπάνις γένοιτο, καὶ ταῦθ' ἡμῖν τά γε μέτρια ἔσται· πολλὰς γὰρ τῷ κοινῷ καὶ πάλαι μὲν κατεθέμεθα χάριτας, καὶ νῦν δὲ τὰ ἑαυτῶν ὅ,τι ποτ' εἴη τὰ μὲν ἐπιδεδώκαμεν, τὰ δὲ ἀναλῶσαι νῦν προαιρούμεθα εἰς ἑτέρας ἐκδόσεις βίβλων· πῶς οὖν ἂν ἀποτύχοιμεν τῶν ἐλπίδων; πῶς δὲ τοσαῦται χάριτες ἀχάριστοι ἔσονται παρά γε τοῖς ἐλευθέροις, τοῖς καὶ πάντα κατὰ τρόπον νῦν γε καὶ πρὸς τὸ δίκαιον ὀφείλουσι πράττειν; εἰ δὲ μὴ, ἀλλὰ καὶ τοῦθ' ἡδονὴν οὐ τὴν τυχοῦσαν ἡμῖν ἂν προσθείη, κακῶς πράττειν εὖ πεποιηκότας αὐτούς· αἱρετώτερον γὰρ ἔμοι γε οἰκτρότερον τελευτῆσαι διὰ σπάνιν τῶν ἀναγκαίων ἐξ εὐεργεσίας, ἢ λιπαρῶς, τὰ πρὸς τὴν πατρίδα παραβάντας καθήκοντα, καὶ ταῦτα τοὺς μοναχικὸν ἐπάγγελμα ἔχοντας· τί γὰρ χρὴ τούτους περιόντας ἐλπίζειν, τοὺς πρὸς ἕτερα ἆθλα ἐπαγγειλαμένους τὸν παρόντα ποιεῖσθαι ἀγῶνα; Ἔπειτα πρὸς τί με καὶ παραμεῖναι, καὶ συναποθανεῖν ὑμῖν, ὅπερ ἔφης;

ἵνα διδάσκωμεν ἔτι τὴν παρ' ὑμῖν νεολαίαν; τοῦτο γὰρ τῶν πάντων εὐπροσωπότερον ἂν ἔχοις εἰπεῖν, ἀλλ' ὅταν μεμνώμεθα, ὡς καὶ πολλὰ καὶ ἐπ' εὐλογίαις καταβαλόντες τὰ σπέρματα, οὐκ ἀνάλογον καρπὸν ἐθερίσαμεν, λυπούμεθα ἐφ' οἷς πεπονήκαμεν· εἰ γάρ τι καὶ ἠμησάμεθά πη, λήϊον εὑρόντες βαθυγειότερον, καὶ καρπὸν οὐκ ἀβληχρόν τινα, οἷον νοητόν φημι, συγκεκομίσμεθα ἀπ' αὐτοῦ, τοῦτ' αὖ οὐκ ἀπὸ τῶν Βλάχων μᾶλλον, ἢ ἀπὸ τῶν μετοίκων Ἑλλήνων τε καὶ Βουλγάρων τῶν πτωχῶν καὶ ἀπόρων ἐκείνων ἐσμὲν συνειλεχότες· ὑμῶν δ' εἴτινες καὶ πεπαίδευνται ὅ,τι δήποτε, ἀλλ' οὐδεὶς ὅμοιος τῷ διδάξαντι γενέσθαι προείλετο· πλὴν ὀλίγων· ἀλλ ἅμ' ἕκαστοι ἐκραγέντες τοῦ καθηγητοῦ, ἀποβαλόντες οἷά τινα ἀμβλωθρίδια, ἃ συνειλήφεσαν τῆς τε μαθήσεως καὶ ἠθικῆς μικρά τινα σπέρματα, εὐθὺς μετεσκίρτησαν πρὸς τὸ ἦθος ἐξ ὑπαρχῆς τὸ πατρῷον καὶ ἄνομον, τέκνα πατέρων ἁμαρτωλῶν ἁμαρτωλότερα γεγονότες· εὐσεβείας γὰρ λόγος αὐτοῖς καὶ δικαιοσύνης οὐ μᾶλλον εἰσέρχεται τὰς ψυχὰς, ἢ τοῖς ἐκ γενετῆς τυφλοῖς γένοιτ' ἂν αἴσθησις φωτὸς καὶ χρωμάτων. Ἀλλὰ σύ γ' εἴποις ἂν, τὸν γ' ἀπὸ τῶν πόνων μισθὸν ἀπέχεις λαμβάνων ἀργύριον· ἰοὺ, ἰοὺ, ὁπότε διὰ χρήματα τοσαῦτα πονοῖμεν! ποῦ γὰρ θῶμεν τὴν φιλοτιμίαν; πῶς δὲ καὶ τὴν πρὸς τὸν ἀγαθὸν οἰκονόμον τοῦ δεσπότου ἐντολὴν ἐκδεξόμεθα; ποῦ μοι τοῦ ἐμπιστευθέντος ταλάντου ἡ αὔξησις; μῶν ἐς χρήματ' ἀφορῶντες, τοσούτους ἐς τόδ' ἀγῶνας ὑπέστημεν; διδάσκειν γὰρ, πρὸς ἀργύριον ἀφορῶντα, μήτι καὶ λέγειν, ἤ πού γε δὴ πράττειν, αἰσχρὸν, καὶ ταῦτα τοῖς τὸ σχῆμα τοῦτο περικειμένοις, οἷς οὐδὲν αἴσχιον τοῦ χρήματα καταλιπεῖν τελευτήσαντας. Τοιαῦτ' οὖν εἰδὼς φρονοῦντας, μηκέτι σπεῦδε τῶν πρὸς τὴν πατρίδα καθηκόντων ἡμᾶς ἀπεῖρξαι· οὐ γὰρ ἂν πείσειας. Ἔῤῥωσο.

*Τῷ Κομμητᾷ.* (72.)

Τῶν μὲν Παιδαγωγικῶν σου βιβλίων τὰ πλεῖστα, φανέντα πολλοῖς παρ' ἡμῖν, οὐ τὸν τυχόντ' αὐτῷ τε τῷ συγγράψαντι ἀνέπεμψαν ἔπαινον, καὶ ἡμᾶς τοὺς καὶ πρὶν ἐκδοθῆναι τὰ εἰκότ' ἐπαινέσαντας, ἀληθεῖς ἐπαινέτας, ἀλλ' οὐχ' ἁπλοῦς τινὰς συνηγόρους, οὐδὲ κόλακας τῆς σῆς φιλίας ἀπέδειξαν· καὶ τοῦτο μὲν ηὔφρανεν ἡμᾶς ὡς εἰκός· ἀλλ' αἴφνης ἡ χαρὰ οὐκ ἀπ' ἐλάττονος ὁλκῆς ἡμῖν περιέστη εἰς λύπην, μαθοῦσιν ἤδη ἔκτινων γραμμάτων, ὃ κακῶς σε πεποιήκασι τῶν λωποδυτῶν οἱ κακοὶ κακῶς ἀπολούμενοι· φασὶ γὰρ ὑπεισδύντας τὴν σὴν οἰκίαν τινας, ἀφελέσθαι πᾶν τὸ πρὸς τὴν ἔκδοσιν τῆς Ἐγκυκλοπαιδείας ἐκ πολλῶν πόνων τε καὶ ἐτῶν ἀποκείμενόν σοι ἀργύριον· καί σε σφόδρα δυσθύμως ἐπὶ τούτοις διατεθῆναι· καί μοι οὐκ ἀπίθανα ἔδοξαν λέγειν περὶ τῆς δυσθυμίας οἱ ταῦθ' ἡμῖν ἀπαγγείλαντες, εὖ τήν τε σὴν φύσιν, καὶ τὸ ἐπ' ἀδοκήτοις συμφοραῖς κατωφερὲς εἰδότι πρὸς λύπην, καὶ ταῦθ' ὅτε σὺν πολλῇ προθυμίᾳ ἐκ φιλογενείας τυγχάνεις ὡρμηκὼς πρὸς τὴν ἔκδοσιν. Ἀλλὰ μὴ σύ γε, μὴ πάθῃς τοῦτ', εἰδὼς, ὅπως δεῖ τὰς τῆς τύχης φέρειν μεταβολάς· μήδ' ὁ ἐν λόγοις ἀήττητος, φαίνου ἐν τοῖς πράγμασι τῶν παθῶν ἥττων γεγενημένος, μεμνημένος κᾀκεῖνο, ὅτι καὶ τὸ διδάσκαλος τῶν καλῶν εἶναι κεκλήρωσαι, ἵνα τὴν τῶν πραγμάτων ἀλήθειαν τοῖς ἄλλοις διδάσκῃς, κακίαν μὲν τὸ ἀδικεῖν, ἀρετὴν δὲ τὸ ἀδικεῖσθαι ἡγεῖσθαι εἶναι τοῖς μετριώτερον τὴν περίστασιν φέρουσιν· ἢ ποῦ ποτε θῶμεν τὸ, εἴ τις περιεῖλέ σε τὸ ἱμάτιον, πρόσθες αὐτῷ ἔτι καὶ τὸν χιτῶνα, καὶ ὅσα γ' ἔτι ἐκ τῆς ὑπερτάτης ἠθικῆς ἡμῖν ἐν Εὐαγγέλοις ἐντέταλται; καὶ πῶς τὰ τοιαῦτα τοῖς ἄλλοις λόγῳ κηρύττοντες, αὐτοὶ τοῖς ἔργοις οὐ βεβαιώσομεν; αἰσχρὸν γὰρ

τοὺς καθαίρειν ἑτέρους ἐπάγγελμα ἔχοντας αὐτοὺς τῶν αὐτῶν παθῶν φαίνεσθαι ἡττωμένους· καὶ τοῦτ' οὐχ' ἧττον, ἢ καὶ ἰατρὸν ἐπαγγελλόμενον ἰᾶσθαι παρωνυχίδας, ἑαυτοῦ φθισιῶντος αἴσθησιν μὴ λαμβάνειν· ἔπειτ' οὐδ' ἄηθες τοῦτό γέ σοι ἀπὸ τῆς τύχης, οὐδ' ἄνευ παραδειγμάτων, εἴ γε τὸ ταὐτὰ παθεῖν φέρει τινὰ παραμυθίαν τοῖς πάσχουσι· μέμνησαι γὰρ οἷα καὶ ἐκ βασιλικοῦ ποτε θεσπίσματος συνάμφω πεπόνθαμεν ἐν Βιέννῃ εἰκοστὸν τουτὶ ἔτος, καὶ νῦν αὖθις ὅσ' αὐτὸς ἰδίᾳ ὑπὸ πλεονεκτῶν οὐ μόνον βίβλων σωροὺς, ἀλλὰ καὶ χρήματα πλείω, ἢ σὺ, προσαφῄρημαι· ἀλλ' εἰς οὐδὲν λογίζομαι τὰ τοιαῦτα, εἰδὼς τὰ μὲν ἔξω οὐχ ἡμέτερα ὄντα· τὸν δ' ἔσω πλοῦτον, ὅτῳ ἂν προσῇ, τοῦτον μόνον ἀναφαίρετον ὄντα καὶ τῶν ἔξωθεν ἐπιβουλευόντων ἀνώτερον γενησόμενον. Καί τοι οὐκ ἀγνοῶ τὸ σὸν πάθος μεῖζον γεγενημένον, κἂν ἐξ ἐλάττονός σοι ποσότητος, ἢ ἐμοὶ, ὡρμῆσθαι δοκῇ· τὸ γὰρ ἀπροσδοκήτως ποθὲν προσπεσὸν ἀπ' ἐναντίας ἐλπίδος, κἂν ἔλαττον ᾖ, μεῖζον ἐξεργάζεται τραῦμα, ἢ ὃ μεῖζον μὲν ὂν, κατὰ μικρὸν δὲ προσέρπον, ἠρέμ' ὑφαιρεῖ τὴν ἐλπίδα τῆς ἀπολαύσεως· ἀλλὰ καὶ οὕτως αὖ δεῖ τοὺς γενναῖα φρονοῦντας, ὅπως πότ' ἂν τὰ ἀπὸ τῆς τύχης προσβάλλῃ, γενναίως φέρειν τὴν ἀπ' αὐτῶν προσβολήν· καὶ ταῦτά σοι μὲν παρ' ἐμοῦ πρὸς τὰ παρελθόντα. Πρὸς δὲ τὸ μέλλον, εἴτι μου καὶ τοῦτ' ἐπακούσειας, ἐκεῖνο παραινέσαιμι ἄν· λαβὼν τὰ ἐκδοθέντα σοι τῶν βιβλίων, κάτελθε εἰς τὴν ἐλευθέραν Ἑλλάδα, ἐν ᾗ καὶ τὴν σὴν βωτειάνειραν Φθίαν φασὶ συμπεριληφθήσεσθαι· ἔνθα τὸ λοιπὸν τοῦ βίου, χρονίου πλάνης ἀπαλλαγέντες, καὶ γερόντια ἤδη ἄμφω παρὰ γεροντίῳ καὶ αὐτῷ τῷ σοφῷ Κωνσταντᾷ προστιθέμενοι, συναυλίαν οἱ σύντρεις ἐναρμόνιον ᾄσομεν, ἓν ἔτι δι' ἐπιμελείας τιθέμενοι, ὅπως καὶ τὰ λοιπὰ τῶν ἡμετέρων πόνων ἐκδώσωμεν· καὶ τοσοῦτόν γ', ὅσον ἡ

χρεία γένους ὅλου εὐτυχῶς ἤδη ἀναγεννωμένου, ἡμᾶς ἐπισπέρχει· καὶ ταύτην γ' ἔτι τὴν εὐποιΐαν ταῖς προγεγενημέναις τελευταίαν ἐπιμετρεῖν· διψᾷ γὰρ ἡ Ἑλλὰς τῶν καλῶν, καὶ δεῖται παρὰ πολὺ τῆς τῶν πεπαιδευμένων ἀρδείας. Ἀλλ' εἴη τὸ θεῖόν γε εὐμενές, καὶ παρατείνειε μέχρις ἐκείνου ἡμῶν τὸ μέτρον τοῦ βίου. Ἔῤῥωσο.

*Νικολάῳ Λογάδῃ.* (73.)

Πολλῶν μὲν ἀγαθῶν ἡ ἐπανάστασις, ἐν ᾗ καὶ ἡμεῖς συνομωμοκότες ἐν μέρει ἐσμὲν, αἰτία τοῖς Ἕλλησι γέγονε, τὴν ἐλευθερίαν αὐτοῖς διασώσασα, ἀλλὰ πολλοῖς καὶ τῶν κακῶν οὐκ ὀλίγα ἐπήνεγκε· τοῖς μὲν, θανάτους τῶν φιλτάτων· τοῖς δὲ, ἀποβολὴν τῶν κτημάτων, καὶ ὅσα γε τοιαῦτα ἐν τοιούτοις καιροῖς φιλεῖ τοῖς ἀνθρώποις συμβαίνειν. Τούτων οὖν τῶν δευτέρων οὐδ' ἐμὲ παρέδραμεν ἡ τύχη ἀπείρατον ὅλως εἶναι· τῶν τε γὰρ ἐνταῦθ' ἀποκειμένων μοι βίβλων τὰς πολλὰς ἀπεσύλησε, στρατιωτικῆς πλεονεξίας αὐτὰς ποιήσασα παρανάλωμα, καὶ δὴ καὶ τῶν ἐν Βυζαντίῳ, Θεσσαλονίκῃ τε, καὶ Σέῤῥας προσαποκειμένων μοι οὐκ οἶδ' οἵτινες διέφυγον τὴν τῶν Ἰανισσάρων ἐκεῖ μανίαν. Τοῦτ' οὖν δέομαί σου (σὺ γὰρ δὴ καὶ φιλομαθὴς καὶ φιλογενὴς ἐς τὰ μάλιστα οὐ μόνῳ λόγῳ, ἀλλὰ καὶ ἔργοις πολλοῖς καὶ καλοῖς ἀναδέδειξαι) διερευνῆσαι, εἴτινες ἔτι ἐκείνων πῃ διασώζοιντο, καὶ μηνύσας μοι, προσθήσεις καὶ ταύτας ταῖς ἄλλαις, τῇ πρώτῃ τὴν δευτέραν ἐπίδοσιν· καὶ πέπεισο, ὡς οὐκ ἔλαττω καὶ αὐτὸς τὸν τῆς εἰσφορᾶς μισθὸν ἀπολήψῃ. Ἀλλὰ τί ποτέ μοι τὸ αἴνιγμα βούλεται; Ἐπειδὴ γὰρ ἤδη ἡ τῶν Ἑλλήνων ἐλευθερία βιάζεται, καὶ βιασταὶ αὐτὴν ἀναρπάζουσιν, ὥρμηκα κἀγὼ ἕνα τινὰ τούτων εἶναι· συναγαγὼν γὰρ τῶν ἐνταῦθά μοι κλαπέντων τὰ λείψανα, προσθεὶς δὲ καὶ εἴτι μοι αὐτοῦ περι-

πέσωσται, ἀπαρῶ ἐς Ἀθήνας, τοῦτο δὲ τὸ ἀρχαῖον τῆς φιλολογίας σεμνὸν ἐνδιαίτημα, αὐτάτε ταῦτα συνεισοίσων τῇ πατρίδι ὡς δίκαιον ἀνταπόδωμα τῶν τροφείων, καὶ ἐμαυτὸν ἐς δευτέρους ἐπιδώσων ἀγῶνας, εἴτι δυναίμην καὶ τῶν νεωτέρων πόνων μοι προσεκδοῦναι· τοῦτο γὰρ ἔτι μοι λοιπὸν νῦν ἐν γήρως οὐδῷ τῇ νεολαίᾳ χαρίσασθαι· τόδ' ἐπέκεινα τὴν γῆν τῇ γῇ, τὸ μέρος, τῷ ὅλῳ ἀγαπητῶς ἀποδοῦναι. Ἔρρωσο.

*Δημητρίῳ.* (74.)

Πυνθάνῃ μου ἴσως, πότ' ἀπαρῶ ἐντεῦθεν εἰς φίλην πατρίδα γαῖαν· τήμερον· τήμερον μὲν τῷ πόθῳ, οὐκ οἶδα δ' ὅτε ποτὲ τῷ τρόπῳ, πολλῆς ἐνούσης τοῖς ἀσυνειδήτοις πλεονεξίας· βουλοίμην γὰρ ἂν καὶ ἐφόδιόν τι εὐπορώτερον πρὸς τὸ γῆρας ἔχων ἀπᾶραι· τοῦτο δὲ οἱ ὀφείλοντες ἀποδοῦναί μοι ἑκόντες οὐ βούλονται, ἄλλοι ἄλλα σκηπτόμενοι πρὸς παραίτησιν ἀποτίσεως· εἰδότες γάρ με ἀβληχρόν τινα καὶ ἀδρανῆ πρὸς βιαιοτέραν ἀπαίτησιν, ἢ μᾶλλον μηδέποτ' ἂν δικάζεσθαι ἀξιώσοντα, οὕτω με ταῖς ἀεὶ ἀναβολαῖς περικναίουσιν· τινὲς δὲ κἀκ τοῦ φανεροῦ τολμῶσιν ἀναισχυντεῖν, τί δεῖ χρημάτων, φάσκοντες, καλογήρῳ καὶ γέροντι, μὴ εἰδότες ὅλως εἰς οἵους ἀγῶνας ὑπὲρ τῶν κοινῇ συμφερόντων μελετῶμεν αὖθις ἐμβαλεῖν ἑαυτούς· οὐ γὰρ ἂν ἀξιώσαιμεν, περιόντες ἔτι, ἀσύμβολοι τοῖς νέοις νῦν τῶν πραγμάτων γενέσθαι παντάπασιν, οἱ ἐν τῇ δουλείᾳ πολλὰ πρὸς ἀπαλλαγὴν τῶν κακῶν συνεισενεγκόντες. Ἔπειτα πόσα καὶ οἷα τὰ συλλεγόμενα, ὥστ' ἔχειν ὅ,τι τις καὶ ἐς χρηματισμὸν ἡμῶν ἐπιλήψοιτ' ἂν δικαίως; ὀφείλει μὲν γὰρ αὐτῶν ὁ μὲν φοίνικας ἑκατόν· ὁ δὲ, δὶς τοσοῦτον· ἄλλως δ' ὅσον τὸ ἥμισυ ἀπὸ τῶν διδάκτρων· τὸ δὲ σύνολον εἴη ἄν, ὅσον γ' ἂν καθ'

ὁδὸν καὶ ἐξαρκέσαι τῷ διδασκάλῳ καὶ τρισὶ μαθηταῖς· οὓς ἄξω ὡς ἀξίους ἐσομένους τοὺς ἐμοὺς ὑπὲρ τοῦ κοινοῦ ἀναδέξασθαι πόνους, εἴγε δεῖ καὶ τούτου πρόνοιάν τινα ἔχειν· ὁρᾷς γὰρ, ὅσην ἐρημίαν διδασκάλων ὁ δεκαετὴς ἀγὼν ἡμῖν ἐνεποίησεν, ἡμῶν μὲν, ὅσοι περιῆμεν, ἀποκεκμηκότων· τῶν δὲ νεωτέρων ἄλλων ἄλλοσε πέριξ εἰς τὴν ἀλλοδαπὴν πρὸς εὕρεσιν βίου καταφυγόντων. Οὐκοῦν (σὺ γὰρ δὴ καὶ φιλογενὴς εἶ, καὶ τῶν εὖ ποτε παρ' ἐμοῦ πεπονθότων εὐγνωμονέστερον διακείμενος) σύμπραξον, ὅπως ἐντεῦθεν ἀναζεύξαιμι τάχιον· οἶσθα γὰρ Ἰωάννην τὸν Στεφανίδην, τὸν ἐκ γειτόνων φημὶ Βοϊνέσκον, μεθ' οὗ τῶν ἐμῶν λόγων ἐν Στεφανουπόλει ποτὲ ἐπηκούσατε, ἐξ ἐκείνου ἔτιμοι προσοφείλοντα ἀργύρια ὀγδοήκοντα πρὸς τοῖς ἑκατόν. Τοῦτον οὖν εἴγε πείσειας ἀποδοῦναί μοι τοὔφλημα, σοὶ αὐτῷ πᾶσαν τὴν τῶν χρημάτων ἐπιμετρήσω χάριν. Ἔῤῥωσο.

Ἰωάννῃ. (75.)

Ἀκούω σε δυσαποσπάστως ἔχειν κατελθεῖν εἰς τὴν φίλην πατρίδα, ἐμφιλοχωροῦντ' αὐτοῦ ἐπὶ μακρᾷ συνηθείᾳ· πρότερον μὲν γὰρ χειμῶνα καὶ πόλεμον ποιούμενος πρόφασιν, οὕτω τὴν καλὴν καὶ δικαίαν ἀνέβαλλες ἀπονόστησιν· νῦν δ' ἐκείνων τε ἐκλιπόντων, καὶ τῆς τῶν χελιδόνων ᾠδῆς ἔαρ ἡμῖν μηνυούσης, τίς ἡ πρόφασις ὑπερτίθεσθαι, τὸν πολλάκις εὐξάμενον καὶ καπνὸν γ' ἀποθρώσκοντα τῆς Ἑλλάδος ἰδεῖν; καί τοι ἐχρῆν οὐχ ὅπως αὐτὸν ἐπισπεύδειν τὴν κάθοδον, ἀλλὰ καὶ ἄλλους τῷ τε λόγῳ καὶ παραδείγματι πρὸς ταῦτα ἐπισπέρχειν· ἡ γὰρ Ἑλλὰς ἀποσεισαμένη ἤδη τὸν τῆς δουλείας ζυγὸν εὐτυχῶς, συγκαλεῖ πανταχόθεν τὰ ἑαυτῆς πολύπονα τέκνα πρὸς ἀπαλλαγὴν τῆς ἐκ παλαιῶν ἐτῶν ἐπιπολαζούσης αὐτῇ κηλῖδος· μάλιστα δὲ τοὺς τῶν λόγων

θεράποντας· ὧν αὐτὸς τὰ μὲν πρῶτ' οὐκ ἂν εἴποιμι, τὴν εἰρωνίαν ἀφοσιούμενος, τὰ δὲ δεύτερα πάντως τυγχάνεις φέρων· καὶ ἔχει τοῦτό γέ σοι μαρτυρεῖν μὲν γαυριῶν αὐτὸς ὁ διδάσκαλος· ἀλλ' οὐκ ἐπὶ τοιούτῳ τόκῳ σοι τὸ δάνειον πεποιήκαμεν, ὥστ' ἀλλοδαποὺς ἀπὸ τῆς σαυτοῦ καταρδεύειν πηγῆς, τῆς Ἑλλάδος αὐτῆς διψώσης. Ἔῤῥωσο.

## Ἡσαΐα. (76.)

Τί μοι τιμαί; τί μοι διάκενα ἀξιώματα, ἃ κατεπαγγέλῃ μοι, εἴγε μείναιμι ὧδε ἔτι, καὶ ταῦτα νῦν γε πόθῳ μὲν πολλῷ με τῆς πατρίδος ἑλκούσης, πλείονι δὲ κἀμοῦ τὴν πατρίδα ποθοῦντος; ἔπειτα πῶς ἂν ἀξιωμάτων καὶ τιμῶν, ὧν καὶ νεώτεροι ὄντες κατεφρονήσαμεν, ὡς ὄργανα ταῦτα λογισάμενοι τυραννίας, τὴν ἐλευθερίαν αὐτὴν τὴν τῆς δικαιοσύνης μητέρα ἀνταλλαξαίμεθα; σπουδαρχοῦσι γὰρ ἐκεῖνά γε περιμάχητα· ἡμῖν δ' ἓν ἐκεῖνό γε φίλον τὸ μετὰ φιλοσοφίας ἶσον τοῖς ἄλλοις ἔχειν· ὃ καὶ ὁ θεὸς σωτήριον τῇ τοῦ ἀνθρώπου ἐνέθηκε φύσει ἀπ' ἀρχῆς πρὸς τὸ εὔδαιμον· οὗ πάντες μὲν ἐφιέμεθα, ἐλάχιστοι δ' ἀπολαύουσι· τὸ γὰρ ἄνισσον ἐν τῷ βίῳ, ἀπὸ ἐναντίας ῥοπῆς ἑκατέρωθεν ξυνιστάμενον, ἀρετῆς οὐ προσίεται παρουσίαν, ὡς τὴν τῆς μεσότητος πλάστιγκα διαφόρῳ ὁλκῇ ποιοῦν ἑτερόζυγον· ὅσῳ γὰρ τοῖς κρείττοσι ταλαντεύει τὸ πλέον ἔχειν, τοσοῦτον ἀναιρεῖ τοῖς τοὔλαττον ἔχουσι μετὰ τῆς ἐλευθερίας καὶ τὴν εὐημερίαν· καίτοι ὁ ποιητὴς καὶ τὸ ἥμισυ τοῦ νοὸς προστίθησιν ἀφαιρεῖσθαι τοὺς τὴν ἰσονομίαν ἀφῃρημένους.

» Ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνεται Εὐρύοπα Ζεὺς
» Ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσι.

φιλοσφεῖν ἄρα δεῖ, καὶ μὴ σπουδαρχεῖν· τὸ μὲν γὰρ ἐντίθησι

τὸ φρονεῖν· τὸ δὲ καὶ τοῦ προσόντος πολὺ ἀπὸ τῶν ἐχόντων ἀφεῖλεν. Ἔῤῥωσο.

*Παϊσίῳ.* (77.)

Πολλὴν παρὰ πολλῶν τῶν παρ' ἐμοῦ λιπαρῶς παιδευθέντων ὁρῶ μοι ὑπάρχουσαν ἀδικίαν· ἀλλ' οὐχ ἧττον καὶ παρὰ τῆς γυνῆς τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου Νικολάου Πατζούρα· ἥτις ἀποστερεῖ με γρόσια πεντήκοντα πρὸς ταῖς ἑκατὸν, ἐφ' οἷς τὸν υἱὸν αὐτῆς ὅλον ἔτος μικροῦ δεῖν ἐξεδίδαξα, ἄλλοτ' ἄλλῃ προφάσει ὑπερτιθεμένη ἀεὶ τὴν ἀπότισιν· καίτοι πολλὰ ἐκλιπαροῦσα, καὶ τὶ οὐ ποιοῦσα τὴν ἀρχὴν, ἐκεῖνον προσήγαγε· φύσει γὰρ τινὲς πρὸς μὲν τὸ λαβεῖν, ὧν ἐφίενται χαμερπεῖς γίνονται, καὶ οἷον γοητικοί· πρὸς δὲ τὸ ἀποδοῦναι, ἃ ἔλαβον, ὀκνηροὶ καὶ βαρεῖς ἀποβαίνουσιν· εἰ δέ τις καὶ προσέλθοι οἴκαδε παρ' αὐτοῖς τὸ ἑαυτοῦ ἀπαιτήσων, ἀπεζύγωσαν ἂν ἰδόντες αὐτῷ κατὰ τοῦ προσώπου τὰς θύρας. Ἐπειδὴ τοίνυν αὕτη σοι κατοικεῖ ἐκ γειτόνων, πεῖσον μοι ἐλθὼν πρὸς θεοῦ τὸ γύναιον ἀποτίσαι μοι τὸ ἀργύριον· οἶσθα γὰρ ὡς ἐκ τοιούτων λειψάνων πειρῶμαι τὸν ναῦλον ἑκατὸν μάλιστα κενταρίων βιβλίων ποιήσασθαι, ἃ μέλλω, ἦρος ἤδη φανέντος, πέμψαι Ἀθήναζε· σὺ δὲ τῆς τούτων ἐπιστολῆς συνεργός μοι γενόμενος, ἔσῃ πάντως συμμέτοχος καὶ τῆς χάριτος, εἴτις χάρις τούτων παρὰ τοῦ κοινοῦ τῶν Ἑλλήνων ἡμῖν ἐποφλήσεται. Ἔῤῥωσο.

*Ἰωάννῃ.* (78.)

Οὔτ' οἴησίς τις, οὔτ' ἄλλως καταφρόνησίς ἐστι τὸ πραττόμενον· ἀλλ' ἐπειδὴ οἱ, πρὸς οὓς ἐπιστέλλομεν, διαφόρως πρὸς τὰ ἡμέτερα διατίθενται, διαφόρῳ, ὡς εἰκὸς, τῶν πρὸς ἑκατέρους γραμμάτων ἐχρησάμεθα χαρακτῆρι· ὅσοι μὲν γὰρ

τῶν ἐμῶν ἐπήκουσαν λόγων, καὶ ταῦτα πεποίηνται παιδικὰ, πρὸς τούτοις προσηκόντως τῇ ἀρχαίᾳ φωνῇ ἐχρησάμεθα γράψαντες· ἀμφοτέροις γὰρ ἡμῖν τοῦθ' ἡδὺ γίγνεται· τοῖς δὲ ναυτιῶσι πρὸς ταῦτα (οἶσθα γὰρ τὴν ἑτέραν μερίδα) χυδαϊστὶ ἐπιστέλλομεν, καὶ τοῦτ' ἐπειδάν τις χρεία καταναγκάζῃ. Οὔκουν οὔτε πρὸς ὑμᾶς ἐπαιρόμενοι, ὥς φασιν, Ἑλληνίζομεν, οὔτ' ἐκείνων καταφρονοῦντες κατὰ τὴν ὑπόνοιαν αὐτῶν, χυδαΐζομεν· ἀλλὰ τὰ προσήκονθ' ἑκατέροις ποιοῦντες· μάλιστα μετριάζομεν. Ἔῤῥωσο.

*Ἀγγελῇ.* (79.)

Τὸ ὄφλημα, σὺν χάριτι μὲν ἀπαιτούμενον, χάρις ἀποτιόμενον γίγνεται· διὰ δίκης δὲ, μῖσος τίκτει· ἄμεινον τοίνυν σοι εὐγνωμόνως χαρίσασθαι τῷ μετὰ χάριτός σε τρὶς ἀπαιτήσαντι, ἢ ἐκ δίκης μετὰ τοῦ ἀργυρίου καὶ τὴν χάριν προσαπολέσαι. Ἔῤῥωσο.

*Μανουήλῳ.* (80.)

Ὥσπερ τῶν χρωμάτων ἄλλοτ' ἄλλο θαυμάζουσιν οἱ τῷ καθ' ἑκάστην ἡδομένῳ τῆς ψυχῆς λίαν φιλοκάλως ἀεὶ χαριζόμενοι· οὕτω κἀπὶ τῶν πραγμάτων ταῖς καθ' ἡμέραν διαθέσεσιν, ὅπως ἔτυχε, δουλεύουσιν οἱ τῷ ὀρθῷ λόγῳ μὴ δυνάμενοι χρῆσθαι πρὸς τὰ πράγματα ἡγεμόνι· κρατεῖ γὰρ ἡ αἴσθησις παρ' αὐτοῖς, τὰ ἡδέα ἐν τῷ παραυτίκα πρὸ τῶν ἔπειτα συνοισόντων, καὶ ταῦτ' ἄλλοτ' ἄλλ' αὐτοῖς κατὰ τὸ δοκοῦν ἐπαγωγότερα παριστῶσα· ὅπερ καὶ τῆς σῆς δοκεῖ γεγεῦσθαι ψυχῆς· τί γὰρ γῆρας καὶ ἀναπαύσεις καὶ τοιούτους λήρους προσκαίρους ἡμῖν προτείνων, κωλύειν ἐπιχειρεῖς ἡμᾶς τῶν καλῶν, καὶ οὐκ ἐᾷς, ἣν τετάγμεθα, βαίνειν; τετάγμεθα δὲ, ἢ μᾶλλον εἰπεῖν προστετάγμεθα πολλαπλασιάζειν

ὃ εἰλήφαμεν δῶρον; πρὸς γὰρ ἐκεῖνον τὸν κανόνα ὁ λόγος ἄγων μικρὰ μὲν ἐνδίδωσι τοῖς ἀγῶσι, μεγάλα δὲ τὰ ἀπὸ τούτων ἐπαγγέλλεται ἆθλα· Ἔα τοίνυν ἡμᾶς ἐπισφραγίσαι τὸν βίον πονοῦντας ἀγαπητῶς, ὥσπερ ἐξ ἀρχῆς προειλόμεθα· ἄμεινον γὰρ, ὑπὲρ ἑαυτοῦ βουλεύεται ἕκαστος. Ἔῤῥωσο.

*Κωνσταντίνῳ.* (81.)

Πατρὶς μὲν πᾶσα καλόν τε καὶ περισπούδαστον τοῖς εὐγνωμόνως ἔχουσι πέφυκεν· ἡ δ' Ἑλλὰς πλείω τὸν πόθον, εἰκότως ἐνίησι τοῖς ἐν αὐτῇ τὸ φῶς πρῶτον ἑωρακόσι· καὶ τοῦτ' οὐχ ὅπως τῇ τοῦ κλίματος χάριτι καὶ τῇ τῶν ἀέρων κράσει καὶ συμμετρίᾳ· ἀλλ' ὅτι καὶ τὸν ἐξ ἀμνημονεύτων αἰώνων ζυγὸν ἀποσεισαμένη, ἀνεσώσατ' εὐστόχως τὴν ἀρχαίαν ἐλευθερίαν· ὃ γὰρ ἀφαιρεθὲν, ἀνύποιστον ἡμῖν ἐν μακροτάτῳ χρόνῳ τὴν ταλαιπωρίαν ἐποίει, τοῦτ' αἴφνης ἀναληφθὲν, ἀθρόαν τὴν εὐδαιμονίαν ἀντικαθίστησιν. Οὐκ ἀπεικὸς τοίνυν καί σε ποθεῖν τὰς Ἀθήνας· καὶ γὰρ καὶ αὐτὸς τοῦτο πάσχω, ὁ διὰ παντὸς μικροῦ δεῖν τοῦ βίου πλανώμενος ἐν ἀλλοδαπῇ, καὶ περιστερῶν ἤδη πτέρυγας ζητῶν κατὰ τὸν Προφήτην, ὅπως ἀναπτὰς, καταπαύσωμαι τοῦ λοιποῦ ἐν τοῖς κόλποις τοῖς ἐνεγκαμένης. Ἀλλ' οὖν οὐδ' οὕτω σε παραινέσαιμ' ἂν ἐπισπεῦσαι τὴν κάθοδον, αὐτόν τε αὐτόθεν ἀποροῦντα τῶν πρὸς τὸν βίον, κἀκεῖ τῶν πραγμάτων μήπω καθεστηκότων· ὁ γὰρ πόλεμος πολυετής τε καὶ λίαν γενόμενος χαλεπὸς, πολλὴν ἐπήνεγκε τοῖς ἐγχωρίοις τὴν ἀπορίαν. Δεῖ τοίνυν τοὺς μέλλοντας κατιέναι οὐχ ὅπως μὴ ἐλπίζειν εὐπορίαν τινὰ ἐκεῖθεν εὑρήσεσθαι, ἀλλὰ καὶ εἰσενεγκεῖν ἀξιοῦν τινα ἔρανον ἔξωθεν τοῖς τὰ ἑαυτῶν εἰς τὴν κοινὴν καταναλώσασι σωτηρίαν· ἀπὸ γὰρ τοιαύτης γνώμης κἀγὼ, καὶ εἴτις ἕτερος, ὥρμημαι προσιέναι τῇ φιλτάτῃ πατρίδι. Συμ-

φέρει σοι τοίνυν ἓν καὶ δύο ἔτη προσενδιατρίψαντα ὧδε, καὶ ἐφόδιον ὁσονοῦν ποιησάμενον, οὕτω καὶ τῶν πραγμάτων ἐκεῖ ἐπὶ τὸ μᾶλλον εὐθηνουμένων, μετὰ κρείττονος κατελθεῖν τῆς ἐλπίδος· βουλεύεσθαι μὲν γὰρ δεῖ βραδέως, ἐπιτελεῖν δὲ ταχέως· ἵνα μὴ ἐκεῖσε γενόμενος, ἐπιθυμήσῃς αὖθις τῆς ἀλλοτρίας μάζης. Ἔρρωσο.

*Δημητρίῳ.* (82.)

Οἶδα μὲν κἀγὼ τοὔθ' ὡς ἐπὶ παντὶ συμβολαίῳ συγγραφὰς τὸ ἔθος ἐδίδαξε γίγνεσθαι, ἵν' ἐν ταῖς δίκαις ἔπειθ' οἱ δικαζόμενοι ἔχωσιν ἀπαιτεῖν κατὰ νόμους, ἀλλ' οἶδ' ἔτι κἀκεῖνο ὅτι διὰ τοὺς φιλοδίκους καὶ πονηροὺς ὁ νομοθέτης τοιαύτην τῶν πολιτῶν πεποίηται πρόνοιαν· ἐπεὶ ἕνεκά γε τῶν χρηστῶν, καὶ μάλιστα διδασκόντων καὶ διδασκομένων οὐκ ἂν χειρογράφων ἐφρόντισεν ἀποδείξεων, τὸ συνειδὸς αὐτοῖς πάσης μαρτυρίας τιθέμενος βεβαιότερον. Τέως δ' οὖν κατά γε τὸν σὸν λόγον ἐμὸν πάντως γίγνεται τὸ ἁμάρτημα, ὅτι σε τῶν πρώτων τὸν τόπον ἐπέχοντα, ἔλαθον τοῖς δευτέροις τὸν τρόπον ἐγκαταμίξας, πίστιν παρασχὼν, οἷς ὑπέσχου, πάνυ ἀκαίρως παρακούσας τοῦ λέγοντος

» Μέμνασ' ἀπιστεῖν· ἄρθρα ταῦτα τᾶν φρενᾶν.

Ἀλλ' ἔχεις γε σὺ μὲν τἀλλότρια, ὡς φῄς, ἐκ τῶν γραμμάτων τοῦ νομοθέτου, ὡς ἀκόρεστον κεκτημένος τὸ φρόνημα· ἡμεῖς δὲ τὸν φυσικὸν μᾶλλον σεβοίμεθα νόμον, ὅν σε ἡ σύνοικος πονηρία ἀφεῖλε τὸ σύνολον. Ἔρρωσο.

*Ἰωάννῃ.* (83.)

Οὐκ ἄρ' ἄνευ λόγου καὶ δικαίας αἰτίας ἀκούω σε λέγειν, ὡς οὐ δικαίως ἀπαιτῶ σε, μηδὲν μαθόντα, τὰ δίδακτρα· πολ-

λὰ γὰρ ὑπ' ἐμοῦ διδαχθεὶς περί τε δικαιοσύνης καὶ εὐγνωμοσύνης, τοσοῦτον ἀπέχεις τοῦ κατέχειν τὶ τούτων, ὥστ' οὐδὲ πρὸς τὸν διδάξαντ' αὐτὸν τὰ καθήκοντα ταῦτα φυλάττειν προήρησαι· Ὡς οὖν μάτην ἀμφοτέροις, ἐμοὶ μὲν τοῦ διδάσκειν, σοὶ δὲ τοῦ ἀκούειν γεγενημένου, ἄτοπον ἀληθῶς προσαπαιτεῖν ἐπὶ τούτοις καὶ ἀμοιβήν· καὶ γὰρ οὐδὲ γεωργὸς ἐπιεικὴς ἀχαρίστῳ ποτὲ γηδίῳ σπουδαῖον σπέρμα καταβαλὼν, εὐλόγως ἂν αὐτῷ χαλεπήνειεν, ὅτι μηδένα καρπὸν ἐν ἀμητῷ συγκομίσεται. Ἔρρωσο.

*Χριστοδούλῳ.* (84.)

Οἶδα μὲν κἀγὼ τοῦθ', ὅσοι ἰσχυρότερον τῶν, οἷς ἐπιχειρεῖς ἡμᾶς κωλῦσαι ἰδεῖν τὴν πατρίδα, καὶ αὐτοῦ τοῦ φωτὸς, ὡς εἰπεῖν πολλῷ ἥδιον δοκεῖ σοι εἶναι, ὡς μόναις ἔτι ταῖς ἐλπίσι τὰ τῶν Ἑλλήνων πράγματα γελᾷ· τά τε γὰρ πολιτικὰ αὐτοῖς οὔπω ἐς τὸ βασιμώτατον ἀπότε τῶν συμμάχων καὶ τοῦ Σουλτάνου ἐπικεκύρωται, καὶ ὁ πόλεμος αὐτὸς, γενόμενος διαρκὴς, πολλὴν τὴν ἐρήμωσιν ἐπήνεγκεν ἔνδον· ἀλλ' οὐδ' οὕτως ἀπείρξειας ἂν ἡμᾶς τῆς πρὸς ἐκεῖνα ὁρμῆς· καὶ τοσούτῳ γε, ὅσῳ καὶ μᾶλλον τοῖς ὑμετέροις ἐνταῦθα ἀπαρεσκόμεθα, ὁρῶντες ἐλεεινῶς τὸν πολὺν ἄνθρωπον νόμῳ πρὸς τοὺς πλουσίους ἐλασσούμενον ἀναξίως· καὶ διὰ ταῦτα ἐξελεξάμην μετὰ τοῦ Προφήτου παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ μου μᾶλλον, ἢ κατοικεῖν ἐν σκηνώμασιν ἁμαρτωλῶν· ἁμαρτωλὸς γὰρ πᾶς ἔμοιγε, ᾧ τὸ μὲν ἄνισον φίλον, τὸ δὲ ἴσον πολέμιον. Ἔρρωσο.

*Γεωργίῳ.* (85.)

Εὐαγγέλιον τὸ πάντων τῶν εὐαγγελίων ἥδιστον ἥκω σοι ἐρῶν, ὦ Γεώργιε· ὃ γὰρ πάλαι περιεμένομεν σὺν πτοήσει περὶ

τῶν Ἑλλήνων ἀκούσας, τοῦτ᾽ ἤδη λόγος, εἰς πᾶσαν διαχυθεὶς τὴν πόλιν, ἐβεβαίωσε τήμερον, ἡδονῆς ἀμυθύτου τὰς ἁπάντων ἐμπλήσας καρδίας· γράμματα γὰρ, ὦ βέλτιστε, ἧκε χθὲς ἀπὸ Βυζαντίου, τὴν ὑπὸ τοῦ Σουλτάνου τῶν συνθηκῶν ἐπικύρωσιν ἐξαγγέλλοντα· καὶ ἤδη σοι μετὰ πόλεμον δεκαετῆ τῆς Ἑλλάδος ἡ ἐντὸς Ἀχελώου καὶ Σπερχειοῦ ἐλευθέρα τε καὶ αὐτόνομος· ὦ

Ἀκτῖς ἀελίου τὸ κάλ-
Λιστον ἑπταπύλῳ φανὲν
Θήβᾳ τῶν πρότερον φάος,
Ἐφάνθης ποτ᾽, ὦ χρυσέας
Ἡμέρας βλέφαρον χρυσαυγές.

Μέγα γὰρ τὸ εὐτύχημα, νόμον μετὰ τοσούτους αἰῶνας εὑρεῖν ἰσηγορίας διδάσκαλον, ἐλευθερίας παιδαγωγὸν, ἄριστον ἀρετῆς τροφέα, δικαιοσύνης πρύτανιν, σωφροσύνης κανόνα, ἰσότητος πλάστιγγα, θρησκείας μύστην, φιλοσοφίας ἐπίδειξιν, τὸ κάλλιον πρὸς εὐδαιμονίαν τῶν πόλεων σέμνωμα. Τί οὖν σοι δοκεῖ; καὶ τίποτ᾽ ἔγνως ποιεῖν; οὐκέτι γὰρ οἶμαι, ἐμφιλοχωρήσεις, ἔνθ᾽ ὡς μάλιστα κρατεῖ τὸ ἄνισον, οὕτως ὂν σκυθρωπὸν, τῷ τοὺς μὲν πόλλ᾽ ἔχοντας, λαμβάνειν· τοὺς δὲ μὴ ἔχοντας, καὶ ὃ ἂν αὐτοῖς μικρὸν προσῇ, καὶ τοῦτο φέροντας ἐκείνοις προσθεῖναι· οἱ γὰρ ἄνθρωπο ιὗτοι οὕτως, ὡς ἔοικεν, ἐξακούουσι τὸ, Παντὶ τῷ ἔχοντι δοθήσεται, καὶ πεπερισσευθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ· ὃ καὶ αὐτὸς πολλλάκις οὕτω πρὸς αὐτοὺς ὑποκοριζόμενος, παρεξηγησάμην, εἶποθ᾽ ἡμῖν παρενέπεσε λόγος περί τε εὐσεβείας καὶ δικαιοσύνης, ἵν᾽ ἔχοιμι οὕτω πως δεξιώτερον ἐκπαιδεῦσαι ἦθος ὅλως ἐκ παλαιῶν ἐτῶν ἀποσφακελίσαν, εἰρωνείᾳ, ὥσπερ μέλιτι τὰ δριμύτερα τῶν φαρμάκων, τὴν ἀλήθειαν δεύσας· καίτοι ὁ λόγος μὲν ἐκ φιλοσο-

φίας, οὐδ' ὅπως ἄν ποτε προσαχθῇ, οὐκ ἂν ἐκπαιδεύσειεν τοὺς ἐκ παλαιῶν αἰώνων κρατηθέντας τυραννικοῖς προνομίοις· βίᾳ δὲ μάλιστ', ἐκ δουλείας εἰς δουλείαν ἑτέραν, εὐτακτοτέραν μὲν ἴσως, βαρυθυμοτέραν δὲ ἐσομένην ποθ' ὕστερον, μεταγαγοῦσα, παύσει αὐτοὺς τοῦ πλεονεκτεῖν οὐχ ἑκόντας. Ἀλλ' οὗτοι μὲν χαιρέτωσαν· ἡμεῖς δ' ἄγομεν ἐντεῦθεν, προσιόντος ἤδη τοῦ μετοπώρου, μηδαμοῦ μεταστραφέντες πρὸς τὰ ὀπίσω, ἵνα μὴ χειμῶνος ἡμᾶς καταλαβόντος, μεταστοιχειωθείημεν εἰς στήλην ἁλὸς κατὰ τὴν ἐκ τοῦ Νόμου Νιόβην. Ἔῤῥωσο.

*Κωνσταντίνῳ.* (86.)

Ἡνίκ' ὁ θεὸς οὐρανοὺς μὲν ἄνωθεν, ὡσεὶ δέῤῥιν, ἐξέτεινε, γῆν δὲ κάτωθεν ἐπὶ τῶν ἀβύσσων κατὰ τὴν γραφὴν ἐστερέωσε, καὶ τὰ ἐν αὐτοῖς πάντα ἐδημιούργησε, ζῶα παντοδαπά, νηκτά τε, πτηνά τε, χερσαῖά τε, καὶ πᾶσαν τὴν ἄψυχον φύσιν, τότε πότερον οἴει τὸν τοιοῦτον καὶ τηλικοῦτον τῇ δυνάμει τε καὶ σοφίᾳ, τοῦ ὅλου, ἢ τῶν κατὰ μέρος ἐν τῇ δημιουργίᾳ πεποιῆσθαι πρόνοιαν πρὸς τὸ σώζεσθαι; ἐγὼ μὲν γὰρ τοῦ ὅλου ἂν εἴποιμι· τοῦτο γὰρ μόνον ταὐτὸν κατὰ τοὺς οὐσιοποιοὺς λόγους ἀεὶ ὁρῶμεν διασωζόμενον, τῶν καθ' ἕκαστα γενέσει καὶ φθορᾷ μεταβαλλομένων καὶ διαῤῥεόντων, καὶ πρὸς τὴν τοῦ ὅλου τῇ τοιαύτῃ ῥοῇ συντελούντων συντήρησιν. Τούτου οὖν οὕτως ἔχοντος, εἰ κἀπὶ τῶν ἐθνῶν τὸ αὐτὸ πολιτικώτερον θεωρήσαιμεν, εὑρήσομεν κἀν τούτοις τοῦτ' αὐτὸ συμφερώτερον· ἄμεινον γὰρ εὐθηνεῖσθαι τὸ ὅλον, κἂν πάθωσί τι τὰ καθ' ἕκαστα, ἢ σωζομένων τῶν ἐν μέρει, κακουχεῖν ὅλον ἔθνος. Τούτων τοίνυν οὕτως ἐχόντων, τίποτε στένεις αὐτός, ὦ θαυμάσιε, ἐφ' οἷς οἱ Ἕλληνες διὰ μεγίστων κινδύνων τὴν ἀρχαίαν ἀνεσώσαντο εὐνομίαν; ὅτι δὴ πεντήκονθ', ὡς

αὐτὸς καταριθμεῖς, μυριάδας ἀνθρώπων ἐν πολλαῖς ἀπώλεσαν περιστάσεσι; καὶ μὴν τοῦτ' αὐτοῖς τὴν ἀρετὴν ἐπιφανεστέραν παρὰ πᾶσιν ἐποίησε· δυοῖν γὰρ θάτερον γνόντες, ἢ καλῶς ζῆν, ἢ καλῶς ἀποθανεῖν, οἷοί τε ἐγένοντο κατορθώσασθαι, ἐν δέχ' ὅλοις ἔτεσι καρτερήσαντες, ὃ αὐτοῖς ἦν τὸ σπουδαζόμενον μάλιςα· τούτου δὲ προσγενομένου, μικρὸν ἡ ζημία, ἣν αὐτὸς, φιλανθρωπίαν πλαττόμενος, δοκεῖς ἀποδύρεσθαι· ἀρχαῖον γὰρ τῇ Ἑλλάδι πολλὰ ὑπὲρ ἑνὸς, τῆς ἐλευθερίας, σώματα ἀναλίσκειν, καὶ πάλιν γενομένης εἰρήνης, ἀποκαθίστασθαι, ἐκ τῆς ἐπιγενομένης νεότητος τὸ ἐκλιπὸν ἀνακτησαμένην· οὐ γὰρ εἰκῇ παρ' Ὁμήρῳ βωτιάνειρα ἤκουσε· καί τοι νῦν οὐ τοσοῦτοι ἐν ὅλῳ τῷ πολέμῳ τεθνήκασιν, ὅσοι ἐν ἴσῳ πρὸ τούτου χρόνῳ ὑπό τε λοιμοῦ καὶ τῆς ἄλλης τῶν τυράννων ὠμότητος, εἰρήνης οὔσης, ἀπώλοντο. Οὕτως οὖν χ' ὑμεῖς παρ' ἑαυτοῖς τὰ πράγματα κρίναντες, οὐ δὴ κατήγοροι ἡμῶν, ἐν οἷς μάλιστα καὶ τὸ χεῖρον καὶ τὸ βέλτιον ἐν ὑμῖν κινδυνεύεται, ἀλλὰ μιμηταὶ μᾶλλον γίγνεσθε, εἰδότες, ὡς οὔτε πλοῦτος, οὔτ' εὐγένεια, οὐκ ἀξιώματα, οὐ προνομεῖαι, οὐκ ἄλλο οὐδὲν ὑπὸ τοῦ Σολτάνου ὡς δούλοις ὑμῖν χορηγούμενον, ἀλλ' ἡ ἐλευθερία καὶ ἰσονομία τὴν εὐδαιμονίαν παρέχει· ἧς ἄνευ ὅπλων τυχεῖν οὐ πάνυ τι ῥᾴδιον. Ἔρρωσο.

## *Τῷ Καλλινίκῳ.* (87.)

Ἀκούω σοι τὸν ἀδελφὸν ἔναγχος ἀπὸ τῆς πατρίδος ἐλθεῖν, οὐχ ὃν, οἶμαι, ἐδίδασκες ἐν Στεφανουπόλει, τὸ χαρίεν ἐκεῖνο μειράκιον, ἀλλ' ἕτερον ἐκείνου πρεσβύτερον· δῆλον δὲ τοῦτο καὶ ἐξ ὧν αὐτὸς ἥδισθ', ὥς φασιν οἱ ἰδόντες, αὐτὸν ὑπεδέξω, τὸν ἐκ πολλοῦ πόθον, συχνοῖς σοφιζόμενος τοῖς φιλήμασι· γλυκερὸν γὰρ τὸ συγγενὲς, διὰ μακροῦ εἰς θέαν ἐρχόμενον. Τοῦτον οὖν ἄλλων τε πολλῶν κἀγαθῶν τῶν ἀπὸ τῆς Ἑλλά-

δος φασὶν ἄγγελόν σοι γενέσθαι, καὶ δὴ καὶ σὲ αὐτὸν καταγαγεῖν, οἴκαδ' ἐπανιόντα δι' ἐφέσεως ἔχειν· πρὸς ὅ τί καὶ ἀντειπεῖν δίκαιον ἀξιώσεις; ἱκανὰ γὰρ, τῆς φιλτάτης ἀλλοτριωθέντες πατρίδος, ἐσμὲν ἐν ἀλλοδαπῇ πεπονθότες. Παρασκεύασαι τοίνυν, ὦ ἄριστε, συναπᾶραι ἡμῖν ἐντεῦθεν· ἐγὼ γὰρ δυοῖν ἴσως (σὺν θεῷ εἰρήσθω) μηνῶν παρελθόντων, οὐκέτ' ὄψομαι Βουκουρέστιον, οὐδὲ τὴν ἐν αὐτῷ ἀκούσω ἔτι παρανομίαν, ὑφ' ἧς ὁσημέραι πληττόμενος ἐκκεκώφωμαι· τοσοῦτον ἀπέσχοντο τοῦ ἀπενέγκασθαί τι τῶν ἡμετέρων λόγων πρὸς τὴν τοῦ ἤθους βελτίωσιν, ὅσον Διονύσιος ἐν Σικελίᾳ τῆς τοῦ Πλάττωνος φιλοσοφίας ἀπώνατο. Ἀλλ' οὗτοι μὲν αὐτοὶ ἑαυτοῖς, ἐφ' οἷς πράττουσι, δίκην διδόντες, χαιρέτωσαν· ἡμῖν δ' ἑξῆς μελήσει τῶν ἡμετέρων. Ὦ Ἑλλὰς, ὦ φιλτάτη πατρὶς, εὐμενῶς τὰ σαυτῆς ὑποδέξαιο τέκνα, νῦν γοῦν τὴν ἀρχαίαν ἀνασωσαμένη ἐλευθερίαν· εἰ γὰρ καὶ διὰ μακροῦ τῶν σῶν ἀπεσχοινίσθησαν ὅρων, ἀλλ' οὐδέποτε τῶν φιλοστόργων σου ἐπελάθοντο κόλπων, οὐδὲ τὰ τροφεῖά σοι, τά γε δυνατὰ, ἠμέλησαν καὶ πόῤῥωθεν ἀποδοῦναι.

### *Τῷ Δημητρίῳ.* (88.)

Συχνὸς διεῤῥύη χρόνος, ἐξ ὅτου ἐπέσταλκά σοι εἰπεῖν τῷ Βοϊνεσκίδῃ ἀποτῖσαι, ἃ ὀφείλει μοι δίδακτρα· ἀλλ' ἔοικας ἢ ἀμελῆσαι ὅλως, ἢ ἄλλως ἀποκνῆσαι ἐκ δυσωπείας εἰπεῖν αὐτῷ τὰ ἐπεσταλμένα, ἀφοσιούμενος τῇ ἐκείνου ἐπιθέσθαι ἀγνωμοσύνῃ· ἵν' οὖν ἐκ προφάσεως ἔχῃς τοῦ πάθους κατακρατῆσαι τούτου, ἐπέθηκά σοι καὶ ἐπιστολὴν πρὸς αὐτὸν, τοῦτ' αὐτὸ τὸ ἐμαυτῷ ἀπαιτῶν ὀφειλόμενον. Ἀποδοὺς τοίνυν, χρήσῃ οὐχ' ἧττον καὶ λόγου παῤῥησίᾳ, τήν τ' ἐκείνου ἀβελτερίαν ἠθικώτερον πρὸς τὰ καθήκοντα ἐκπαιδεύων, καὶ τὴν ἐμὴν ἀποφαίνων χρείαν αὐτῷ συντονώτερον· περίεστι γὰρ

σοι καὶ λόγος ἱκανὸς, καὶ ἐμπειρία πραγμάτων ἀμφοτέρωθεν ἔκτε θεωρίας καὶ πράξεως. Ἔῤῥωσο.

Τῷ Κομμητᾷ. (89.)

Λόγος συχνὸς, οὐκ οἶδ' ὁπόθεν, διαπεφοίτηκεν ὡς ἡμᾶς, ὅτι χαλεπῶς φέρων τὴν ὑπὸ τῶν κακούργων τῶν χρημάτων ὑφαίρεσιν, περιέστης εἰς μελαγχολίαν δεινὴν, μήτε φίλων, μήτ' ἄλλο γέ τινος ἀνεχόμενος ὁμιλίαν, ἀλλὰ τοῖς ἐρημοτέροις μᾶλλον ἀρεσκόμενος χώροις, καὶ πικρότερον, ἢ κατὰ σεαυτὸν, διάγων βίον, ἀπρόσιτος ἀνθρώποις γέγονας, καὶ ὅλως ἀγέλαστος· καί τοι ἔγωγε τούτοις οὐκ ἂν πιστεύσαιμι, εἴτε τοῦ βούλεσθαι, εἴτε τῆς ἀληθείας ἀνατυπούσης τοῦτο· πῶς γὰρ ἂν ὁ ἐν ἁπάσαις διατριβαῖς γιγνόμενος ἥδιστος, καὶ τὸ ἀστεῖον πολλάκις εἰς βωμολοχίαν ἐκβιαζόμενος, ἐς τοσοῦτον περισταίη μελαγχολίας; ἀλλ' εἰ καὶ τὸ πάθος τὶ τῆς σῆς ψυχῆς κατεκράτησεν, οἷα φιλεῖ τὰ τοιαῦτα πολλάκις καὶ τῶν ἀηττήτων κρατεῖν, πάρεστιν ἰάσασθαι τοῦτο σοφωτάτῳ φαρμάκῳ, τῇ ἀχόλῳ νηπενθεῖτε, καὶ κακῶν ἁπάντων ἐπιλήθῳ φιλοσοφίᾳ· οὐ γὰρ μόνος σὺ, οὐδὲ πρῶτος αὐτὸς τοιαύτην ὑπέστης ζημίαν· ἐγὼ γὰρ αὐτὸς, καί τοι πλέον, ἢ σὺ, ὑπὸ τῶν πλεονεκτούντων ἠδικημένος, κατ' ἀρχὰς μὲν πέπονθά τι καὶ μικρόψυχον· εἶτα χαίρειν εἰπὼν τῇ λύπῃ, παρωσάμην τὸ πάθος λόγῳ, ἄλλοθέν ποθεν ἑτέραν ἀναμετρήσας ταῖς ἐλπίσιν ἀντίῤῥοπον εὐπορίαν. Ἔπειτα τὶ ἂν καὶ λυποίμεθα ἐπὶ χρήμασιν, οἱ ἐπὶ τὸ τέρμα μικροῦ δεῖν τοῦ βίου ἤδη γεγεννημένοι; πόσον ἔτι διαβιώσομεν χρόνον, οἱ μηδὲ πένθ' ὅλα ἔτη εἰκάζοντες ἕξειν βιώσιμα; ἐν οἷς, κἂν ἀργυρίου παντελῶς ἀπορήσωμεν, ἱκανοὶ ἔσονται βόσκειν ἡμᾶς οἱ ἡμέτεροι πόνοι· προσενεγκόντες γὰρ τὰ προσόνθ' ἡμῖν τῶν βιβλίων τῷ κοινῷ τῶν Ἑλλήνων, οὐκ ἂν ἀχάριστον αὐτοῖς

τὴν χάριν ταύτην, καὶ ταῦτ' ἐν καιρῷ τοιούτῳ, καταθησοίμεθα, μικρὰ μεγάλων ἀνταλλαττόμενοι· εἰδ' οὐ βούλει τοῦτ' αὐτὸς, ἀλλ' ἔκ γε τῆς ὠνῆς αὐτῶν περιέσται σοι τοσοῦτον, ὥστ' οὐ μόνον σεαυτὸν, ἀλλὰ καὶ ἑτέρους ἀπόρους τρέφειν, καὶ τὴν σὴν Ἐγκυκλοπαιδείαν, χρησιμωτάτην γ' οὖσαν, ἐκδοῦναι ἀπὸ τούτων τὸ δεύτερον. Ἀλλὰ περί γε τούτων, ἐπειδὰν σὺν θεῷ μετ' ἀλλήλων ἐν ταῖς κλειναῖς Ἀθήναις γενώμεθα, σκεψώμεθα ἄμεινον· νῦν δὲ καιρός σοι, καταλιπόντα τὴν τῶν Οὔγγρων μητρόπολιν, κατελθεῖν διὰ Τεργέστης εἰς τὴν εὐνομουμένην Ἑλλάδα, τὸ τιμαλφέστατον τῶν παιδαγωγικῶν σου βιβλίων ἀγώγιμον ἐν καιρῷ τοῖς πεινῶσι προσοίσοντα· διψᾷ γὰρ ἡ Ἑλλὰς τῶν τοιούτων, ἐκ πολλῶν ἤδη καὶ χαλεπῶν περισωθεῖσα κινδύνων· ἢ οὐκ ἀκήκοας, ὅπως ἡ νεολαία ἄβιβλος διὰ σπάνιν προσφοιτᾷ εἰς τὰ παιδευτήρια; Τούτοις οὖν πῶς οὐκ ἂν ὀρέξοιμεν ἔτι καὶ νῦν χεῖρ' ἀρωγὸν, ὅτῳ ἂν δυνώμεθα τρόπῳ, οἷς τοσούτους ἀπ' ἀρχῆς διὰ πολλῆς κακουχίας πόνους προανηλωκέναι καυχώμεθα; πῶς δὲ καὶ τὸν βίον οὐ τῇ αὐτῇ φιλοτιμίᾳ καὶ προθυμίᾳ ἐπισφραγίσοιμεν; εἰ δὲ μὴ, πάντων ἐσόμεθα ἀφρονέστατοι, εἴγε λήσομεν, ἡμᾶς τ' αὐτοὺς καὶ τοὺς πόνους ἐπὶ τῆς ἀλλοδαπῆς ἀκλεῶς καὶ ἀφρόνως προσαναλώσαντες. Ἔρρωσο.

*Τῷ Ἀγγελῇ.* (90.)

Τέταρτον τοῦτό σοι παρ' ἐμοῦ· παρὰ σοῦ δὲ πρὸς οὐδέν μοι τούτων ἀπήντηται· ἀλλ' οὐ καὶ τὰ τελευταῖα ταῦθ' ὁμοίως ἐλπίζω μάτην μοι ἔσεσθαι, εἰ μὴ παντάπασιν αὐτὸς σεαυτοῦ κατέγνως ἀναλγησίαν· ἢ γὰρ τὴν χεῖρα ὄψομαι, ἢ τῆς φωνῆς ἀκούσω, κἂν ἄλλως ἡ μὲν Ἠσαῦ, ἡ δὲ Ἰακὼβ ᾖ, καὶ οὐδέτερον ὀρθὸν ἐξ ἁπλότητος. Ἐπιφάνηθι τοίνυν, ὦ

ἄριστε, ἢ ὡς Ἠσαῦ, ἢ ὡς Ἰακὼβ, ὁπότερον βούλει· φάνηθι μόνον ἤτοι χειρὶ ἐκ δικαιοσύνης παρεχούσῃ, ἢ φωνῇ ἐξ ἀγνωμοσύνης ἀποφασκούσῃ, ἵνα καὶ ἡμεῖς ἄλλοθέν ποθεν πειρασώμεθα ὡς προσήκοντα τοῖς σοῖς τραύμασιν ἐπιπάσαι τὰ φάρμακα· νόμος γὰρ τῶν τοιούτων νοσημάτων ἄριστος ἰατρὸς ἔοικεν εἶναι, εἴγε οἷόν τε εἴη καὶ τοῦτον εὑρεῖν ἐν Δακίᾳ μετὰ τοῦ δικαίου δραστήριον. Ἔῤῥωσο.

### Τῷ Μανουήλῳ. (91.)

Ἔκαμον μὲν γράφων, ἔκαμον δὲ μᾶλλον καὶ λόγῳ τοὺς πλείους πείθων, τὰ ἐμαυτοῦ ἀπαιτῶν· ἀλλ᾽ οὔτε γραφῇ, οὔτε λόγῳ κατεπραξάμην τὶ τῶν πόνων ἀντάξιον· οὐδ᾽ ὅσον ἐφόδιον ἔχειν ἁδρότερον, καὶ ἀνδρὶ γέροντι πρὸς ἀποδημίαν μακρὰν ἐξικνούμενον· ἔπειτα σὺ καταξιοῖς ἔτι με παραμεῖναι, ἔνθ᾽ οὔτε συνειδὸς, οὔτε νόμος ἰσχύει, καὶ τὸ εὔγνωμον παντάπασι προσαπόλωλε· μή μοι γένοιτο τοῦθ᾽, ὥστε πατρίδος ἐπιλαθέσθαι· πρὸς γὰρ τοῖς ἄλλοις τοσούτοις οὖσιν, οἷς ἐγὼ ἀπαρέσκομαι, αἰσχυναίμην ἂν καὶ τὸν Ἰωσὴφ, οὗ τὰ ὀςᾶ μετεκόμισαν εἰς Γεσὲμ ἐξ ἐπιταγῆς οἱ προσήκοντες, μηδέν᾽ αὐτὸς ἔχων τὸν τοῦτό μοι εἰσέπειτα χαρισόμενον· καὶ οὐ φημι ταῦτ᾽, ἀπεικάζων τὴν Δακίαν Αἰγύπτῳ· πῶς γὰρ, ἣν εἱλόμην δευτέραν πατρίδα, τὴν ἐμαυτοῦ φυγὼν τότε, ὑπὸ Φαραὼ μαστιζομένην δεινῶς; ἀλλὰ νῦν γ᾽ ἡ ἐμὴ πολλῷ κρείττων, ὥσπερ τι νεόφυτον σπουδαίας τυχὸν φυτουργίας, πανταχόθεν νῦν ἀναθάλλουσα νόμοις ἰσηγορίας· οὐδὲ γὰρ ἐκ τοῦ εὐροεῖν ἡμᾶς μόνον καθ᾽ αὑτοὺς χρὴ τὰς ἡδονὰς προσκτᾶσθαι· ἀλλ᾽ ὁρῶντας μᾶλλον καὶ τὴν τῶν ὁμογενῶν εὐδαιμονίαν προβαίνουσαν, τὰς ἀληθεστέρας εὐφροσύνας πορίζεσθαι. Ἔα τοίνυν ἡμᾶς ἰδεῖν τὰς ποθουμένας

Ἀθήνας, ἔνθα τὴν γεροντικὴν ξυναυλίαν μετὰ τοῦ ἐμοῦ ἀγαθοῦ Ἰσραηλίτου (Γρηγόριον οἶσθα τὸν Κωνσταντᾶν ἀκούσας) ᾄσαντες καὶ προσᾴσαντες, τῷ αὐτῷ τάφῳ, ὡς ἡ ἐμὴ ἐλπὶς, ἄμφω συγκαλυψόμεθα. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (92.)

Πυθάνῃ ἴσως, τί ποθ᾽ οὕτω διατρίβω ἐνταῦθα ἔτι, ἄλλην ἐξ ἄλλης ἀεὶ ποιούμενος τῆς ἀναχωρήσεως προθεσμίαν· τί γὰρ καὶ πάθωμεν ἀγνώμοσι μαθηταῖς ἐντυχόντες τισί; εὑρόντες γάρ με, ὡς ἔοικεν, ὡς ἐν εὐθηνίᾳ τότε πραγμάτων, νεάζοντα μὲν καὶ πρόθυμον πάντας διδάσκειν, ἀβληχρὸν δὲ καὶ ψυχρὸν γερόντιον ἀκριβῶς ἀπαιτεῖν, καὶ τῇ εὐγνωμοσύνῃ αὐτῶν ἀπ᾽ ἀρχῆς συγκεχωρηκότα, ὁπότε βούλοιντο, τὴν ἀπότισιν, καταφρονοῦσι νῦν, ἀνάγκης μοι οὔσης ἀπᾶραι· καὶ ἐγένοντό μοι οἱ πλείους κακέμφατοι, μαθηταὶ καὶ ἀχάριστοι, φίλοι καὶ ἐπίβουλοι· ὥστε με θαυμάζειν, ὅπως ποτὲ μεταβαλόντες, ἐμοῦ περὶ εὐγνωμοσύνης ἀεὶ καὶ δικαιοσύνης διδάσκοντος, αὐτοὶ ἀπὸ τῶν ἐναντίων, ὡς ἄλλοι Κριτίαι, ἐπ᾽ ἐμὲ τὸν διδάξοντα ἦλθον, ἔνδειάν τε προβάλλοντες, καὶ ἄλλας τινὰς περιστάσεις· τὴν δὲ χρυσῆν ἐσθῆτα, καὶ τὰς ἄλλας ἡδονὰς, αἷς ἀεὶ ἐντρυφῶσι, παρασιωπῶντες· οὐκοῦν καλῶν τῶν διδασκαλίων παρ᾽ αὐτῶν ἐσμὲν ἀπολελαυκότες, ὄξος καὶ χολὴν ποτιζόμενοι· ἀλλ᾽ εἰ καὶ νῦν οὐκ ἠβουλήθησαν τὰ ἑαυτῶν συνιέναι καθήκοντα, ἔσται ὅτε ὄψονται, εἰς ὃν ἐξεκέντησαν, εἰ μὴ παντάπασιν αὐτοῖς ἀπεσβέσθη τὸ συνειδός. Ἔῤῥωσο.

*Κωνσταντίνῳ.* (93.)

Ἰωάννης ὁ Βοϊνεσκίδης μαθητεύσας παρ᾽ ἐμοὶ, ὁπότε κατεφύγομεν εἰς Στεφανούπολιν, οὔπω ἀπέτισεν ἡμῖν, ὅπερ ὤ-

φειλεν, ἐφ' οἷς ἐδιδάχθη· ὁ γὰρ πατὴρ αὐτοῦ τὴν ἀπορίαν καταμεμφόμενος ὡς ἐν τοιούτῳ καιρῷ, δέδωκέ μοι συγγραφὴν ὀφειλῆς, μέχρις ἂν ἐπανελθὼν οἴκαδε, ἀποδῷ μοι εὐγνωμόνως τὰ δίκαια· νῦν δ' ἀποθανόντος ἐκείνου, ἀναισχυντεῖ ὁ υἱὸς, ἄλλοις ἄλλοτ' εὐπρεπέσι σκηπτόμενος λόγοις, καὶ τὸ θαυμαστότερον, ὅτι ἃ πάλαι ποτ' ἤκουσε παρ' ἐμοῦ, ἀπεῤῥύησαν ἤδη, φησὶ, τῆς μνήμης αὐτοῦ. Ἐπειδὴ τοίνυν εἷς καὶ οὗτος τῶν ἐν τῷ ἐκτελεστικῷ βουλευτηρίῳ ὑπουργούντων ἐστί. τούτων δὲ ἄρχει πάντων ἡ σὴ μεγαλοπρέπεια, δυεῖν θάτερον ποιήσας, χαριῇ μοι τὰ μέγιστα· ἢ κελεύσεις αὐτὸν ἀποδοῦναί μοι τοὔφλημα· ἢ ἀποδοὺς αὐτὸς, ἀπὸ τοῦ ἐκείνῳ ὀφειλομένου μισθοῦ ὑφαιρήσεις τὸ ἴσον. Ἔῤῥωσο.

*Εὐφροσύνῳ.* (94.)

Οὐκ ἄρα παντελῶς οἱ ὄνειροι ἄσημοι καὶ ἀξυντελεῖς τοῖς ἀνθρώποις ἐπιφοιτῶσιν· ἀλλ' ἔστιν ὅτε καὶ ἀπ' αὐτῶν ἐς τὸν βίον πολὺ τὸ ὠφέλιμον ἔρχεται· ὃ γὰρ ἐν ἐκείνοις ἀτελές τι καὶ ἀξύμφυλον ἡ φαντασία ἔτεκεν ἀμβλωθρίδιον, τοῦθ' ὕπαρ ὁ λόγος λαβὼν, καὶ διασχηματίσας ἐς τὸ κατὰ φύσιν, τέκνον χαρίεν πολλάκις ἀπέδειξεν. Ἀλλὰ τί ποτέ μοι βούλεται ταῦτα; ἔδοξα γὰρ ἐν ὕπνοις περὶ τῶν νῦν παρ' ὑμῖν πραττομένων ἰσχυρῶς πρὸς σὲ διαφέρεσθαι· τίς δὲ ἡ διαφορὰ, καὶ ὅπως πρὸς ἀλλήλους ἡ μάχη ἐδόκει, εἴσῃ τὴν μακροσκελῆ μου ταύτην ἐπιστολὴν ἑξῆς ἀναγνούς· ὅτι μέν τι μὴ τοιοῦτος σὺ, οἷον ὁ λόγος δείκνυσι, τοῦτο μὴ λέγε· οἶδα γάρ σε κἀγὼ ὁμοφρονοῦντα τοῖς ὅλοις· ἀλλ' οἱ ἀρχιτέκτονες ὄνειροι οὕτως ᾠκονόμησαν διαιτήσασθαι ταῦτα, ὅπως σοῦ διελεγχομένου, ἑτέροις τισὶν ἴσως ὠφέλιμα γένηται· Εἴτι οὖν δοκεῖ σοι τὸ παιδίον καλὸν καὶ ἀστεῖον, ὥστ' ἔχειν τι καὶ θέλγητρον ἄξιον,

πρόσαγε αὐτὸ, οἷς οἱ τῶν καλῶν ἐμφύονται ἔρωτες, κἂν ἄλλως ἀπό γε τῆς ὄψεως δοκῇ πως στυγνὸν καὶ δυσάγωγον. Ἔῤῥωσο.

*Τῷ αὐτῷ.* (95.)

Ὡς πολὺς ἡμῖν ἐῤῥύης χαίρων, ὦ Εὐφρόσυνε, πρῴην, ὅσον ἀπόγε τῶν λόγων ἦν εἰκάσαι, καὶ οὐκέθ' οἷός τ' ἐδόκεις εἶναι ὑφ' ἡδονῆς κρατεῖν σεαυτοῦ, ἐφ' οἷς καὶ παρ' ὑμῖν ἐς τὸ εὐνομώτερον, ὥς φατε, τὰ πράγμαθ' ὁμοίως τοῖς παρὰ τοῖς Ἕλλησι μετεῤῥύθμισται· καὶ τοῦτο μὲν εἰκότως· ὥσπερ γὰρ ἰδιώταις πρὸς ἀλλήλους ἐπιδείξεως ἐφ' ὁτῳοῦν ἐμπίπτει ζῆλος· οὕτω καὶ ὅλα ἔθνη, τὶς τίνα ὑπερβάλῃ εὐνομίᾳ, πολλάκις τὸ φιλότιμον ἐκκαίει· δεῖ μέν τοι γ' ἐφ' ἁπάντων τῶν ὁμογενῶν ἀπὸ τοῦ ἴσου σκοπεῖν τὸ ἐκ τῆς ἁμίλλης ἐπιγιγνόμενον ὄφελος· τηνικαῦτα γὰρ πολλοῦ γ' ἂν ἄξια ταῦτα εἴη, οὕτω γιγνόμενα· εἰδέ τις τὴν τῶν ὀλίγων εὐδαιμονίαν ἐν τῇ τῶν πλειόνων κακοδαιμονίᾳ ποιεῖται ὑπόθεσιν τῆς καυχήσεως, ὃ καὶ παρ' ὑμῖν ἐξ αὐτῶν τῶν πραγμάτων ὁρῶμεν γιγνόμενον, οὐχ' ὅπως πρὸς τὰ τῶν Ἑλλήνων πολὺ τὸ ἀνόμοιον τὰ ὑμέτερα ἔχουσιν, ἀλλ' οὐδ' ἄλλως ὁπωσδήποτε ἀνεπίληπτα γίγνεται· τί γὰρ, ὦ θαυμάσιε, ὑμῖν πρὸς ἐκείνους ὅμοιον, ἢ παράμιλλον, παρ' οἷς ὑπόθεσις τῶν νόμων καὶ κεφάλαιον τῆς εὐδαιμονίας πρῶτόν τε καὶ ὕστατον τὸ ἰσόνομον, ἐξ οὗ, ὡς ἀπὸ ῥίζης μιᾶς, ἐλπὶς ἀναβλαστήσειν ἐν βραχεῖ χρόνῳ πολιτικῆς καὶ ἠθικῆς ἀρετῆς βλαστήματα ἀγλαόμορφα; ποῖόν σε ψεῦδος φύγεν ἕρκος ὀδόντων, οὕτως ἀβασανίστως ὑπὸ τῆς τῶν πραγμάτων σκιᾶς πρὸς παραλογίαν παρασεσυρμένον; προνόμια γὰρ ὑμεῖς θαυμάζετε, ὦ θαυμάσιοι, ἀδείας τε καὶ ἀτελείας τοῖς πλουσίοις εἰσάγοντες· ἃ ἐκεῖνοι ὀρθῶς καὶ δικαίως καθάπαξ κατήργησαν, σῆτας ἡγούμενοι ταῦτα εἶναι, καὶ θρίπας ὅλως ὀλεθρίους

τῷ ὅλῳ γένει, νῦν μὲν ἐκ τοῦ φανεροῦ ταῖς τῶν πολλῶν τρεφομένους σαρξὶ, μικρὸν δ' ὕστερον, ἕρποντας κατὰ μικρὸν ἐς τὸ πρόσω, καταδυσομένους μέχρι τῶν ὀστῶν· ἢ τί ἄλλο ποτὲ ἡγητέον τὰ λεγόμενα Φέουδα, ἢ τὸ μὲν βάρβαρον ἔθος ἄνωθεν ἐκ σκοτεινοτάτων αἰώνων, ὡς ἀπὸ τῶν κευθμώνων τοῦ ᾅδου ἐξήμεσεν· ὑστέρῳ δὲ χρόνῳ ἐκ πολλῶν ἀγώνων ἐξήλειψεν ἀπό γε τῆς εὐνομουμένης Εὐρώπης ἐν μέρει ὁ φιλανθρωπότατος τῆς φιλοσοφίας βραχίων.

Νῦν δὲ κἀκεῖνο, εἰ βούλει, σκεψώμεθα, τίνες οὗτοι οἱ παρ' ὑμῖν θαυμαστοὶ νομοθέται, καὶ ὑπὸ τίνων ᾑρημένοι, τοὺς θαυμαστοὺς ὑμῖν νέους ἔθηκαν νόμους, καὶ τίνες οἱ θέμενοι; πότερον, γνώμῃ παντὸς τοῦ ἔθνους οἱ σοφώτεροι καὶ φιλανθρωπότεροι, ἢ ἰδιόῤῥυθμοί τινες, καὶ αὐτοχειροτόνητοι, ὑπό τινων ἁπλῶς αὐτοσχεδιασθέντες ὁμοίων; οἷον οἱ μάλιστ' εἰδότες λόγοις εὐπρεπεστέροις μάλιστα συγκαλύπτειν τὴν βίαν τὴν ὑπὸ τῶν ἀεὶ πλέον ἔχειν τῶν πολλῶν ἐν ταῖς πολιτείαις ἐπιθυμούντων; τοῦτό γε δήπου· διὸ καὶ ὥσπερ κῆραν ἀποφεύγετε τὸ ἐξ ἴσου τοὺς πάντας τῶν πάντων ἐν τῇ πολιτείᾳ μετέχειν, τοῖς μὲν γεωργοῖς ὑμῶν καὶ αὐτουργοῖς ἀμφοτέραις ταῖς χερσὶν ἐπιτιθέντες δυσβάστακτα βάρη, αὐτοὶ δ' οὐδ' ἄκρῳ δακτύλῳ κατὰ τὸν τοῦ Σωτῆρος λόγον ἁπτόμενοι, οὔτε θεὸν φοβούμενοι δικαστὴν, οὔτ' οἴκοθεν ὑποκεντοῦσαν τὴν συνείδησιν ἔχοντες· ἦν μὲν γὰρ ὅτ' ἐξῆν τοῖς ταλαιπώροις γεωργοῖς ἐκ τῶν ἀρχαίων νόμων, τὴν ἀπὸ τῆς γεωργίας δεκάτην ἀποδιδόντας, καὶ τρεῖς μόνας ἡμέρας τὸ πρῶτον, εἶθ' ἓξ τοῖς τὴν χώραν κεκτημένοις ἐργαζομένους, τὸ λοιπὸν ἐλευθέρους εἶναι, τὰ ἑαυτῶν ἐπ' ἀδείας ἑκάστους πράττοντας· νῦν δὲ, φιλοσοφίας διαλαμπούσης, καὶ τοῦ σκότους διασκεδασθέντος, ὑμεῖς ὡσπερεὶ περιλαμπόμενοι πρὸς τὸ φῶς καθάπερ φασὶ τὰς γλαῦκας, ἔτι τἀρχαῖα διώ-

κατ' ἐκεῖνα τὰ ζοφώδη καὶ τυραννικὰ, ἀμεταστραπτεὶ, ὡσπερεὶ θεήλατοί τινες, κατὰ σκότον ἠλάσκοντες· καὶ τοῦτο δὴ τὸ τῆς παροιμίας, ἄνω ποταμῶν χωροῦσι παγαί· πρῶτον μὲν γὰρ ἡγεμονεύοντος Καρατζᾶ, τῆς τοῦ τυράννου τούτου ἐπειλημμένοι ὠμότητος, πρὸς ταῖς ἐξ ἐκείναις τῆς δουλείας ἡμέραις, ἔτι τοσαύτας συγκλείσαντες νόμῳ, ἐποιήσατε δυωκαίδεκα· νῦν δ' ὡσπερεὶ ἐπίδειξιν τῆς κακίας ποιούμενοι, ἐπεθήκατε αὐτοῖς καὶ ἑτέρας τοσαύτας, οἷα δὴ πρέπει τοῖς ἐπὶ τὸ βέλτιον μεταῤῥυθμίζουσι τὰ κοινά· οὐ γάρ; καὶ τοῦτ' οὐχ ἁπλῶς, οἷον μόνον αὐτοὺς δουλεύειν τοῖς σώμασιν, ἀλλὰ καὶ τοῖς κτήνεσιν ἑαυτῶν, οἷς ἂν ὑπάρχῃ μέχρι τῶν ἑπτὰ, τελείαν δηλονότι αὐτοῖς τὴν δουλείαν ἐπενεγκόντες· καὶ οὐδὲ τοῦτο ἔθ' ἱκανόν· δεῖ γὰρ ἐκείνους, ὅσοις πλείω τῶν ὀκτὼ κτήνη τρέφοιτο, καὶ ἕτερον κατὰ κεφαλὴν τῷ τὸν ἀγρὸν κεκτημένῳ ἐκ συνθήκης ἑτέρας τελεῖν ἐπιβόσκημα· ἡ δὲ συνθήκη τίς καὶ ποία; ἥτις ἂν δόξῃ τῷ χαλεπῷ ἐκείνῳ καὶ βιαίῳ δεσπότῃ· τί γὰρ ἂν καὶ πάθοι ὁ ταλαίπωρος χωρικὸς, οἷον ἁλύσει κατεχόμενος τῷ κελεύοντι νόμῳ, μηδένα ἐξεῖναι ἀφ' ἑτέρου εἰς ἕτερον ἀγρὸν μεταβαίνειν, τὴν ἀναγκαίαν τροφὴν εὐωνότερον πορισόμενον;

Εἶθ' ὁ σεμνὸς ὑμῖν πρὸς ταῦτα λόγος, ὃν προβάλλεσθε εὐπρεπέστερον, ἐφ' ᾧ τίς ἂν ἀκούσας, οὐκ ἂν ἀποπνιγοῖτο εἰκότως τῷ γέλωτι; φατὲ γὰρ εἴτις ἀπαρέσκοιτο τοῖς νενομοθετημένοις ὑφ' ἡμῶν, ἀπαλλαττέσθω τῶν ἡμετέρων ἀγρῶν, ὅποι βούλοιτο· ἀλλὰ ποῦ βουλήσεται, ὦ γενναῖε, ὁ τὴν βούλησιν ἄρδην ἀφῃρημένος ἐκεῖνος; καὶ ποῦ ἀπαλλαγήσεται, ὁ ἐκ τοῦ νόμου τῆς ἀνομίας κωλυόμενος ἀπ' ἀγροῦ εἰς ἀγρὸν μεταστῆναι; μῶν ἔξω φὴς τὸν τῆς Δακίας ὅρων, ὥσπερ εἰ λύκους, ἀλλ' οὐχὶ ὁμογενεῖς ἐδιώκετε τοὺς ταῦτα παρά τε τῆς φύσεως καὶ τῆς σώφρονος πολιτικῆς δικαιώμα-

τα ἔχοντας; καί τοι καὶ τοῦτ' εἰ δοῖμεν, πότεροι αὖ δικαιότεροι ἔσονται τοῦτο παθεῖν; καὶ γὰρ καὶ τοῦτ' οὐ σμικρὸν πρὸς τἀληθὲς ἐξετάσαι· πότεροι γὰρ παρ' ὑμῖν συνιστῶσι τὸ ἔθνος, οἱ ἐκ βίας καὶ τυραννικῆς ὠμότητος κατασχόντες τὴν χώραν ἐξ ἀρχῆς πεντακόσιοι πλούσιοι, ἢ οἱ πᾶσαν τὴν γῆν ἄνωθεν γεωργοῦντές τε καὶ φυτουργοῦντες ἑκατοντακισμύριοι μάλιστα χωρικοὶ, οἵτινες καὶ τὸ ἐκ τῆς γεωργίας ἱκνούμενον κατὰ νόμον τοῖς κτηματικοῖς ἀποδιδόασι, καὶ δι' ὅλου τοῦ ἔτους ἀφορήτοις ἀγγαρίαις πονοῦσιν, ἄνω καὶ κάτω ἐκ συνεχείας κοπτόμενοι, καὶ τὰς ἄλλας εἰσφορὰς, ἐξ ὧν τὰ πράγματα κυβερνώμενα διασώζεται, προθύμως εἰσφέρουσι; πότεροι, φημὶ, τούτων ποιοῦσι τὸ ἔθνος; οἱ ὀλίγοι ἐκεῖνοι, ἢ τὸ πᾶν πλῆθος; ἐμοὶ μὲν τὸ πλῆθος δοκεῖ· συνδόξεις δ' ἂν καὶ σοὶ, εἰ μή σε παντάπασιν ἐγκατέλιπεν ἡ συνείδησις. Οὐκοῦν συμφαίης μοι ἂν κἀκεῖνο, ὡς πλείων καὶ δικαιότερος λόγος ἐστὶ τοῖς πολλοῖς τοὺς ὀλίγους, ἢ τοῖς ὀλίγοις φυγαδεῦσαι τοὺς πλείους· τοῖς μὲν γὰρ ἔξεσται σώζειν τὸ ἔθνος, ἑτέρους ἀφ' ἑαυτῶν νομιμωτέρους ἄρχοντας ᾑρημένοις, τήν τε γῆν ἐξ ὑπαρχῆς, ὥσπερ ἐστὶ δίκαιον, δασαμένοις, καὶ τὰ πράγματ' ἐκ τούτων ἐπὶ τὸ εὐδαιμονέστερον κοινῇ μεταστήσασι· τοῖς δὲ δεσπόταις ἡμῖν οὐδεμίαν ἡμέραν ὑπάρξαι ἐκείνων ἀπαλλαγέντων· ἐῶ δὲ λέγειν καὶ τὰ κτήματ' αὐτὰ οὐ τῶν κεκτημένων μᾶλλον, ἢ τῶν μὴ ἐχόντων κατὰ τὸν τοῦ δικαίου λόγου ἐστί· τούτων γὰρ ταῖς εἰσφοραῖς καὶ κινδύνοις ἐν πολλαῖς διασώζεται περιστάσεσιν· οἱ δὲ κεκτημένοι ἐπικαρποῦσθαι μὲν ταῦτα δεινότατοι, πονεῖν δὲ, ἢ κινδυνεύειν, ἢ γοῦν συνεισφέρειν ὁτιοῦν ὑπὲρ αὐτῶν οὐδ' ὀβολὸν ἀξιοῦσιν· ἀλλ' ἅμα κινδύνου ποθὲν ἐπιόντος αἰσθόμενοι, καταλιπόντες τοῖς χωρικοῖς τὰ δεινὰ, χαλαρωτάτῳ ῥυτῆρι ὑπερβάλλουσι τὰ Καρπάθια πρὸς ἀσφάλειαν. Πῶς οὖν οὐκ ἂν δικαίως κρα-

σήκει ταῦτα μᾶλλον τοῖς ὑπὲρ αὐτῶν καὶ χρήματα ἀναλίσκουσι, καὶ τοῖς σώμασι κινδυνεύουσιν.

Ἀλλὰ νόμος, φησὶ, καλῶς ἔχων, ἐστὶ διδούς μοι δικαίωμα, ὡς εὐγενεῖ, ἀεί ποτε μὲν λαμβάνειν, μηδέποτε δὲ διδόναι. Καὶ πῶς ἂν εἴη νόμον τοῦτον καλεῖν τὸν τὴν τῆς πολιτικῆς στάθμης πλάστιγκα οὕτω παρέλκοντα ἑτερόζυγον, ἐν ᾧ τοῖς μὲν πολλὰ κεκτημένοις ἀεί ἐστι προσλαμβάνειν, τοῖς δὲ καὶ αὐτῶν στερουμένοις τῶν καθ' ἡμέραν, καὶ ὃ πρόσεστιν ἔτ' αὐτοῖς ἐκ πολλῆς τῆς γλισχρότητος, καὶ τοῦτο διδόναι, τοῖς τε κτηματικοῖς τὰ ἐκ τῆς γεωργίας κατὰ τὸν νόμον πάντα πληροῦντας, καὶ τὰς εἰσφορὰς, ἐξ ὧν τὰ κοινὰ διοικεῖται, μονομερῶς ἀπὸ τῶν ἰδίων ἱδρώτων τελοῦντας; τίς νόμος ἔσθ' οὗτος, καὶ ποῖος ὁ δίχα διϊστῶν τὰ μέλη εἰς ἀδικουμένους καὶ ἀδικοῦντας, εἰς τυραννουμένους καὶ τυραννοῦντας· καὶ τοὺς μὲν, πλουσιωτάτους, τοὺς δὲ ποιῶν ἐκ τῆς ἀνισότητος πενεστάτους, καὶ τὸ ἓν καὶ συμφυὲς σῶμα εἰς δύο τὰ ἐναντιώτατα ἐκ πλεονεξίας καὶ μειονεξίας διχοτομῶν; ἀφελὼν γὰρ ἀμαθῶς τὸ ἴσον, ᾧ τὰ ἄκρα συνέχονται μάλιστα ὡς συνδέσμῳ, διέστησεν ἀπ' ἀλλήλων τὰ μέλη εἰς ὕψος καὶ βάθος, οἷόν τι μεταίχμιον πρὸς μάχην καταλιπὼν μεταξύ· καί τοι ἴσμεν ἅπαντες τοῦτ' αὐτὸ, ὡς νόμος ἐστὶ γνώμη κοινὴ καὶ σύνθημα πόλεως, ἢ ἔθνους ὅλου συνελθόντος καὶ ὁμολογήσαντος, ἅ,τε δεῖ ποιεῖν, καὶ ἃ μή· ὁπότε δὲ τύραννός τις κατὰ βούλησιν γράψειεν, ἢ ὀλίγοι τινὲς, μὴ πείσαντες τοὺς πολλοὺς, ἀλλ' ἀναγκάσαντες ποιεῖν, ἃ ἂν βούλωνται, τοῦτ' οὐκέτι νόμος, ἀλλὰ βία καὶ ἀνομία ἐστί τε καὶ λέγεται· διὸ τηνικαῦτα εἰς ὀλίγον μὲν ἀντέχει τὰ πράγματα· ἔπειτα δὲ διϊστάμενα, καὶ οἱονεὶ ἐξαρθρούμενα ἀπ' ἀλλήλων, αὐτὰ περὶ ἑαυτὰ καταρρεῖ· τὰ γὰρ κοινὰ ἐκ τοῦ ταὐτὰ τοῖς πᾶσι

συμφέρειν κυβερνώμενα διασώζεται· ἄλλως δ' οἰχήσεται διασπώμενα ἀπ' ἀλλήλων.

Ἀλλ' ἀφαιρεθέντων μὲν τῶν Σουκοτελνίκων ἀπὸ τῶν Βοϊάρων (φασὶ γάρ τινες ὑμῶν καὶ τοῦτο) προστεθέντων δὲ τοῖς ὑποτελέσιν, ἔλαττον αὐτοῖς τοῦ φόρου ἐκ τούτου ἔσται· τοῦτο μὲν οὖν οὕτως ἁπλῶς ἀκοῦσαι ἔστι λόγον ἔχον τινά· εἰδέ τις ἀκριβῶς αὐτὸ ἐξετάσειε, πολλὴν φανήσεται συγκαλύπτον τὴν τῆς σκευωρίας διπλόην· διχόθεν γὰρ ἐντεῦθεν ἡ λύμη εἰσέρπει τοῖς πράγμασιν· ὅ,τε γὰρ ἀπὸ τῆς τοῦ κατὰ κεφαλὴν ἀφαιρέσεως ἀνακούφισις τοῖς γεωργοῖς δοκεῖ ἔσεσθαι, τοῦτ' ἐκ τῆς προσθήκης τῶν τῆς ἐργασίας ἡμερῶν βαρύτερον αὐτοῖς ἐπικάθηται· καὶ ὃ πρότερον ἐκ τῆς δοκούσης βαρυτέρας συντελείας τῶν πενήτων τῷ κοινῷ θησαυρῷ προσεγίγνετο, τοῦτ' ἤδη ἀφαιρεθὲν ἐκεῖθεν, εἰς μόνους τοὺς κτηματικοὺς ἐπενθήκη πρὸς πλεονεξίαν, ὡς ἐκ νέου δικαιώματος τῶν ἀγρῶν, μετενήνεκται· ὥστε τοῖς τε τὸν φόρον φέρουσιν οὐδὲν πλέον ἐκ τῆς νέας διατάξεως εἰς ἄνεσιν ἔσται, καὶ τῷ κοινῷ ἡ ζημία ἐπίσημος· τὸ γὰρ ἐξ ἀφαιρέσεως τῆς εἰσφορᾶς δοκοῦν τοῖς πένησιν ἄφεσις εἶναι, τοῦτο τοῖς τοὺς ἀγροὺς κεκτημένοις πρόσοδος ἐκ τῆς τῶν ἡμερῶν τῆς ἐργασίας προσθέσεως γίγνεται· καὶ οὕτως ἡ θαυμαστὴ ὑμῶν μεταῤῥύθμισις, ἐφ' ᾗ μέγα φρονεῖτε, οὐχ ὑπὲρ τῆς τῶν κοινῶν γέγονε βελτιώσεως, ἀλλὰ τοῖς πλουσίοις ἑτεραλκῶς ἐπαύξει τὴν πλεονεξίαν· οἱ γὰρ ἄρχοντες οὗτοι τῆς ἀδικίας (δὸς γὰρ μετὰ παῤῥησίας εἰπεῖν τἀληθὲς) τῇ τῶν Σουκοτελνίκων ἀφαιρέσει σκηπτόμενοι, πολλαπλάσιον ἑαυτοῖς τὸν ἀπὸ τῶν κτημάτων ἐπέτειον ἐπικαρπίαν ἐπὶ κακώσει τῶν κοινῶν μεμηχάνηνται· εἶτα προφασίζονται εὐπρεπῶς, ὅτι καὶ παρ' ἄλλοις τισὶν, οὐκ οἶδ' ὅπῃ κατὰ τὴν Οὐγγαρίαν ἔτι καὶ νῦν τοῦθ' ὁρῶσιν οὕτω γιγνόμενον· οὕτω φίλον τοῖς πονηροῖς, ἵνα τοῖς

τῶν ἄλλων ἀτοπήμασι τὴν ἰδίαν συγκαλύψωσι πλεονεξίαν, τοιαύτας εὐπρεπείας εὑρίσκειν λόγων· ἔδει γὰρ αὐτοὺς, εἴπερ ἐβούλοντο μετὰ τοῦ δικαίου τὴν ἀπολογίαν ποιεῖσθαι, οὐκ ἐκ τοῦ χείρονος μάλιστα, ὥσπερ ἐστὶ δίκαιον, τὰς ἐπιδόσεις τῶν ἐθνῶν πρὸς τὸ βέλτιον ἐξετάζειν· εἰ γὰρ οἱ Γάλλοι ὅμοιοι τούτοις ἦσαν τοῖς τρόποις, οὐκ ἂν ἦσαν νῦν οὕτω διαφέροντες καὶ τῇ δόξῃ· νῦν δ᾽ ἐκεῖνοι τὰς τῶν ὀλεθρίων Φεούδων ἁλύσεις ἐκ πολλῶν ἀγώνων ἀποσεισάμενοι, τὸ πρῶτον ἔθνος ἐν τῇ Εὐρώπῃ εἶναι κεκλήρωνται.

Ἀλλὰ τὰ ἐξ ἀρχαίων χρόνων προνόμια, φατὲ ὑμεῖς, πῶς ἂν ἀποθοίμεθ᾽ ἀνεπιλήπτως τοῖς ἑαυτῶν κληρονόμοις; Ποίων ἀρχαίων χρόνων, ὦ ἀρχαιότατε σὺ, ποῖα προνόμια; τῶν βαρβαρικῶν δήπου φὴς καὶ τυραννικῶν· καὶ μὴν κατά γε τὸν λόγον τοῦτον, εἰ τἄρχαῖ᾽ ἁπλῶς φυλακτέα, κακῶς πεποιηκότες ὑμεῖς, ἀπεσείσασθε τὴν τῆς εἰδωλολατρίας πλάνην ποτέ· καὶ νῦν κωλυέσθω τὸ Εὐαγγέλιον μηκέτι κυρύττειν τοῖς ἔθνεσι, μήτε τἄλλα παρ᾽ αὐτοῖς τι κινεῖν· κἀκείνοις γὰρ ἄλλ᾽ ἄλλοις, ὡς ἔτυχε παρ᾽ ἑκάςοις, τὰ πάτρια ἀρχαῖά ἐςι καὶ σεμνά· παυέσθω καὶ ἡ φιλοσοφία ὑπανοίγουσα φιλανθρώπως τοὺς ἑαυτῆς κόλπους τοῖς καταχρατουμένοις καὶ πάσχουσι· καὶ τὸν ἐκ τῆς ἀγρίας πολιτικῆς τὸν ῥύπον αὐτοῖς ἀποσμήχουσα· τὰ δὲ ἀρχαῖα παρ᾽ ἑκάστοις ὁποῖα ἂν ᾖ, παρὰ πᾶσι κρατείτω, καὶ μηδὲν ἰσχυέτω ἐκ βελτιώσεως εἰς βελτίωσιν βαθμηδὸν ἀνιέναι· εἰ δὲ ταῦτά γε καὶ ἐνδυασθῆναι αἰσχρὸν, καὶ ταῦτα νῦν, ὁπότε τῶν ἀρχαίων, ὥσπερ σκιᾶ, παρελθόντων, βασιλεύει φιλοσοφία, ᾗ τὰ πάντα κεκαινοτόμηται πρὸς τὸ δικαιότερόν τε καὶ νομιμώτερον, κρατυνόμενα νόμοις, τί δεῖ ἐκεῖνα προβαλλομένους ἀναισχυντεῖν, ἀλλ᾽ οὐχὶ μᾶλλον μεταμαθόντας ταῦτα, γενέσθαι τοῦ κρείττονος, ἐς τὸ νῦν ἦθος τῶν εὐνομουμένων πολιτειῶν ἑκόντας μεθαρμοσθέντας; καὶ τῶν δεινῶν

ἐκείνων, ὥσπερ ψώρας, ἀπαλλαγέντας προλήψεων, ἀγαθὴν ἡγεμόνα τοῦ βίου τὴν φωταγωγὸν θέσθαι φιλοσοφίαν; ἔςαι δ' ὑμῖν τοῦτ' οὐκ ἂν ἄλλως, ἢ εἰ πρὸ πάντων εἰσαγάγοισθε νόμῳ τὴν ἰσονομίαν, τοῦτο δ' ἐστὶ τὸ τοὺς πάντας ἐν πᾶσι τῶν αὐτῶν δικαίων ἐξεῖναι ἀπὸ τοῦ ἴσου τυγχάνειν· τούτου δὲ γενομένου, ἁμιλλᾶσθε τηνικαῦτα τοῖς ἄλλοις πρὸς τὰ εὐνομούμενα ἔθνη· ἐκείνου δὲ μὴ προκατατεθέντος, ὥσπερ λίθος ἀκρογωνιαῖος, ἐν τῇ τῆς πολιτείας οἰκίᾳ, πᾶν τὸ οἰκοδόμημα, σαθρὸν τὰ κάτωθεν ὄν, ἐν παντὶ ἀνέμῳ ἐπαπειλήσει ἐπιπεσεῖσθαι ὑμῖν σὺν ὀλέθρῳ· καὶ τότ' οὐκέθ' ὑμῖν καιρὸς περὶ εὐνομίας διαφιλονεικεῖν πρὸς τοὺς Ἕλληνας, ἀλλ' ἀγὼν μέγας πρὸς τοὺς ὑφ' ὑμῶν πιεζομένους περὶ σωτηρίας διαπληκτίζεσθαι· τὸ γὰρ ἀδικούμενον μέρος ἀεί πῃ ζητήσει καιρὸν, καθάπερ καὶ πᾶν ζῶον διενοχλούμενον, τῆς παρούσης ἀπαλλαγῆναι δουλείας.

Ἀφεκτέον τοιγαροῦν, ὧν ἡ βάρβαρος τῶν πραγμάτων φορὰ ἄνωθεν τοῖς ταλαιπώροις ἐπήνεγκεν ἔθνεσιν· ἀνθεκτέον δὲ, ὧν ἥτε θρησκεία, καὶ ἡ φιλοσοφία, ἡ μὲν πείθουσα, ἡ δὲ καὶ προσεπαπειλοῦσα, παιδεύει· ἐξ ὧν ἔθνη ὅλα νῦνγε φωταγωγούμενα, αὐτά τε ταῦτα καθ' ἑαυτὰ διαλάμπει, καὶ τοῖς ἄλλοις ἐξ ἰδίων παραδειγμάτων δικαιοσύνης καὶ εὐνομίας διαπρύσιοι γίγνονται κήρυκες· ἄλλως γὰρ ἔθνος ὅλον, μὴ τῶν αὐτῶν συμφερόντων τοῖς πᾶσιν ὄντων, εὐροεῖν ἐξ ὁμονοίας ἀδύνατον ἔσται· τὸ γὰρ ἐλαττούμενον μέρος ἀεὶ πολέμιον ἔσται πρὸς τὸ πλεονεκτοῦν, καὶ ὥσπερ σπλὴν τῇ τῶν ἄλλων μερῶν τροφῇ, ἐκ τῶν ὑστερημάτων ἐξογκούμενον τῶν πενήτων· καὶ τοῦθ' ἡμῖν τεκμηριοῖ ἡ τῶν ἀρχαίων ὡς ἡμᾶς διασωθεῖσα ἀλήθεια· διὸ ἄξιον καὶ ἐν ὕπνοις καὶ ἐν ἐγρηγόρσεσι τὸ Εὐριπίδιον πρὸς θ' ἑαυτοὺς καὶ ἀλλήλους διαμνημονεύειν ἐκεῖνο.

« Ἰσότητα τιμᾷν, ἣ φίλους ἀεὶ φίλοις,
« Πόλεις τε πόλεσι, συμμάχους τε συμμάχοις
« Ξυνδεῖ. τὸ γὰρ ἴσον νόμιμον ἀνθρώποις ἔφυ.
« Τῷ πλέονι δ' ἀεὶ πολέμιον καθίσταται
« Τοὔλασσον· ἐχθρᾶς θ' ἡμέρας κατάρχεται.

Ἀλλ' οἱ ὑμέτεροι Βοϊάροι τῶν τ' ἄλλων καταφρονοῦντες, καὶ τὸ ἴσον παρ' οὐδὲν λογιζόμενοι, ἀπὸ τοῦ ἀνίσου τὴν ἐν πᾶσιν ὑπεροχὴν θηρῶνται· ἄλλοις δέ τισιν οὐτιδανοῖς ἐρειδόμενοι, τῆς ἀληθοῦς ἀπεστέρηνται καὶ εὐδαιμονίας καὶ δόξης· οὔτε γὰρ πλοῦτος, οὔθ' ἡ λεγομένη εὐγένεια, οὔτ' ἀξιώματα κοῦφα, οὔτ' ἐσθὴς περιῤῥέουσα ἐξ ἁρπαγῆς καὶ πλεονεξίας τὸ πλέον οὔτ' ὀχήματα λευκὰ καὶ διάχρυσα, καὶ οἰκίαι σεμναὶ, διώροφοι καὶ τριώροφοι, οὐθὲν τούτων συμβάλλεται τοῖς ἔθνεσι πρὸς εὐδαιμονίαν, εἰμὴ ἡ ἐλευθερία καὶ εὐνομία, ταῦτα δὴ τὰ τῆς πολιτικῆς καὶ ἠθικῆς στοιχεῖα τὰ πρῶτα καὶ μέγιστα, ὧν ἄνευ οὐκ ἂν ἔθνος τῶν ἁπάντων οὐθὲν φερωνύμως τοῦτο καλοῖτο· λαὸς δ' ἄλλως, ὡς ἔτυχεν, ἄνω καὶ κάτω κοπτόμενός τε καὶ διασπώμενος, ὥσπερ ἀνερμάτιστον πλοῖον μέχρις ἂν ἐμπέσῃ ἐλεεινῶς εἰς τὰς ἄρκεις τῶν εἰδότων φρενοῦν τοὺς ἀφ' ἑαυτῶν μὴ δυναμένους, ἢ μὴ βουλομένους τὴν ἀγαθὴν ἑλέσθαι μερίδα.

Ταῦτά μοι πρός σε, φίλε Εὐφρόσυνε, ὡς παρὰ φίλου φίλα· καὶ παρὰ διδασκάλου πρὸς μαθητὴν εὐγνωμονέστατον γεγονότα. σὲ γὰρ πρὸς τῇ ἄλλῃ ἀρετῇ καὶ ἡ φιλοσοφία κοσμεῖ, σπάνιον τοῦτο παρ' ὑμῖν δῶρον ἄνωθεν φανὲν πρῶτον· ἀξιῶ δὲ μηδεμίαν μοι ὀργὴν γενέσθαι παρ' ὑμῶν, εἰ ὁ λόγος πλέον ἢ προσῆκεν ἴσως κατεθάῤῥησεν ἀνιχνεῦσαι τὸ ἀληθές· οἶσθα γὰρ τὸν ἐμὸν τρόπον, ὡς οὐδέν' οὐδέποθ' ὑπέδραμον κολακείᾳ. ἔπειτα οὐδὲ τῶν δικαίων ἄν τις τύχοι κατά γε τὸν τῶν Ἀθηναίων δημαγωγὸν, εἰ μὴ τοὺς προσήκοντας λόγους τὰ πράγματα λάβοι· ἀλλ' οὐδὲ τὸ Ἰσοκράτειον ἐκεῖνο ἧττον παιδεύει

ἀνασχετώτερον τοὺς ὑπὲρ τῶν δικαίων ἐλέγχους ἀκούειν· φησὶ γάρ πῃ κἀκεῖνος, ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατόν σοι χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους. Ἔῤῥωσο.

*Τῷ Γεωργίῳ.* (96.)

Ἀκήκοας ὅπως ἡμῖν νῦν γ' ἔχει τὰ πράγματα; οὐ πάνυ αὖθις καλῶς· ὥσπερ γὰρ τὸν Τάνταλον, οἱ μῦθοι φασὶν, ὑπεκφεύγει ἐν ᾅδου τὸ ὕδωρ, οὕτω καὶ ἡμῖν ὡς διὰ τῶν δακτύλων διαῤῥέουσι αἱ ἐλπίδες· καὶ καθάπερ ἐν τοῖς δράμασι, διὰ φόβου καὶ χαρᾶς ἰόντες ἐν συχναῖς ταῖς περιπετείαις, ἐκ τῶν ἀποβαινόντων ἐπ' ἀμφότερα οἱ ταλαίπωροι μεταθέομεν. Λεοπόλδος γὰρ ὁ παρὰ τῶν συμμάχων ψηφισθεὶς ἡγεμὼν τῆς Ἑλλάδος παραιτεῖται τοῦ ἐπαγγέλματος, καὶ τοῦθ' ἡμῖν αἱ ἐφημερίδες ἐκήρυξαν, ἐφ' οἷς, φασὶν, οὐ προσέθηκαν αὐτῷ οἱ σύμμαχοι ἔτι τὴν Κρήτην καὶ Σάμον, ὥσπερ ἐστὶ δίκαιον· μὴ γὰρ δύνασθαι διοικῆσαι λαὸν πολυπαθῆ πρὸς εὐδαιμονίαν, ἐν στενοῖς οὕτω περιοριζόμενον ὅροις. Δῶμεν οὖν τὰ πάντα τῇ προνοίᾳ σὺν λόγῳ, ὡς οἶδε καὶ βούλεται, διοικεῖν τὰ ἡμέτερα· καὶ τῶν ἐλπίδων αὖ ἐχώμεθα ἐξ ἀρχῆς· τῆς γὰρ ἐλευθερίας ἡμῖν γενομένης κυρίας, ὅστις πόθ' ἡγεμὼν ἡμῖν ἔσται, ἄξιος οὗτος ἔσται, καὶ οὐκ ἐκλείψουσι τῷ θεῷ στρατιῶται· μηδὲ λυπώμεθα ἐπὶ τῇ ἀναβολῇ τῶν πραγμάτων· καὶ τοῦτο γὰρ, οἶμαι, τῆς προνοίας ἔργον ἐστὶν, ἵν ὡς σταθερώτερα ἡμῖν ταῦτα ᾖ πεπραγμένα ὑπὸ τῶν συμμάχων καὶ πολλάκις δὲ τὸ πρὸς ὀλίγον λυπῆσαν, ἐπὶ πλέον ηὔφρανεν ὕστερον· καὶ σοφόν γε τὸ τοῦ Τραγῳδοῦ,

» Πολλαὶ μὲν μορφαὶ τῶν δαιμονίων·
» Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·
» Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη·

« Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός·
« Τοιὸν δὲ γὰρ ἀπέβη καὶ τό δε τὸ πρᾶγμα.

Ἔσται γὰρ ὅτε καὶ ἡμῖν, οὐκ ἐς μακρὰν οἶμαι, ἐξ ἀπροσδοκήτων τὰ πράγματα τέλος λήψεται. Ἔρρωσο.

*Θεοδώρῳ.* (97.)

Τῶν βιβλίων μοι ἤδη πεμφθέντων συμπάντων κιβωτίων πέντε πρὸς τοῖς τριάκοντα, ἕτοιμός εἰμι κἀυτὸς ἀναζεῦξαι, ἅμα συνοδοιπόρων λαβόμενος· τῶν δὲ παρ' ἐμοὶ μαθητευσάντων οἱ μὲν πλῆρες, οἱ δὲ καὶ ἡμιτελὲς ἀπέτισάν μοι τὸ ὄφλημα· εἰσὶ δ' οἳ καὶ οὐδοτιοῦν, οἱ μὲν ἑκόντες, οἱ δ' ὡς μηδὲν μὲν ἔχοντες, ἀποδόντες δέ γε τὴν εὐγνωμοσύνην, πλείονος τῶν χρημάτων ἀξίαν οὖσαν· τί οὖν ἡμεῖς; συγχωροῦμεν μὲν ἅπασιν (τοῦτο γὰρ προστετάγμεθα)· οὐ μὴν δὲ καὶ εὐνοοῖμεν ἂν ἀπὸ τοῦ ἴσου ἑκατέροις εὐγνώμοσι καὶ ἀγνώμοσι· Σὺ τοίνυν παρ' ὁποτέροις τούτων ἀξιοῖς συνταχθῆναι, δείξεις τοῦτο τοῖς ἔργοις. Ἔρρωσο.

*Χριστοδούλῳ.* (98.)

Ἀκήκοα, ὡς πρῴην ἐν συλλόγῳ πολλῶν πολλὰ κατειπών μου, τοσοῦτον τὰς τῶν παρόντων τοῖς λήροις ἐξήντλησας ἀκοάς, ὥστ' ἐπιθυμῆσαι τινὰς αὐτῶν παχεῖαν τοῖς ὠσὶν αὐτοῖς ἐντετράφθαι κυψέλην, ἵνα μὴ ὁ πολὺς ἐκεῖνος φλήναφος εἰσιών, ὑπέκνιζεν αὐτοὺς ἀηδίᾳ. Ἀλλὰ ποῦ εἶ, ὦ ταλαίπωρε σύ γε; ἐν ποίῳ σκότῳ βαίνων πυκνῷ, οὕτως ἀμβλυώττεις πρὸς τὴν τῶν πραγμάτων ἀλήθειαν; καὶ πρὸς τίνας ὡς δὴ μὴ εἰδότας θαλαττοκοπεῖς τὰ τοιαῦτα; πῶς ἡμεῖς ἰδιόρρυθμοι καὶ ἀξυντελεῖς τῷ κοινῷ πρὸς βελτίωσιν; καὶ τίς ἂν εἴη μᾶλλον ὁ ξυντελέσας, εἰ ὁ Δούκας ἄεργος τοῖς Ἕλλησι γέγονεν, ὁ τεσσαρακοστὸν ἔτος ἤδη πονῶν ὑπὲρ τῆς κοινῆς ὠ-

φελείας, τὰς μὲν ἡμέρας διδάσκων, τὰς δὲ νύκτας γράφων, καὶ συγγραφεῖς ἐκδεδωκὼς, ἀριθμὸν μυριάδων βιβλίων μάλιστ' ὀκτώ· ὧν πολλὰ μὲν ἔτι ἐν τῇ δουλείᾳ, πολλὰ δὲ καὶ νῦν ἐπέμφθησαν, τά γε διασωθέντα, διανεμηθησόμενα δωρεὰν τῇ πτωχῇ νεολαίᾳ; τίς δὲ μᾶλλον καὶ πρὸς νέους ἀποτείνεται ἔτ' ἀγῶνας; τίνος δὲ καὶ οἱ μαθηταὶ τὰ πρῶτα φέρουσιν ἐπιδόσει ἔνγε ταῖς βορειοτέραις τῶν πόλεων, πλείους, οἶμαι, ἢ διακόσιοι ὄντες, ὧν τριάκοντα μάλιστα, τελειότεροι ἐν τοῖς ἐγκυκλίοις γενόμενοι, εἰσὶ τῶν διδασκάλων οἱ ἐγκριτώτεροι; Ἀλλὰ χρήματα, φὴς, παρὰ τούτων εἰσπράττω τῶν γε πλουσιωτέρων· εἶτα τοῦτό σοι τὸν πολὺν ἐκεῖνον κεκίνηκε λῆρον; καὶ τίποτε ἢ σὲ, ἢ ἄλλον ὀντινοῦν ἠδίκησα παρὰ τοῦτο; ἢ πόθεν ἂν ἦν μοι τοσαῦτ' ἐκδοῦναι βιβλία, εἰ μὴ πόνοις πόνους προστιθεὶς, καὶ ἐξ ἱδρώτων ἱδρῶτας, ἐξ ἄλλων ἄλλους ἀεὶ ἐπειρώμην παραβαλεῖν αὐτὰ τῷ κοινῷ πρὸς βελτίωσιν; πόθεν δὲ καὶ τἄλλ', ἃ μέλλω ἐκδώσειν ἔτι, προκύψουσιν ἐς τὸ φῶς, ἵνα καὶ ταῦθ' ὁμοίως τοῖς ἄλλοις τοῖς μὲν χρηστοῖς καὶ εὐγνώμοσι τροφὴ καὶ ὄφελος γένωνται· σοὶ δὲ, καὶ τοῖς ὁμοίοις σοι, εἴτινες εἶεν τοιοῦτοι, ἀλγηδόνες μὲν τῶν ὀφθαλμῶν, ὀξυρεγμία δὲ τοῦ στομάχου; τοιούτοις γὰρ ὁ φθόνος τὴν σὴν ψυχὴν κατεδίκασε τιτρώσκεσθαι βέλεσι· ὡς δεινόν γε τὸ πάθος, οὐκ ἐῶν προτιμᾶν τὸ συμφέρον οὐδένα τρόπον. Δεῖ δ' οὖν σε, ἀνανεύσαντα μικρὸν τούτου, περιελεῖν τὴν λύμην τῶν ὀφθαλμῶν, καὶ ἐμβλέψαι ὀρθῶς ἐς τὰ πράγματα, ὅπως ἔχουσι· μηδ' ἐάσῃς τὸ πάθος κατακρατεῖν σου ἐς τέλος, ἀλλὰ μεταμαθὼν τὰ πρῶτα, ἅ σε ἐξ ἀρχῆς ἐδίδαξεν ἡ δουλεία, ζήτει νῦν μεθ' ἡμῶν τὰ βελτίω, ὁπότε βασιλεύει ἐλευθερία, φυλάττων γ' ἐν πᾶσιν εἰκότως τὰς περὶ τοὺς γεγενημένους εὐεργέτας τῷ κοινῷ ὑπολήψεις· ἴσθι μέν τοι δυσκατέργαστόν σοι τοῦτ' ἐσόμενον μάλιστα, ἥν μοι πρότερον ἐκ τῶν σαυτοῦ χει-

ρῶν ὀφθῆς τι τοῖς Ἕλλησι χρήσιμος· οἱ γὰρ πόνοι τῶν πόνων ἂν εἶεν κριταὶ δικαιότατοι. Ἔῤῥωσο.

*Ἰωάννῃ.* (99.)

Μέμνησθε ἴσως, ὁπότ' ἐμαθητεύετε παρ' ἐμοὶ ἀμφότεροι οἱ ἀδελφοὶ ἐν Στεφανουπόλει, σύ τε καὶ ὁ Ἀγγελάκης, ἐν οἵᾳ μὲν ὑμεῖς ἐνδείᾳ ἦτε, ἐξ οἵας δὲ μετριότητος ἐγὼ οὐκ ἀπῄτουν ὑμᾶς ἀπαραιτήτως, ἐφ' οἷς ἐπαιδεύεσθε, ταῖς πολλαῖς ἐκείναις λιταῖς καὶ δεήσεσιν ὑμῶν πρὸς τὸ συμπαθέστερον φιλανθρώπως καμπτόμενος· νῦν δ' εὐθηνουμένων ὑμῖν τῶν πραγμάτων, εὑρίσκω τὸν σὸν ἀδελφὸν ψευσάμενον τὴν ὑπόσχεσιν, ἣν ὑπέσχετο τότε πρῶτον τοὐμὸν ὄφλημα διαλύσειν, ἅμ' εὐμενεστέρας τῆς δαίμονος πειραθείς· καὶ ἦν μοι ἄρα τότε μὲν ἀλώπηξ τὰ πρόσθεν, νῦν δὲ δράκων τὰ ὄπισθεν· δέος δὲ μὴ καὶ ὅλως χίμαιρα ἡμῖν, πολλάκις διερεθίσασιν, ἐκραγῇ τελευταῖον· τετράκις γὰρ ἐπιστείλαντι σιωπᾷ, ὡς μὲν χαλεπὸν δοκῶν μοι ἀπαιτοῦντι ἐντρέφειν τὸν χόλον, αἰδούμενος δὲ ἐκχέαι αὐτὸν ἀγνωμόνως πρὸς διδάσκαλον, παρ' οὗ τὸ εὖ ζῆν ἔστιν εἰληφὼς, σιωπῇ κατευνάζει, ὡς εὔωνον τὸ φάρμακον τοὔθ' εὑρών. Ἀλλ' ἐκεῖνον μὲν τοῦτ' αὐτὸ Φαναρίτην, ὡς οὐκ ἔδει, γενόμενον πρὸς ἐμὲ, ἐάσω νῦν χαίρειν· ἐπανάγω δὲ τὸν λόγον πρὸς σὲ (καὶ ἀξιῶ μὴ καὶ ὑπὸ σοῦ γε τὰ ἴσα περιφρονηθῆναι) πότερον, ὦ βέλτιστοι, ἀποδώσετέ μοι τὰ δίδακτρα, γιγνόμενοι δίκαιοι, ἢ οὔ; τοὔθ' οὕτως ἁπλῶς ζητῶ μαθεῖν παρ' ὑμῶν ὡρισμένον, καὶ χαίρετέ μοι λοιπόν· μεθ' ἡμέρας γὰρ οὐ πολλὰς ἀπαρῶ ἐς Ἀθήνας, ὅπου οὐκέτ' οὔτ' ἀπαιτῶν, οὔτ' ἀπαιτούμενος, τὰ ὅσα συγκαλύψωμαι. Ἔῤῥωσο.

*Τῷ Σταύρῳ.* (100.)

Ἀλλ' ἄλλοτε τῶν ἰδίων, ἀλλὰ κἀκεῖνό με οὐχ ἧττον ἐλύπησε· χαλεπωτάτῃ γὰρ νόσῳ πρῴην προσπαλαῖσαί σε λέγε-

ται, καὶ παρὰ μικρὸν ἐλθεῖν ἰδεῖν τὰ τοῦ Ἀϊδωνέως βασίλεια· ὥσθ' οἱ τὸ σὸν βαλάντινον ὑπερβλέποντες, σὺν πολλῇ πτοήσει πρὸς τὸ πτῶμα παρεσκευάζοντο οὐχ ἧττον, ἢ οἱ γύπες, εἴτινός πῃ θνησιμαίου ὀσφραίνοιντο· καίτοι ἴσμεν τοῦθ', ὅτι πᾶσιν ἀνθρώποις ἀπόκειται παθεῖν τοῦτο παρὰ τοῖς φύσεως, καὶ οὐκ ἔσθ' ὅς τις τὴν τοῦ θανάτου ἀποφευξεῖται πεῖραν· ἀλλὰ βουλοίμην ἂν ἔγωγε οὐκ ἐπὶ τῆς ἀλλοδαπῆς παθεῖν τοῦτο, ἔνθ' οὔτε φῶς ἐλευθερίας πώποτ' ἀνέτειλεν, οὔτε δικαιοσύνης μελέτη τὴν τῶν ἐνοικούντων εἰσῆλθε ψυχήν· ἀλλ' ἐπὶ τῆς φίλης Ἑλλάδος, ἥτις πολλῶν κινδύνων τε καὶ σωμάτων ἀντηλλάξατο τὸ ἐλεύθερον καὶ ἰσόνομον, ταῦτα δὴ τὰ πρῶτα τῆς πολιτικῆς καὶ ἠθικῆς πρὸς εὐδαιμονίαν στοιχεῖα. Ἐκεῖ τοίνυν ἐμέτ' αὐτὸν, καὶ τοὺς παρ' ἐμοῦ φιλομένους ἐλαφρὰ συγκαλύψειε γαῖα· ὅπου καὶ ζῶν ἔτι ὠφέλιμος, ὅ,τι ποτ' ἂν δύνωμαι, ἔσομαι, καὶ ἀποθανὼν Ἁρπυιῶν αἱμοβόρων οὐ μὴ γένωμαι κύρμα· ὃ πολλοὶ τῶν ἡμετέρων πεπόνθασιν· οἷς οὔτ' οἶκτος συγγενῶν ἐλεεινῶν ἐβοήθησεν, οὔτε διαθῆκαι ἀκριβεῖς καὶ φιλάνθρωποι συνεβάλοντο· πῶς γὰρ, ἔνθα νόμος τὸ βούλημα τῶν κρατούντων, ἄλλοτ' ἄλλως ῥεπόντων καὶ μεταῤῥεπόντων κατ' ἰδίαν ἀρέσκειαν ἐφ' ἑκάτερα; Λαβὼν οὖν, ὅσον σοι νῦν πρόσεστιν ἀργύριον ἀνὰ χεῖρας, ἕπου μοι τὴν ταχίστην πρὸς τὰς κλεινὰς Ἀθήνας, ἔνθα τούς τε λόγους καὶ σεαυτὸν ἐπιδείξεις τοῖς ἐκεῖ μάλιστα δεομένοις σου· τὸ δὲ προσοφειλόμενον ἔτι, ἐμὲ μιμησάμενος, ἔα χαίρειν πρός γε τὸ παρὸν, ἵνα μὴ πρὸς τῷ ἀργυρίῳ προσαπολέσῃς ἔτι καὶ τὸν τιμιώτατον καὶ ἐλλογιμώτατον Σταῦρον. Ἔῤῥωσο.

*Τῷ Ῥίζῳ.* (101.)

Ἰδού σοι καὶ τὸ ῥισσὸν τοῦτο καὶ κατεῤῥικνωμένον γερόντιον, ἐγὼ, κατατείνει καὶ αὐτὸ τὸ ταλαίπωρον, τῆς ἐλευθερίας

ἐν οὐδῷ ἤδη γήρως ἐπιθυμοῦν ἀπολαῦσαι, περὶ ἧς ἕτεροι ἐπενόησάν τε καὶ ἐκινδύνευσαν, μεγίστους ὑποστάντες ἀγῶνας· καὶ ταῦθ' ἡνίκα τυχὸν οὐκέτι τῷ κοινῷ συμβαλεῖται, ἢ ὅσον φανὲν, ἀποδώσει ἐλευθέρᾳ τῇ γῇ, ὃ εἰλήφει παρ' αὐτῆς δούλης οὔσης· ὢ τῆς ἀνελπίστου ταύτης τῶν πραγμάτων μεταβολῆς. Ἀλλ' ἐπειδὴ καὶ τοῦθ' ὅσον ἕνεκά γε τῆς τύχης ἄδηλον ἔτι κεῖται (πολὺ γὰρ τοὐνμέσῳ, φασὶ, μεταξὺ χειλέος καὶ κύλικος.) ἵνα μὴ παντάπασιν ἀξύμβολος γένωμαι τῇ πατρίδι, προπέμπω ὑμῖν τὰ διασωθέντα μοι τῶν βιβλίων ἀπὸ τῆς ἁρπαγῆς τῶν κακούγων· δεξάμενοι δὲ ταῦθ' ὅλως ἀναυλεὶ κατὰ τὴν νῆσον Σύραν, διαθήσεσθε αὐτὰ, ὡς δόξει τοῖς κρατοῦσι πρὸς τὴν τῆς νεολαίας ἐν τοῖς σχολείοις βελτίωσιν. Αὐτὸς δὲ κατὰ μῆνα Ἰούλιον,

« . . . . Σκολιῷ σκίπωνι
« Διερειδόμενος, σπεύσω, βραδεῖαν
« Ἤλυσιν ἄρθρων προτιθεὶς,

τό,τε πάλαι μὲν ἐλπιζόμενον, νῦν δὲ καὶ ἔργῳ ὁρώμενον περιπτύξασθαι, καὶ τὴν σὴν κορυφὴν, ὃν καὶ ἐξ ἀρχῆς καὶ νῦν τιμῶ ἐν τοῖς μάλιστα, ἀσπάσασθαι πόθῳ. Ἔρρωσο.

## *Τῷ Ἀνδρέα.* (102.)

Η Ἑλλὰς, ἧς ὁ φθόγγος ἐπέδραμεν ἐν δεκαετεῖ μεγίστῳ κινδύνῳ μικροῦ δεῖν ἐπὶ πᾶσαν τὴν οἰκουμένην, ἀπαλλαγῆσα ἤδη τῶν κακῶν τῇ ἀρετῇ τῶν ἑαυτῆς Ἡρώων, συνάγει σπουδῇ νῦν, ὥσπερ ὄρνις τὰ νοσσία, καὶ τὰ ἀπόλεμα ἔξωθεν τέκνα, τῇ τῶν ζωογόνων ἑαυτῆς πτερύγων κολπώσει αὐτὰ ὑποθάλψουσα· διὸ ἄλλοι ἄλλοθεν σπουδῇ κατατείνοντες, τὶς τίνος πρότερος γένηται, τρέχουσιν, ὡς ἔλαφοι διψῶσαι, πρὸς τὰς πηγὰς τῶν ἡδίστων αὐτῆς ναμάτων. Τούτους οὖν μι-

ρούμενος κἀγὼ ὁ τεσσαράκοντα μὲν καὶ πέντε μάλιστα ἔτη, δῆλον, ὅτι πλείω ἢ σύμπαν τὸ ἔθνος τῶν Ἑβραίων ποτὲ ἐν τῇ ἐρήμῳ, περιπλανώμενος μὲν εἰς τὴν ἀλλοδαπὴν, μηδέ ποτε δὲ τῶν κόλπων τῆς πατρίδος ἐκκεντρισθεὶς τῷ ἔρωτι καὶ τῇ διανοίᾳ, παρασκευάζομαι ἤδη, ἅμα τῶν ἀπὸ τῆς ὥρας καυμάτων ὑπολωφησάντων, κατελθεῖν ἐς Ἀθήνας, τὴν θ' ἱερὰν αὐτοῦ γῆν κύσων πόθῳ, καὶ τὴν σὴν κορυφὴν τῇ προσηκούσῃ καταστέψων τιμῇ. Ἀλλάγε πρὸ τούτου, ἐπειδὴ ἡ πατρὶς, ὡς διὰ πολλοῦ συνεχῶς κακωθεῖσα, δεῖται πολλῶν πρὸς ἀνάῤῥωσιν, καὶ ἀπαιτεῖ δικαίως παρ' ἑκάστου τὸν προσήκοντα ἔρανον, δέξαι (σοὶ γὰρ ὡς γενικῷ τῶν σχολείων Ἐφόρῳ, οἶμαι, ἐμπεπίστευται ταῦτα) καὶ παρ' ἐμοῦ, ὅ μοι ὁ ἀπόλεμος καὶ φιλήσυχος κάλαμος φθὰς ἐξεπόνησε, κιβώτια βιβλίων τριάκοντα καὶ τέσσαρα, μυρίων καὶ δύο χιλιάδων τὸν ἀριθμὸν, ὡς ἐκ τοῦ διαγράμματος ἔξεστι μαθεῖν τοῦτο, ὅσα δηλονότι δεδύνημαι διασῶσαι, ἢ μᾶλλον εἰπεῖν δευτέροις ἀναλώμασιν ἀνασῶσαι τῆς φρικτῆς ἐνταῦθα συμβάσης αὐτῶν ἁρπαγῆς· δεξάμενοι δὲ ταῦτ' ἐπὶ τῆς Σύρας ἀμισθεὶ (προκατέβαλον γὰρ τό,τ' ἀγώγιον αὐτῶν καὶ τὸν ναῦλον ἐνταῦθα) διαιτήσετε αὐτὰ, ὅπως ἂν δόξῃ τῷ σοφῷ Κυβερνήτῃ· ἐπειδὰν δὲ σὺν θεῷ μετ' ἀλλήλων γενώμεθα, πειρασόμεθα ἀνευρεῖν καὶ ἄλλα πολλὰ, οὐ πολὺ τούτων ἐλάττω, ἃ ἡ τῶν καιρῶν χαλεπότης ἐν πολλαῖς συνεκάλυψε πόλεσιν. Ἔῤῥωσο.

## *Τῷ Κυβερνήτῃ.* (103.)

Ἕως μὲν τὰ τῶν Ἑλλήνων πράγματα σαλευόμενα, ὥσπερ ἀνερμάτιστον πλοῖον, ἔῤῥεπον ἄλλοτ' ἄλλως πολυειδῶς ἐφ' ἑκάτερα, τέως οἱ ἐρασταὶ μὲν τῶν καλῶν τῆς πατρίδος, ἀδύνατοι δ' ἄλλως συνεισφέρειν τὶ ἐκ τῶν ἔργων, ἵσταντο πόῤῥωθεν ἁπλῶς θεαταὶ, εὐχόμενοι μόνον τοῦθ' ὅπερ τοῖς

ἀδυνάτοις ἐστὶ δυνατὸν, γενέσθαι αὐτοῖς θεόθεν τὸν ἱκνούμενον πρὸς τὴν τοῦ περιουσίου τούτου λαοῦ σωτηρίαν. Νῦν δ' ἐπακούσαντος τοῦ θεοῦ, καὶ ἐπιφανέντος σου ὡς ἐν ἀπορωτάτῳ καιρῷ, καὶ τῶν τοῦ σκάφους εὐτυχῶς δραξαμένου οἰάκων, πᾶς τις ἔῤῥωται δραμεῖν, τὸ θ' ἱερὸν ἔδαφος τῆς πατρίδος ὀψόμενος, καί σοι τῷ σοφῷ Κυβερνήτῃ τὸ εὔγνωμον ἀποδώσων, λέγων μετὰ τοῦ Εὐαγγελιστοῦ οὐκέτι περὶ τοῦ Προφήτου, ἀλλὰ περὶ τοῦ Κυβερνήτου. *Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος ἡμῖν παρὰ Θεοῦ, ᾧ ὄνομα αὐτῷ Ἰωάννης*· καὶ ἔστι μὲν τοῦθ' ἡμῖν ἐξ αὐτῶν τῶν ἔργων πιστόν· ἐκεῖνο δέ πως ταλαντεύει τὴν διάνοιαν τῶν σοφῶν ἐφ' ἑκάτερα, πότερον προηγεῖτό ποτε τῷ θείῳ νοΐ, ἡ γέννησις τοῦ τοιούτου ἀνδρὸς, ἢ ἡ τῶν Ἑλλήνων ἐλευθερία; ἀπορεῖται γὰρ ὅλως, πότερον διὰ τὸ γεγεννῆσθαι τὸν τοιοῦτον ἄνθρωπον ἔσπευσεν ὁ θεὸς τὴν ἡμῶν ἀπολύτρωσιν, ἢ ἐλθούσης τῆς προθεσμίας τῆς σωτηρίας, εὐδόκησε τὴν γέννησιν τοῦ τοιούτου; Ἀλλὰ τοῦτο κείσθω ἀπόῤῥητον ἐν τῷ γνόφῳ τῶν θείων κριμάτων. Ἐγὼ δὲ πέμψας τῇ Κυβερνητικῇ σου προνοίᾳ τὰ περισωθέντα μοι ἀπὸ τῆς κοινῆς ναυαγίας βιβλία, διανεμηθησόμενα τοῖς πτωχοῖς τῶν μαθητῶν κατὰ χρείαν, μετὰ μικρὸν ἀπαρῶ, σέ τ' αὐτὸν ἀσπασόμενος, καὶ τὴν φίλην πατρίδα περιπτυξόμενος. Ἔῤῥωσο.

## Τῷ *Σταύρῳ*. (104.)

Τὰ μὲν ἐκδεδομένα τῶν βιβλίων πεπόμφαμεν πρὸς οὓς ἡμῖν ὀφειλόμενον ἦν· πρὸς δὲ τὰ ἐπειγόμεθα ἤδη· οἶσθα γὰρ ἡμᾶς ὡς ἐν τῷ δεκαετεῖ τούτῳ τῆς ἐπαναστάσεως χρόνῳ οὐδ' ὁπωσοῦν ἐλήξαμεν γράφοντες. Ταῦτα τοίνυν εἰ μὴ ἐκδοθεῖεν, μάτην ἡμῖν εἶεν οἱ πόνοι γεγενημένοι, καὶ ταῦθ' ἡνίχ' ἡ Ἑλλὰς νῦν ἅπασα ἔῤῥωται πρὸς παιδείαν, ὅλῳ τῷ ῥυτῆρι

κατατείνουσα πρὸς τὸ τέρμα· ᾗ οὐχ ἧττον, ἢ καὶ πρῴην, ὀφείλομεν χεῖρ᾽ ὀρέξαι. Βουλοίμην τοίνυν καὶ σὲ τούτου συμμετασχεῖν τοῦ πόνου· ἄλλως τε καὶ ἐπειδὴ προορῶ τι ἐμαυτῷ συμβησόμενον· δεῖ γάρ σε, εἰ συμβαίημοι ἀποθανεῖν, καὶ σύμπανθ᾽ ὑποδύσασθαι τὸν ἀγῶνα, ἐξ ὑπογυίου ὄντα· καὶ δὴ, ἵν᾽ ᾖ σοι ὡς ἐκ διαθήκης διασκευάσαι ταῦτ᾽ εὖ, ἐχέτω τὰ ἐκδοθησόμενα οὕτω. Πρῶτον μὲν ὁ Ὅμηρος τό,τε κείμενον, καὶ ἡ παράφρασις ἀντικρὺ, καὶ τὰ σχόλια, ὡς εἰκὸς, ὑποτείνοντα, ὥσπερ καὶ ἐν ἄλλοις μοι διεσκεύασται τοῦτο. Δεύτερον δὲ, ὁ Εὐριπίδης, τὸν αὐτὸν τρόπον καὶ οὗτος· τρίτον δ᾽ ὁ Σοφοκλῆς, ὁμοίως καὶ οὗτος· ὧν Ὅμηρος μὲν καὶ Εὐριπίδης διαιρείσθων εἰς ἓξ τόμους ἑκάτερος· Σοφοκλῆς δὲ, εἰς δύω. Ἐπὶ δὲ τούτοις ἡ Τετρακτὺς, ὅ ἐστι Ῥητορικὴ, Λογικὴ, Μεταφυσικὴ, καὶ Ἠθικὴ, τοὐπιτομώτατον τοῦτο εἰς ἕνα τόμον. Μετὰ δὲ τοῦτο θετέον τὴν Ξυνωρίδα, ὅ ἐστι τὴν Φυσικὴν καὶ Μεταφυσικὴν αὖθις εἰς ἕνα καὶ τοῦτο τόμον. Ἐπὶ δὲ, τὸν Σοφιστὴν παντοίους τῷ εἴδει περιέχοντα λόγους. Ἐκ δὲ τούτων τὸν Πανηγυριστὴν, ἅς τε χάριν τῶν μαθητῶν παρεφράσαμεν ἐν τῷ σχολείῳ ἔτι δημηγορίας τοῦ Θουκυδίδου, καὶ ἄλλους λόγους ἐν τῇ καθ᾽ ἡμᾶς διαλέκτῳ, ὡς προὐχώρει ἡμῖν ἑκάστοτε γράφειν, καὶ αὐτὸν περιέχοντα· οἷς οὐκ ἂν εἴη ἀνόνητον προσθεῖναι καὶ τάς γε σωζομένας τῶν ἐπιστολῶν τοῖς μὴ παντάπασι τὴν ἐν τῇ ἀρχαίᾳ γλώσσῃ χρῆσιν τοῦ γράφειν τοῖς νέοις ἀπαγορεύουσιν. Ἡ μὲν οὖν τάξις τῶν ἐκδοθησομένων ἥδε· τὸ δ᾽ ἀργύριον πόθεν; δεῖ γὰρ οὐκ εὐκαταφρονήτου γε τούτου, ἀλλὰ καὶ πλείονος, οἶμαι, ἢ δύω μυριάδων φοινίκων· τούτου γοῦν πλεῖον μὲν ἢ ἥμισυ ὑπάρχει μοι ἤδη· τὸ δὲ λοιπὸν ἔσται σοι ἀπὸ τῶν κοινῶν· ἀφ᾽ ὧν σοι καὶ ἀμοιβὴ τῶν πόνων· οὐ γὰρ ἂν αὐτός γ᾽ ἀμισθὶ ταῦτ᾽ ἐργάσαιο. Τοῦτο τοίνυν μοι, ὦ ἄριστε, τὸ σκο-

πούμενον, τοῦτο καὶ τὸ σπουδαζόμενον, ἐφ᾽ ὃ καὶ πρῴην ἐπιστείλας, παρεκάλεσα ἕπεσθαί μοι· οἶδα γάρ σε φιλόκαλόν τε ὄντα καὶ φιλογενῆ ἐν τοῖς μάλιστα, καὶ οὐκ ἂν ἀποφευξούμενον τὴν ἀξίωσιν. Ἔῤῥωσο.

*Τῷ Λάμπρῳ.* (105.)

Ἀπὸ μὲν τῶν βιβλίων ἐλευθεριάζομεν ἤδη· ἀπεστάλκαμεν γὰρ πάντα εἰς Ναύπλιον διατεθησόμεν᾽ αὐτοῦ, ὅπως ἂν δόξῃ τῇ βουλῇ καὶ τῷ Κυβερνήτῃ· καὶ ἤδη τὴν ὁδὸν ἀπραγμονεςέραν ἑαυτοῖς πεποιήκαμεν· ἐπειδὰν δὲ σὺν θεῷ ἐκεῖσε γενώμεθα, σκεψώμεθα ὅπως δεήσει συναγαγεῖν καὶ τἄλλα ἐκ Βυζαντίου, καὶ Σεῤῥῶν, καὶ Θεσσαλονίκης, καὶ εἴτιν᾽ ἔτι ἄλλοθι διεσώθησαν ἐν τοσαύτῃ ταραχῇ τῶν πραγμάτων· συμποσοῖντο γὰρ ἂν καὶ ταῦτ᾽, οἶμαι, οὐκ ἐλάττω τῶν τριάκοντα κιβωτίων· ἃ χρὴ καὶ ταῦθ᾽ ὁμοίως τοῖς ἄλλοις κοινὰ γενέσθαι· σὺ δ᾽ ἐρευνήσας αὐτοῦ, ποῦ ποτε κεῖνται τὰ πέντε κιβώτια, ἃ περιὼν ἔτι Νικόλαος ὁ Πολυαίνης διέσωσεν εἰς Κισνόβην, καὶ εὑρὼν, πέμψον μοι αὐτὰ εἰς Γαλάζιον τὴν ταχίςην· ἔνθα μετὰ μικρὸν ἀφικόμενος λήψομαι· ἐκεῖθεν γὰρ ἀναχθεὶς, πλευσοῦμαι διὰ τοῦ Βοσπόρου ἐπ᾽ αὐτὰς τὰς Ἀθήνας· σὺ δ᾽ ἴσως ἀπορεῖς, ὅπως πότ᾽ οὐκέτι μέμνημαι περὶ Ζαγορίου, ὑπὲρ οὗ τὸν πάντα πεπόνηκα χρόνον· φεῦ! αὐτοῖς γὰρ πόνοις συναπέπτησαν ἤδη καὶ αἱ ἐλπίδες, τρισχιλίων, φησὶν, Ἀλβανῶν ἀγόντων καὶ φερόντων τὰς κώμας, καὶ μονονοῦ εἰς ἀνδραποδισμὸν ὡρμηκότων· ἀπαιτήσαντες γὰρ τὸν Σουλτάνον, ὃν ὀφείλει αὐτοῖς ἐπὶ τῷ πολέμῳ μισθὸν, καὶ μὴ τυχόντες, ἐτράποντο εἰς ἁρπαγὴν καὶ λῃστείαν, ἀμυνόμενοι ἐπ᾽ ἀλλοτρίοις ἀναλώμασι τὸν δεσπότην, ᾧ οὐδὲ μικρὸν μέλει Ζαγορίου καὶ τῶν τοιούτων. Ἐκ τούτων τοίνυν ἀπολέσαντες, ὃν ἔσχομεν ἔρωτά ποτ᾽ ἐκείνου, μεταφυτεύο-

μεν αὐτὸν, ἔνθα γελᾷ ἤδη ἡ ἐλευθερία, περὶ ἧς καὶ ἀπόλεμοι ὄντες, ἀλλ' οὖν κἀκ τῆς κλίνης αὐτῆς σύνισμεν ἡμῖν αὐτοῖς πολλὰ συμπεπονηκότες. Ἔῤῥωσο.

Κωνσταντίνῳ Ψωμάκῃ. (106.)

Ἥσθην ἀκούσας καί σε παρασκευαζόμενον κατελθεῖν ἐς Μεσολόγκιον, ἐν ᾧ ἐγεννήθης, καὶ ἀνετράφης, καὶ τὸ μέγιστον ἐπαιδεύθης· ἥδιον γὰρ εἶναι ἐν τοιαύτῃ πατρίδι ζῆν καὶ μάλιστα νῦν τὴν ἑαυτῆς ἀνασωσαμένῃ ἐλευθερίαν, ἢ ἐν ἀλλοδαπῇ τῇ ἐν ἀνομίαις καὶ συλληφθήσῃ, καὶ τὸ χείριστον εἰκότως ἀπολουμένῃ· καὶ ταῦτα μὲν εὖ ᾠήθης· ἀλλὰ τίποτ' ἐπήρθης τοσαύτην μακρὰν διά τε ξηρᾶς καὶ ὑγρᾶς ὁδὸν ὑποστῆναι, ἐξὸν τὴν ἐπιτομωτέραν κατ' ἄμφω ἑλέσθαι διὰ τοῦ Βοσπόρου· ὅθεν καὶ τὰ καθ' ὁδὸν ἀναγκαῖά ἐστιν εὐωνότερα, καὶ ἡ ἀσφάλεια μείζων; ἐῶ γὰρ λέγειν τὴν κατὰ τὴν Οὐγγαρίαν τῶν πανδοχείων σμικρολογίαν, ἀφ' ὧν οὐκ ἂν ῥᾳδίως ἀπαλλάξειας πρὶν ἂν ἀποδῷς αὐτοῖς καὶ τὸν ἔσχατον κοδράντην· ἀλλὰ καὶ τὴν ἐκεῖθεν διάπλευσιν τοῦ Ἀνδρίαντος ἐπιπονωτέραν διὰ μῆκος εἶναί φασιν. Εἰ οὖν μηδὲν ἕτερόν ἐστι τὸ κωλύον τὴν διὰ Βυζαντίου ἑλέσθαι, κατελθὼν εἰς Γαλάζιον κατὰ τὴν δεκάτην Αὐγούστου, ἀνάμενε κἀμὲ, ἵνα μετ' ἀλλήλων αὐτοῦ γενόμενοι, εὐθυμότερον συναμφότεροι διαπλέωμεν· δῆλον δ' ὅτι ἐκ τῶν ἀποβαινόντων ἀμφότερα. εἴη δ' οὖν ἡμῖν τὰ βελτίω. Ἔῤῥωσο.

*Κωνσταντίνῳ.* (107.)

Ὅτι μὲν, ὅσον ἐπαντλεῖς τὰς βοηθείας τοῖς δεομένοις, τοσοῦτον ἕλκεις τοὺς διψῶντας ἀρύσασθαι ἀπὸ τῶν ναμάτων τῆς σῆς πολυκρούνου πηγῆς πᾶσι δῆλον· δρόμος γὰρ συνεχὴς [illegible]ν δεομένων πρὸς σὲ, ἄλλου ἄλλην προβαλλομένων

αἰτίαν· ἀλλ' οὐράνιος ὑετὸς οὐκ ἐκλείψει ποτὲ πολλαπλάσιος κατιὼν εἰς τὸν καμψάκην τοῦ φιλανθρώπου σου οἴκου. τοιαῦτα γάρ μοι φιλοσοφεῖν παρέσχεν ἡ γυνὴ περὶ σοῦ, ἡ τὰ ἀνὰ χεῖράς σοι κομίσασα γράμματα· ἡ πολλῶν μὲν τέκνων μήτηρ γεγενημένη, ὑπὸ δὲ τῶν καιρῶν ἀποσπασθεῖσα τῆς ἰδίας πατρίδος, κατέστη καὶ τῶν ἀπόρων ἀπορωτάτη· διὸ μηκέτι δυναμένη ἐνταῦθ' ἑαυτῇ ἐπαρκέσαι, ᾠήθη δεῖν κατελθεῖν ἐς τὴν Ἑλλάδα, ὡς ἀμείνονος δῆθεν ἐκεῖ πειρασομένη τοῦ δαίμονος. Ὡς μηδὲν οὖν ἔχουσα πρὸς ὁδὸν, δεῖται καὶ σοῦ, καὶ παντὸς ἄλλου ἕως γ' ἐπὶ τὸ Βυζάντιον τὸ ἐφόδιον αὐτῇ ἐπαρκέσαι. Γενοῦ τοίνυν αὐτῇ εὐεργέτης, καὶ πολλαπλασίαζε σεαυτῷ τῇ πρὸς τοὺς τοιούτους καλῇ ἐργασίᾳ τοῦ δεσπότου τὸ τάλαντον. Ἔρρωσο.

*Τῷ Ἱλαρίωνι.* (108.)

Ὥσπρ αἱ τοῦ αἰθέρος νεφέλαι, τὴν τῆς γῆς καταπαύουσαι δίψαν, εὐετηρίαν τοῖς ζῶσιν ἀντὶ λιμοῦ ἐπαγγέλλονται· οὕτως αἱ τῶν σοφῶν καὶ φιλανθρώπων ἱεραρχῶν χορηγίαι, τὴν τῶν ἀπορουμένων διαμόχθηρον καὶ διακαῆ ψυχαγωγοῦσαι καρδίαν, ὑπισχνοῦνται τούτοις μὲν τὸ ζῆν ἀνεκτότερον, ἐκείνοις δὲ τὸ τυχεῖν, ὧν ἐλπίζουσι, βεβαιότερον· εὐμαθὴς δ' ὁ λόγος, εἴγ' ἐπιεικῶς ἐπιβλέψειας πρὸς τὸ γύναιον, τὴν τὰ γράμματά σοι ταῦτα κομίσασαν. Γενοῦ τοίνυν, Πάτερ, αὐτῇ φιλάνθρωπος, πόρον δοὺς ὀντινοῦν, ὅσον γενέσθαι αὐτοῖς τέκνοις ἐπ' αὐτὸ τὸ Βυζάντιον, ἀφ' οὗ ὁ καιρὸς ἐκσπάσας αὐτὴν, κατέστησε πάντων ἐνδεεστάτην· ἀντὶ δὲ τούτου αὐτή τε ἔσται σοι τῆς εὐποιΐας διαπρύσιος κήρυξ, καὶ ὁ τῶν ὀρφανῶν πατὴρ ὀφειλέτης τῆς πρὸς αὐτὴν φιλανθρωπίας· αὐτὸς γὰρ ἡμῖν εἴρηκεν, ὃ ἂν ποιήσωμεν τοῖς ἐλαχίστοις αὐτοῦ ἀδελφοῖς, τοῦτ' αὐτῷ ἐκείνῳ πεποιηκότες ἐσόμεθα. Ἔρρωσο.

Ἀγγελάκῃ καὶ Ἰωάννῃ. (109.)

Πολλάκις μὲν ἐπέστειλα ὑμῖν, τὸ ἀργύριον, ἐφ' ᾧ ὑμᾶς ἀμφοτέρους ἀπαιδεύτως οὕτως εἰπεῖν ἐξεπαίδευσα, ἀπαιτῶν ἀποδοῦναί μοι, ἀλλ' οὔπω οὔτ' ἀπαντήσεως τυχεῖν, οὔτε μὴν ἄλλως φωνῆς οἱασοῦν ἠξιώθην ἀκοῦσαι· ἀπὸ γὰρ τοῦ φανεροῦ, ὡς ἔοικεν, αἰσχυνόμενοι ἀπαρνεῖσθαι τὸ ὄφλημα, μηδὲ τὴν τύχην ἔτι δυνάμενοι μέμφεσθαι, σιωπῇ ἔγνωτε χείρους περὶ ἐμὲ γενέσθαι, καὶ ταῦτα νῦν παρασκευαζόμενον ἀναζεῦξαι. Τί οὖν με δεῖ ποιεῖν; ἀναγαγεῖν τὸ πρᾶγμα ἐς τοὺς δικαστάς; οὐμενοῦν· οὐ γὰρ ἂν ποιήσαιμι τοῦτ' ἔγωγε· πρῶτον μὲν γὰρ τοῦθ' ὅλως ἀπείρηται παρὰ τοῦ Δεσπότου· ὅς κελεύει πρὸς τῷ ἱματίῳ προσθεῖναι καὶ τὸν χιτῶνα τῷ ἀφαιρουμένῳ· ἔπειτ' ἐν πόλει ἀνόμῳ καὶ παρανόμῳ τί με δεῖ καὶ δικάζεσθαι μάτην; φαίη γὰρ ἂν καὶ πρὸς ἐμὲ ὁ δικαστής, ὃ καὶ πρὸς ἄλλους πολλάκις εἴρηται· δίκαιον ἔχεις διδάσκαλε, ἀλλ' ὁ ἐναγόμενός ἐστιν εὐγενής, καὶ οὐκ ἔχω ὅ,τι ποιῶ αὐτόν· τοιαῦτα γὰρ ἀναίσχυντα ὁρῶμεν παρ' ὑμῖν γιγνόμενα καθ' ἑκάστην, καίτοι ἐμέ γ' εἰκότως καὶ ἄλλως ἂν ἀποπέμψειεν ἄπρακτον, εἰπών μοι τὸ πάλαι θρυλλούμενον. Κακοῦ κόρακος κακὰ ᾠά. Τί οὖν ποιητέον πρὸς ταῦτα; μῶν καταφυγεῖν ἐπὶ τὰς ἀράς, τοῦθ' ὅπερ τοῖς ἀδυνατωτέροις ἐστὶ προχειρότατον, καὶ τὰς ποινίμους Ἐριννύας ἐπικαλεσάμενον, οὕτω τὸν θυμὸν ἐκχεῖν μάτην ἐς τὸν αἰθέρα; ἀλλὰ καὶ τοῦθ' ὁμοίως φθὰς ὁ σωτὴρ ἡμῖν ἀπηγόρευσεν, εὐλογεῖν ἐντειλάμενος τοὺς καταρωμένους ἡμῖν, καὶ ἀγαπᾷν τοὺς μισοῦντας· καὶ ὃ θαυμαστότερον ἔτι, δανείζετε, φησί, παρ' ὧν οὐκ ἐλπίζετε ἀπολαβεῖν· ἄλλως γὰρ τίς ὑμῖν ἀποκείσεται χάρις, εἰ ὃ καὶ οἱ ἁμαρτωλοὶ ποιοῦσι, ποιοῖτε; Οὐκοῦν λείπεταί μοι δυοῖν θάτερον, ἢ σιωπῇ ὅλως ἀπογνῶναι τὸ πρᾶγμα, τοῦθ' ὅπερ καὶ ὑμῖν, ὡς ἔοικεν, ἀπὸ γνώμης

σπουδάζεται, ἢ τὴν κομψοτέραν ὑποδυσάμενον κωμῳδίαν, ἀραῖς καὶ ἀφορισμοῖς ἀνωδύνοις πραΰνειν τὸ πάθος κατ' ἐμαυτὸν, τοῦθ' ὅπερ Καλογήροις ἐστὶν ἰσχυρότατον μάλισθ' ὅπλον. Ὡς δ' οὖν οὐδὲν ἀπὸ τοῦ πρώτου ἐλπίζεται γενήσεσθαί μοι παρ' ὑμῶν μετριώτερον, ἐπιχειρητέον ἀπό γε τοῦ δευτέρου, καὶ ταῦτ' εἰδόθ' ὑμᾶς φύσει κωμικοὺς ἐξ αὐτῶν τῶν προοιμίων τοῦ βίου γεγενημένους. Ἀφορισμός. Ἐπειδὴ τοίνυν ἀδικεῖταί με, ὦ παῖδες, γεγηρακότα ἤδη, ἃ ἀπὸ πολλῶν ἐτῶν ὀφείλεται δίδακτρα, μήτε ἀποδόντες, μήτε μέλλοντες· ἀλλὰ μήτ' ἐπιστέλλοντος ἐπαΐετε ὅλως, μήτε μὴν ἁπλῶς γ' ἐς λόγους βούλεσθε ἐλθεῖν, διὰ ταῦτα καταρῶμαι ἡμῖν, ἐς ἔσχατον γῆρας προβεβηκότας, πολλοὺς μὲν τῶν ὀδόντων ἀποβαλεῖν, ὥστε μηκέτι μήτε κάρυα, μήτ' ἀμύγδαλα, μήτ' ἄλλο τῶν τρωκτῶν τρώγειν δύνασθαι τηνικαῦτα, μήτε βόειον ὀπτὸν κρέας ἐσθίειν οἵους τε εἶναι, οἵῳ ἐτρέφοντο ἐν τοῖς ἔμπροσθεν χρόνοις οἱ ἥρωες· τῶν δὲ τῆς κεφαλῆς τριχῶν, καὶ τῶν ἄλλων, ὅσαι εἰσὶ φανεραὶ, τὰς μὲν ὅλως ἀποβαλεῖν, τὰς δὲ πολιοὺς ὑμᾶς ἐς ὑπερβολὴν καταστῆναι· τὰς δ' αὖ μὴ φανερὰς, εἴτι δεῖ καὶ τῶν ἀπορρήτων καθάπτεσθαι ταῖς ἀραῖς, ταύτας πάσας ἐκπεσεῖν ἔς γε τὸ λειότατον ὅλως, ὥστε μὴ ἐξεῖναι μηδ' αὐτῷ τῷ συκοφατοῦντι ἐφ' ὅτῳ δήποθ' εὑρεῖν, ὅ,τι καὶ παρατίλῃ κατὰ τὸν νόμον· τὰς δὲ ἐν ταῖς μυκτῆρσι μόνας τοὐναντίον αὔξεσθαι τρεφομένας καὶ ὑπερφυῶς μέχρι τῶν μαστῶν· τὸ δ' αὖ γένειον πάλιν λευκοτάτους καὶ κρινοειδεῖς ἀποκαταστῆσαι, οἵους μάλισθ' ὁρῶμεν ἐν εἰκόσι τοὺς Ἰσραηλίτας γεγενημένους, Ἀαρὼν ἐκεῖνον καὶ Μωϋσῆν, καὶ τοὺς ἄλλους τοὺς τῶν Ἰουδαίων μάλιστα Πατριάρχας· ἐπὶ δὲ τούτοις καὶ τοὺς ὄνυχας ὑμῖν μηκέτι αὔξεσθαι τοῦ λοιποῦ, μήτε τοὺς πόδας ἱδροῦν ταχίστοις κινήμασι· τούς τ' ὀφθαλμοὺς ἀμβλυτέρους γενέσθαι, ὡς δεῆσαι

ὑμῖν καὶ διοπτηρίων πρὸς τὸ βλέπειν σαφῶς τἀντικείμενα· καὶ ὑπὸ μὲν τῶν μυιῶν συνεχῶς ἐν ὕπνῳ μάλιστα τῷ ἡμερινῷ, ὑπὸ δὲ τῶν ψυλλῶν καὶ τῆς νυκτὸς ἐνοχλεῖσθαι· αἱ δ' αὖ βέλτισται κόρις ποιείσθων γενναίως τὸ ἑαυτῶν καταδυόμεναι μέχρι τῶν λαγόνων, καὶ μάλισθ' ὁπότ' ἔσθοιντο ὑμᾶς πῃ ἐν οἰκίᾳ καταλύοντας ἀλλοτρίᾳ· τὸ γὰρ αἷμα τῶν ἀγνωμόνων ἥδιστόν ἐστι τοῖς ποινιμωτάτοις αὐτοῖς ζωϋφίοις· Ὁ μὲν οὖν Ἀφορισμὸς οὗτος, ἀξιόχρεως, οἶμαι, τρέψαι τὰς ψυχὰς ἡμῶν εὐθὺς τῇ ἀπειλῇ πρὸς τὰ δίκαια· ὑμεῖς δὲ εἰ μὲν ἀναλγήτως ὑποσταίητε τοῦτον, ἄθεοι πάντες ἔσεσθε παρά τε θεοῖς καὶ ἀνθρώποις, ὡς μηδὲν σεβόμενοι τὰ παρὰ πᾶσι σὺν δέει πολλῷ καὶ φόβῳ ταῦτα κροτούμενα τῶν ἁμαρτωλῶν κολαστήρια· εἰδὲ μεταβαλλόντες, ἀποδώσετέ μοι τὸ ὀφειλόμενον, ἕξεθ' ἅμα καὶ τὴν λύσιν ἀπὸ τῆς ἀρᾶς. Ἔῤῥωσθε.

*Βρετῶνι τῷ ἰατρῷ.* (110.)

Τοὺς μὲν νέους καὶ ἐῤῥωμένους ὁ σφριγῶν αὐτοῖς ποῦς, ἐφ' ἃ ἂν βουληθῶσι, πανταχῇ ἀπόνως μεταβιβάζει· τῶν δὲ γεγηρακότων, καὶ ὧν τὰ γόνατα ἤδη λέλυνται, τοὺς μὲν εὐδαιμονεστέρους ζεῦγος, καὶ τοῦτο λευκὸν τυχὸν καὶ πάγκαλον ἐπὶ θάτερα ἀνακεκλιμένους τῆς οἰκίας ἐξάγει· τοὺς δὲ τῶν τοιούτων ἐστερημένους βάκτρον μόνον ὑποστηρίζον, ὁδηγεῖ πρὸς τὰς χρείας· ἐγὼ δ' οὖν καί τοι τῶν ἐσχάτων ἐπέχων τὸν τόπον, οὐδὲ τούτων ἀεὶ μιμοῦμαι τὸν τρόπον· ἀλλ ὥσπερ ἰδιόῤῥυθμός τις, ἀνέξοδος ὅλως εἰμὶ· κατ' ἐμαυτὸν ὡς ἐπί τινος ἐρήμου φιλοσοφῶν καὶ τοῦτ' ἄρα ποιεῖ με γραφίδι μᾶλλον χρώμενον, ἢ αὐτὸν

» Σκολιῷ διερειδόμενον σκίμπωνι.

πρὸς τοὺς φίλους τὰς δεήσεις ποιεῖσθαι· καὶ μάλιστα πρὸς

σὲ, ὃν καὶ λόγοι ἐτίμησαν καὶ ἡ τοῦ Ἀσκληπιοῦ ἐκόσμησε τέχνη. Εἴτις οὖν λόγος παρὰ σοὶ τῶν ἐμῶν, ἢ μᾶλλον εἰπεῖν τῶν Ἑλλήνων (πῶς γὰρ οὔ;) δεήθητι παρ' ἐμοῦ τοῦ εὐγενοῦς καὶ φιλογενοῦς Βαρώνου κελεῦσαι τοὺς ἐν Γαλαζίῳ τελώνας ἀφεῖναί μοι ἀτελῆ ἀναχθῆναι τὰ πεμφθέντα βιβλία· οὐ γὰρ ὤνια, οὐδ' ἐπ' ἐμπορίᾳ, ἀλλὰ δωρεὰν τῷ κοινῷ τῶν Ἑλλήνων ταῦτ', ἐφ' ᾧ τοῖς ἐνδεεστέροις τῶν μαθητευόντων ἐν τοῖς νέοις τῶν σχολείων διανεμηθῆναι, ἐσμὲν πεπομφότες· καίτοι καὶ τὸ τέλος τοῦτό ποτε, ὁπότ' ἀπὸ Βιέννης ἐκομίσαμεν ἐκεῖνα ὧδε, ἀπετίσαμεν τέλειον. οὔκουν δίκαιον, οἶμαι, δὶς ἔντε τῇ εἰσαγωγῇ καὶ ἐξαγωγῇ τῶν αὐτῶν τελεῖν τοῖς αὐτοῖς· ὃ οὔτε τοῖς νόμοις ἔξαι, οὔτε τοῖς τελώναις αὐτοῖς ἀνεκτόν· καὶ ταῦτ' ἐν οἷς εὐεργεσία τὶς πρὸς τὸ Πανελλήνιον φαίνεται γενομένη· ἧς σέ τε αὐτὸν καὶ τὸν ἀρχιτελώνην, καλόντε κἀγαθὸν ὄντα, ὡς συμπράκτορας ἀμφοτέρους βουλοίμην ἂν συμμετέχειν τὸ μέρος. Ἔῤῥωσο.

Ἰωάννῃ. (111)

Ἀκούω σε χαλεπῶς πρός με διατεθῆναι, ὅτι ἄλλοις μέν τισι, καίπερ ἀλλοτριώτερον πρός με ἔχουσι, πολλὰ τῶν ἐμαυτοῦ βιβλίων διένειμα· σὲ δὲ μόνον τῶν συνήθων τῆς τούτων ἀπηξίωσα δωρεᾶς· τοῦτο δ' οὖν ἔστιν μὲν ὡς λόγον ἔχον τινὰ, ἔστι δ' ὡς ἀδικεῖς, αὐτὸς μηδὲν ἑκουσίως ἁμαρτηκότι μοι χαλεπήνας· οὐ γὰρ κατὰ προαίρεσιν ἡμῖν τὸ ἁμάρτημα γέγονεν, οὐδ' ἐκ προβουλῆς διενείμαμεν τὰ βιβλία, ἵν' εἴχομεν οὕτω καὶ σὲ αὐτὸν ὡς ἐν διαγράμματι κατατάξαι· ἀλλ' ἐπειδὴ καιρὸς ἐλάμβανε πέμψαι αὐτὰ ἐς Ἀθήνας, ἀνοίξαντες τὴν ἀποθήκην, ἐπεσκευάζομεν τὰ πεπονηκότα τῶν κιβωτίων κἀν τούτῳ ᾔτησέ τίς τι, καὶ λαβὼν, ἀπῆλθεν· εἶτ' ἄλλος

καὶ ἄλλος ἄλλο πολλοὶ ἐξῆς τῶντε λογίων καὶ μὴ λογίων, ὁ μὲν ἑαυτῷ· ὁ δὲ τῷ παιδὶ, ἀθρόοι τινὲς πτωχοί τε καὶ πλούσιοι ἐκ μιμήσεως, ὥσπερ γύπες ἐπί τι πτῶμα πολλαχόθεν εἰς τὴν ἀπόλαυσιν συνεῤῥύησαν. Οὕτως οὖν λαβόντες, ὃ ἐβούλετο ἕκαστος, ᾤχοντο ἀπιόντες, δύω ὅλα τὴν ἡμέραν ἐκείνην τῶν κιβωτίων μοι ἐκκενώσαντες. Ταῦτ' οὖν μοι πιστεύσας εἰλικρινῶς εἰρῆσθαι, φέροις ἂν πρὸς τὸ παρὸν γενναιότερον τὴν ζημίαν· ἐπειδὰν δὲ (σὺν θεῷ εἰρήσθω) Ἀθήνῃσι μετ' ἀλλήλων γενώμεθα, αὐτά τε ταῦθ' ἕξεις, καὶ ἐθ' ὧν παρασκευάζομαι νῦν ἐκδοῦναι ἀπὸ πάντων τὸ μέρος πρόστιμον, ὧν ἐξήμαρτον, ἵνα μάθοιμι τοῦγε λοιποῦ μηκέτι ἐν τοῖς δωρεαῖς τῶν φίλων ἐπιλανθάνεσθαι, ὧν κἀν ᾅδου προσήκει μεμνῆσθαι. Ἔῤῥωσο.

## *Μανουήλῳ.* (112.)

Οὐκ ἂν ἔχοιμι μὴ οὐχί σε τῶν πόνων ἐπαινεῖν τὰ εἰκότα, οὓς γ' ὑπέστης, τὴν τοῦ Ναπολέοντος μεγάλην ἐκστρατείαν ἐπὶ Μόσχαν εἰς τὴν ἡμετέραν μεταφράσας φωνήν· καὶ γὰρ καὶ ἡ παροιμία παιδεύει, φθονερὸν τὸν μὴ εὔφημον στόμα Ἡρακλεῖ παραβάλλοντα εἶναι κηρύττουσα· σὺ γὰρ τά τ' ἄλλα διαφέρεις τῶν Βλάχων, καὶ δὴ καίτοι παρ' αὐτοῖς γεννηθεὶς καὶ αὐξηθεὶς, τῷτε ἤθει ἀνομοιότατος ἐκείνοις τυγχάνεις γεγενημένος, καὶ παιδείᾳ Ἑλληνικῇ, τῆς τῶν τεκόντων Ἑλληνικῆς ἐχόμενος ἀρετῆς, διαπρέπεις τὰ μάλιστα· καὶ οἷον κλάδος καλλιελαίου ἀγριᾳ ἐνκεντρισθεὶς, τῆς ἀπ' ἐκείνης κακοχυμίας οὐ μετέσχες παντάπασιν, ἀλλ' αὐτὸς, ὡς εἰκὸς, τῆς σεαυτοῦ ἐκείνῃ μεταδίδως ποιότητος. Ἀλλ' ὁ τοιοῦτον ἐν πολλαῖς τοῦ βίου φροντίσιν ἀνελόμενος πόνον, πῶς οὐκ ἂν προσθείης ἔτι μικρὸν, ὥστε καὶ κοινὴν τὴν βίβλον διὰ τοῦ τύπου ποιῆσαι τοῖς Ἕλλησι; καὶ ταῦτ' εὖ εἰδὼς, ὡς τά γε τοιαῦτα, ἐν τοῖς κιβω-

τίοις ἀνέκδοτα κείμενα, ἄχρηστα γίγνεται, ὥσπερ καὶ πηγὴ ἐν ἐρημίᾳ, ἐξ ἧς οὐδεὶς ἂν ἀρύοιτο; ἐῶ δὲ λέγειν, ὡς καὶ τὸ φιλότιμον αὐτὸ, τοῦτο δὴ τὸ ἐντονώτατον πρὸς τὰ καλὰ ἐλατήριον, ὁπότε μὴ ἀρδεύοιτο τοῖς ἐπαίνοις ἀξίως, ἠρέμα ὑπομαραίνεται· ἵν' οὖν καὶ πρὸς ἄλλα προθυμότερος γένοιο, δὸς σεαυτὸν τοῖς τὰ σὰ ἐπαινεῖν καὶ θαυμάζειν ἐθέλουσιν· εὐγνωμοσύνη γὰρ ὁμολογουμένη, ὥσπερ ἀκόνη, τὴν ψυχὴν πρὸς τὸ εὖ ποιεῖν παραθήγει. Ἔῤῥωσο.

*Γεωργίῳ.* (113.)

Οὔτ' ἀγαθὸν κακοῦ τινος γενόμενον αἴτιον, λέγοιτ' ἂν ἀγαθὸν ἀληθῶς, οὔτε κακὸν κακοῦ μείζονος ἀποτρεπτικὸν ἐν τοῖς κακοῖς, ἢ τοιοῦτον, ἀριθμοῖτ' ἂν δικαίως· αὐτίκα γὰρ τὸν Πάγκαλον Ἰωσὴφ οἱ ἀδελφοὶ, φθόνῳ δεδουλευκότες, ἐμελέτησαν ἀποκτεῖναι· ἀλλ' ὁ Βενιαμὶν μεταπείσας ἐκεῖνον ἀπεμπολῆσαι, μετριωτέραν αὐτῷ τὴν ἀδικίαν γενέσθαι ἐποίησε· καὶ ἐλογίσθη ἡ πρᾶξις αὐτῷ ἤδε εἰς εὐεργεσίαν· ὅθεν δάκρυ' αὐτοῖς καὶ προσφθέγματα φίλα ἦν ἔπειτα ἐν ἀμνηστείᾳ τῶν παρελθόντων. Τοιοῦτος οὖν καὶ αὐτὸς πρός με ποτὲ γεγονὼς, δικαίως νῦν μου καταγινώσκεις ἀχαριστίαν, ὅτι σὲ μόνον, ὡς φὴς, τῆς τῶν βιβλίων ἀπέκλεισα δωρεᾶς· ἐν γὰρ τῇ τῶν κακούργων ἐκείνων ἐπ' ἐμὲ συνωμοσίᾳ ποτὲ καὶ αὐτὸς ὢν, τῶν ἄλλων ὅλως ἀποτολμησάντων με ἀποκτεῖναι, καὶ αἵματι γνόντων ἀποσβέσαι τὸν ζέοντα φθόνον, σὺ μόνος, καὶ εἴτις ἕτερος, ἀντιστὰς τῷ τολμήσαντι, μὴ ξίφει, ἀλλὰ ῥοπάλῳ μᾶλλον χρήσασθαι ἐπὶ κόῤῥης τὴν σαυτοῦ ψῆφον δέδωκας, μετριωτέραν οὕτω τὴν ποινὴν, ἐφ' οἷς ἐφθονούμεθα, μεταπείσας ἡμῖν ἐπιθεῖναι· ὃ, καί περ καὶ τοῦθ' ἄλλως ὡς μάλιστα γέγονεν ἐπικίνδυνον, ἀλλὰ παραδόξως ἐφάνη σωτήριον· κἀντεῦθεν μάλιστα αἴτιον καὶ ἄλλα πολλὰ τοῖς πάλαι,

ἐφ' οἷς ἀνεφύη ὁ φθόνος, περιόντας ἡμᾶς προσθεῖναι πονήματα· εἰ γὰρ μὴ ἐσώθην τότε, σωτηριωδεστέραν σου τὴν ψῆφόν μοι δόντος, οὐκ ἂν νῦν παρεσκευαζόμην ἐκδοῦναι τὰ δεύτερα, τότε σωθεὶς, ὥσπερ τινὰ σιτοδείαν πρὸς ἀπαλλαγὴν ἀπὸ τοῦ Αἰγυπτιακοῦ λιμοῦ, εἰ μήτι νεανιεύομαι, κἀγὼ πειρώμενος θεραπεῦσαι· ἀνθ' ὧν ἵνα μήτ' ἐγὼ ἀγνώμων σοι τὸ σύνολον γένωμαι, καὶ αὐτὸς δικαίως ἀπολάβῃς τὴν ὀφειλὴν, περίμενε ἐν ἀποτυχίᾳ τῶν πρώτων τὴν ἔκδοσιν τῶν δευτέρων· ὧν διπλασίαν τὴν χάριν ἔσῃ ἀπηλειφὼς, καὶ ὅλως ἀξίαν, ὧν εὖ με τυγχάνεις πεποιηκώς· οὐδὲ γὰρ ἐν ᾅδου ἔγωγε τῆς φιλανθρώπου τοῦ ῥοπάλου ἐκείνης ἐπιλαθοίμην καταφορᾶς. Ἔρρωσο.

## *Πολυκάρπῳ.* (114.)

Καίτοι καὶ ἄλλοτε πολλάκις ἐπεβαλόμην μοχθηρᾶς ἀποτρέψαι σε συνηθείας, ὅπως χρὴ ἐν ταῖς τῶν ἄλλων ἀναστρέφεσθαι συνουσίαις, πολλὰ καὶ δίκαια νουθετήσας, πολλάκις δ' ἐξηλέγχθην μάτην τοῦτο πεποιηκώς· ἀλλ' οὐδ' ἂν νῦν γε ἔτι ἀποσχοίμην εἰκότως ὡς κανόνας τινὰς εἰπεῖν σοι, ἃ ἐμοὶ μὲν ὀφείλεται λέγειν, σοὶ δὲ ἴσως ἀκούειν, εἴτις ἔτι σοι τῆς ἐμῆς περί σε σπουδῆς καὶ πτοήσεως λόγος λείπεται. Ἴσθι τοίνυν, ὡς τῶν καθηκόντων ἡμῖν (ἵν' ἐντεῦθεν πρεπωδέστερον ἄρξωμαι) τριχῇ διαιρουμένων ἐν γένει, τὸ μὲν πρὸς τὸ θεῖον ποιεῖ τὴν εὐσέβειαν· τὸ δὲ πρὸς ἑαυτὸν τὴν σωφροσύνην ἐργάζεται· τὸ δὲ πρὸς τοὺς παρ' ἡμᾶς καὶ καθ' ἡμᾶς πᾶσαν περιέχει δικαιοσύνην. Τούτων δ' οὖν οὕτως ἐχόντων, ὃς μὲν ἂν τῷ πρώτῳ ποτὲ προσκρούσῃ, οὗτος αὐτῷ τῷ θεῷ, ᾧ προσέκρουσε, μόνῳ ὑπεύθυνος γίγνεται· κἀκεῖθεν μόνον τὰ, ἐφ' οἷς παρανομήσειεν, ἐπιτίμια περιμένει· ὃς δὲ τῷ δευτέρῳ τῷ εἰς ἑαυτὸν, κἂν τούτῳ ὁμοίως ὁ ἐξαμαρτὼν

αὐτὸς παρ' ἑαυτοῦ, ὡς ἀδικῶν καὶ ἀδικούμενος ὁ αὐτὸς, δίκην λήψεται· ἄλλος δὲ οὐδεὶς ἂν σὺν λόγῳ καὶ αὐτῷ ἐγκαλέσειεν, εἰ μή τις φιλίᾳ, ἢ ἄλλως ἐκ συμπαθείας βούλοιτο ἰδίᾳ κατὰ τὴν ἐντολὴν νουθετῆσαι, ᾧ πεισθεὶς ἂν ἐκεῖνος, τυχὸν μεταβάλοιτο· εἰ δέ τις παρὰ ταῦτα, παραβὰς τὸ τρίτον, βλάψειέ τινα τῶν πολιτῶν, καὶ τὸ ὅλον σῶμα, ἐν ᾧ καὶ αὐτός τις ἕκαστος ἀριθμεῖται ὡς μέλος, συναδικήσειε, τηνικαῦτ' ἐφεῖται ἴσως τῷ βουλομένῳ καὶ ἐπιτιμῆσαι αὐτῷ τὰ εἰκότα, καὶ εἶποι παρήκοι, ἀδικίας ἐν δικαστηρίοις ἐπεξιέναι· καθάπερ γὰρ τὰ ἡμέτερα μέλη συμπάσχει τῷ πάσχοντι καὶ νοσοῦντι ἐκ συναισθήσεως· οὕτω καὶ οἱ πολῖται οὐκ ἀμέτοχοι ὅλως τῆς τῶν ἄλλων ζημίας καὶ βλάβης ἂν εἶεν τῶν γ' ἐν τῷ αὐτῷ πολιτεύματι συντελούντων· ὥσπερ γὰρ ἐκ τῆς εὐδαιμονίας ἑκάστων συνευδαιμονεῖ τὰ κοινά· οὕτως ἐκ τῆς κακοδαιμονίας τῶν αὐτῶν κακοδαιμονεῖ· διὸ καὶ δίκαιος πᾶς ἂν εἴη τοῖς ἀδικουμένοις συγχαλεπαίνειν· σὺ δ' οὖν ἀγνοῶν ὅλως ταῦτα, παρὼν ἐν τοῖς δυσὶν ἡγουμένοις, ἐν οἷς πολλή σοι ἂν εἴη διατριβὴ, τὰ κατὰ σεαυτὸν ἐπανορθοῦν ἐξετάσαντα, ἐξαλλόμενος ἐν τῷ τρίτῳ, μεταβαίνεις ἀνοήτως ἐπὶ τἀλλότρια, καὶ ὥσπερ ἐνθουσιῶν, ἐπιπηδᾷς παραβόλως τοῖς μηδὲν ἀδικήσασιν· ἀλλ' αὐτὸς μάλιστ' αὐτοὺς ἀδικεῖς, ἀσεβεῖς, τοῦτο δὴ τὸ τοῖς ἀνοήτοις γιγνόμενον προχειρότατον, καὶ ἀθέους συνήθως καλῶν, καὶ συκοφαντῶν πρὸς τοὺς τὰ σὰ φρονοῦντας, καὶ ταῦθ', ὅτι ἀνομοιότατοι καὶ σοῦ αὐτοῦ κἀκείνων ὁμοίως εἰσὶ ταῖς περὶ τὰ τοιαῦθ' ὑπολήψεσι, μηδὲν φροντίζων, ὅτι σοῦ ἔν γε τῷ κρυπτῷ ἐκεῖνοι πολλῷ εἰσὶν εὐσεβέστεροι· οὐ γὰρ λόγοις, ὦ θαυμάσιε σύ γε, λέξεσιν ὀγκώδεσι πυργουμένοις πρὸς τοὺς παρεστῶτας, πιστοῦται εὐσέβεια, ἀλλὰ πίστει καὶ ἔργοις μάλιστα βεβαιοῦται· ἃ καθ' ἑαυτὸν ἕκαστος πράττειν ὀφείλει, μηδὲν ἐνδι-

κνύμενος πρὸς τοὺς περὶ αὐτόν· πίστις γὰρ καὶ ἔργον ὁτιοῦν, ἐξ ὑποκρίσεως ἐνεργούμενον, ἄμφω κίβδηλα· οὕτω γὰρ κἀν ἱεροῖς λόγοις ποιεῖν προστετάγμεθα, τὸ τῆς δεξιᾶς ἔργον ἀποκρύπτειν τὴν ἀριστεράν· καὶ δεῖξον, φησὶ, τὴν δικαιοσύνην σου ἐκ τῶν ἔργων σου· σὺ δ᾽ ἐφ᾽ οἷς ἐξελέγχειν πειρᾷ τοὺς ἄλλους ὡς ψυχροὺς τὴν θρησκείαν, μηδὲν δέον τοῦτο παρατολμᾷν ἔν γε τῷ πρώτῳ τῶν καθηκόντων, ἐπὶ τούτοις λέληθας σεαυτὸν ἔνοχος τῷ τρίτῳ γεγενημένος, ἐξ ὧν αὐτὸς συκοφαντῶν, μισητοὺς ἐκείνους ταῖς διαβολαῖς καθιστᾷς πρὸς τοὺς ἄλλους· οἷς γὰρ πράττεις, τὸ τῆς σεαυτοῦ εὐσεβείας σεμνὸν ἐνδεικνύμενος, τούτοις αὐτοῖς, ἅτε δὴ τῇ δικαιοσύνῃ μαχόμενος, ἀσεβεῖς ἀποκαλῶν, οὓς ἥκιστ᾽ ἐχρῆν, εἰς ἀσέβειαν αὐτὸς περιέστης· ὁρᾷς οἷα δρᾷς; Ἀπέχου τοίνυν, ὦ ἄριστε, τοῦ γε λοιποῦ τῆς συνήθους ταύτης κακοηθείας, ἵνα μὴ ποθ᾽ ὕστερον, ἡνίκ᾽ οὐδὲν ὄφελος ἔσται, ἐπαινέσεις τὸν σοφὸν Ποιητὴν, ἐκεῖνα σοί τε καὶ τοῖς ὁμοίοις σοι ἐντείναντα ᾄσματα·

« Ἀχαλίνων στομάτων,  
« Ἀνόμου τ᾽ ἀφροσύνης  
« Τὸ τέλος δυστυχία·

ἐῶ δὲ λέγειν τὸ τοῦ Σωτῆρος, ὡς ὁ εἰπὼν τὸν ἑαυτοῦ ἀδελφὸν ῥακᾶν, ἔνοχος ἔσται τῇ κρίσει· καὶ γὰρ

Γλῶσσ᾽ ἀκρατὴς οὐκ ἔσθ᾽ ὅλως ἀζήμιος. Ἔῤῥωσο.

## *Εὐφροσύνῳ.* (115.)

Ἄλλα τε πολλὰ τὴν ἀπὸ τῆς χώρας ταύτης ἀναχώρησιν ἀλγεινήν μοι ποιεῖ· (τό, τε γὰρ γῆρας κατὰ μικρὸν ἐπιβρῦθον, ὀκνηρότερόν με καθίστησι, καὶ δὴ καὶ ἡ συνήθεια ἡ μακρὰ οὐκ ἐᾷ με ἀποσπασθῆναι ῥᾳδίως) ἀλλὰ καὶ ὁ Χότζος οὑμὸς, οὗ λόγος πολὺς παρὰ πᾶσι βροτοῖς τε θεοῖς τε καὶ οὐρανίοις

πετεηνοῖς οὐκ ἐλαχίστην μοῖραν πρὸς τοῦτο συμβάλλεται. τοῦτον γὰρ γαλακτοτροφούμενον ἔτι λαβὼν ἔτρεφον εἰς ἀπόπειραν τοῦ πόσ' ἄρ' ἔτι δύναται ζῆν ἡ γαλῆ· νῦν δὲ δέκατον καὶ ἕκτον ἔτος ἄγων, κατερρικνωμένος ὅλως ἤδη, καὶ ὅμοιος τῷ δεσπότῃ, οὔτ' ἀκολουθεῖν δυνατὸς οὕτω μακρὰν καὶ διαπόντιον ὁδὸν, οὔτε μὴν μεῖναι αὐτῷ συμφέρει· παρὰ τίνι γὰρ ἂν τοσούτων ἀγαθῶν τοῦ λοιποῦ ἀπολαύοι, ὥστ' ἐπισφραγίσαι τὴν εὐδαιμονίαν ποτὲ αὐτῷ τῷ θανάτῳ, εἰ μὴ σύ γε, φιλόσοφος ὢν, τήν τε μετ' αὐτοῦ ἔν τε τῷ σχολείῳ καὶ ἀλλαχῆ συνήθειαν αἰδεσθεὶς, καὶ τοὺς λόγους, οὓς συνηγορῶν ποτε τῷ δεσπότῃ, εἶπε κατὰ τῶν κακούργων, τιμῶν, ὑποδέξῃ παρὰ σεαυτῷ, καὶ ταῖς αὐταῖς, ἐν αἷς διεβίωσε τρυφαῖς τε καὶ ἀναπαύσεσι, τὰ εἰκότα γηροκομήσεις· ἄλλος γὰρ τοιοῦτον προδοῦναι συνέστιον, καὶ ταῦτ' ἐν γήρᾳ, σφόδρ' ἔμοιγέ ἐστιν ἀλγεινόν· δεξάμενος δ' ὁμωρόφιον, ἕξεις ἡδίστην διατριβὴν, φιλόσοφος φιλοσόφῳ συνών· οἶσθα γὰρ ὡς ἐν τῷ μακρῷ τούτῳ βίῳ, ὃν διεβίωσε παρ' ἐμοὶ, οὐ διέλιπεν οὔθ' ἡμέραν, οὔτε νύκτα ἀκροώμενος ἐπὶ τῶν ἐμῶν γονάτων πάνθ' ὅσα ποτὲ ἄλλοι ἄλλα τῶν μαθητῶν ἤκουσαν παρ' ἡμῶν· ὧν οὐκ ὀλίγον ἀπώνατο, καὶ μάλιστα ἐν τοῖς ἠθικοῖς, καὶ οἰκονομικοῖς· πᾶν γὰρ ὅ,τι ἂν πράττῃ, σὺν λόγῳ καὶ τάξει τοῦτο ποιεῖ, ἐφ' ἑκάστου τῶν καιρῶν τὸ προσανῆκον μέτρῳ καὶ κόσμῳ περαίνων. Ἔρρωσο.

## *Τῷ αὐτῷ.* (116.)

Οὐχ' οὕτως εἰκῆ πρῴην ἐπὶ Καλογήρους τῷ λόγῳ ἐπεστρατεύσαμεν· οὔθ' ὁμοιοσχήμονες ὄντες, ὡς αὐτοὶ φασὶν, ἐναντίως τῷ τάγματι βαίνομεν· ἀλλ' ὁρῶντες, ἃ πράττουσι, ταῦτ' ὡς μεστὰ ὑποκρίσεως μετὰ τοῦ Ἰησοῦ ἐξελέγχοντες,

πρὸς τὰ τοῦ Εὐαγγελίου ἔργ' αὐτοὺς, ὡς ὑποκριτὰς τινὰς ὄντας, τὸν μὲν κώνωπα διϋλίζοντας, τὴν δὲ κάμηλον καταπίνοντας, ἠρέμα προσάγειν πειρώμεθα· ἔπειτ' οὐδὲ τὸ ὁμόσχημον τοῦτ' ἀξιόχρεων, οἶμαι, πεῖσαι ἡμᾶς μετ' ἐκείνων παρανομεῖν· πρῶτον μὲν γὰρ ἀνὴρ φιλόσοφος ὁστισοῦν ὀφείλει ἀεὶ φίλος τῆς ἀληθείας εἶναι, οὐμὴν δὲ κατὰ φατρίαν, ἐν οἷς ζητεῖται ἀλήθεια, ἀλλ' ἀπὸ γνώμης παῤῥησιάζεσθαι, εἰ βούλοιτο μὴ ψεύσασθαι τοὔνομα, μήδ' ἐκπίπτων πολλάκις, αἰσχύνεσθαι· ἔπειτ' οὐδ' ὅπως ἂν εἴην αὐτοῖς ταὐτοσχήμων ἔγωγε οἶδα τοῦτο· ἐγὼ μὲν γὰρ ἱερεύς εἰμι ἄγαμος θεοῦ τοῦ Ὑψίστου, ζῶον ἐκ ζώου κατὰ τοὺς θείους καὶ ἀνθρωπίνους ἄνωθεν νόμους κοινωνικόν· ὃ καὶ φιλάξαι ἐξ ἀρχῆς ἀμίαντον, ὡς ὑπέσχημαι, ὁμολογῶν, οὐ καυχήσομαι· ἀλήθειαν γὰρ φημί· αὐτοὶ δὲ εἰσὶ τοῦτ' αὐτὸ μοναχοὶ ἀκοινώνητοι καὶ κηφῆνες, οἱ λαβόντες τὸ ἱερὸν Εὐαγγέλιον ἐν χερσὶ, καὶ παραστάντες τῇ εἰκόνι τοῦ σωτῆρος Χριστοῦ, ὡμολόγησαν ὅρκοις φρικτοῖς ἦ μὴν μηκέτι ζῶντες ἔσεσθαι ἐν τῷ βίῳ, ἀλλ' αὐτοὶ καθ' ἑαυτοὺς ἐν ἐρημίαις νεκροὶ, καὶ ὅλως ἀθάνατοι τοῖς ἀνθρώποις· οὐδ' ἄνθρωποι, ὅπερ εἰσὶν, ἀλλ' ἄγγελοι, ὅπερ οὐκ εἰσὶν, ἐφιέμενοι εἶναι· εἶτα τούτων ὥσπερ ἐπιλαθόμενοι, οἱ ἐν ἐρήμῳ διαβιώσεσθαι μετὰ τῶν ἀγγέλων ἐπαγγειλάμενοι, ἐν ταῖς πόλεσι μεθ' ἡμῶν τῶν ἁμαρτωλῶν ἀναστρέφονται· καὶ οἱ ἀκτημοσύνην ὀμόσαντες, βαλάντια ἐπὶ βαλαντίοις μετὰ πολλῆς τοξεύουσι τῆς πτοήσεως· καὶ οἱ πρὸς τὴν γῆν αὐτὴν ἐξ ἐπαγγέλματος κεκυφότες, μόλις καὶ ταύτην ἐπιτετραμμένοι ὁρᾷν, ὡς ἁβρῷ τῷ αὐχένι περιΐασιν ἐπ' ὀχημάτων, ἀξιώματα παραγγέλλοντες, καὶ δόξαν διώκοντες, οὐκέτι τὸν ἐν ἐρημίαις παράδεισον μνημονεύοντες, οὐδὲ τὸν ἀγγελικὸν περικείμενοι βίον, ἀλλ' Ἐπισκοπὰς καὶ Μοναστήρια, ἐξ ὧν ἐξέσται αὐτοῖς ὡς μάλιστα εὐρύνειν τὸν τράχηλον, τὰ τοιαῦτα

θηρώμενοι· ἐῶ δὲ λέγειν, ὡς οἱ νεκροὶ οὗτοι ἄγγελοι, ὡς ἐν τρυφαῖς τε καὶ θαλίαις ὁσημέραι διατελοῦντες, καὶ τὰς σάρκας λιπαίνοντες, καὶ τοῖς κρασπέδοις διασοβοῦντες, οὐκ ἄγγελοι τελευταῖον, οὐδὲ νεκροί τινες, ἀλλ' αὐτόχρημα Πρίαποι ἐν τοῖς ἑαυτῶν ἀποβαίνουσιν ἔργοις. Ἀλλ' ἱλήκοι αὐτοῖς ὁ Σωτὴρ, ὁ μόνος αὐτοῖς ἐσόμενος δικαστὴς, ὡς μόνος τὰ τῶν ἀνθρώπων εἰδὼς ἀτοπήματα· πλὴν κἀκεῖνοι παυέσθωσαν κακῶς ποιοῦντες ἡμᾶς, μηκέτι διαβάλλοντες, ὅτι ἀνομοίως αὐτοῖς τυγχάνομεν ἔχοντες, ἐν ταῖς τῶν πολλῶν ὑπολήψεσι, τοῦτο δὲ τὸ καὶ προχειρότατον τοῖς ὑποκριταῖς κατὰ τῶν διδασκάλων, ἀθέους τε καὶ κακοδόξους κηρύττοντες· μήδ' εὐσεβείας, ἣν οὔτ' ἔχουσι δι' ὑπόκρισιν, οὔτ' ἴσασι δ' ἀμάθειαν, σχῆμα ἔξωθεν περικείμενοι, τὰ ἔργα ἡμῶν, εἴτι ὄφελος τούτων ἐστὶ τοῖς πολλοῖς, κωλυέτωσαν· εἰδὲ μὴ, ἡ παροιμία αὐτοὺς νουθετείτω, μηδέποτε ἅψασθαι τῆς τοῦ τέττιγος πτέρυγος ἐκπαιδεύουσα· οὐ γὰρ ἄφωνοί τινες ἐσμὲν, οὐδὲ τῆς γραφίδος φειδόμεθα.

*Λάμπρῳ.* (117.)

Ἀναγνοὺς ἡδέως, ἅ μοι ἐπέστειλας, χάριν σοι οἶδα μεγίστην· ἐφ' οἷς τε τῶν βιβλίων, ὅπως ἀσφαλῶς ἀποσταλῶσιν εἰς Γαλάζιον πρὸς τοὺς ἡμετέρους Πρασίνους, ἐφρόντισας, καὶ δὴ ὅτι καὶ αὐτὸς ἐπέῤῥωσαι συγκατελθεῖν εἰς Ἀθήνας. Ἀλλ ἀκήκοας, οἶμαι, κἀκεῖνο, ὡς ὁ Λεοπόλδος παρῃτήσατο τοῦ εἶναι ἡγεμὼν τῶν Ἑλλήνων· κἀκ τούτου πως συντετάρακται τὰ ἡμέτερα, πολλῶν περὶ τῶν τῆς Ἑλλάδος ὅρων ἀναφ...εισῶν πρὸς τοὺς συμμάχους ἀμφισβητήσεων. Ἐπὶ δὲ τούτοις κἀκεῖνο οὐκ ἔλαττω πρὸς τὴν κάθοδον ἐπιφέρει τὸν ὄκνον· οὐδὲ γὰρ ὅπῃ καταλύσῃ τις, ἐστὶ ῥᾳδίως εὑρεῖν, ὥς φασιν

οἱ ἐκεῖθεν ἀφικνούμενοι δεῦρο, πολλῶν μὲν εἰς Ναύπλιον καὶ Αἴγιναν αὐτὴν συῤῥυέντων ἀνθρώπων· τῶν δ᾽ Ἀθηνῶν αὐτῶν, ἔνθα ποτ᾽ ἂν εἴη τοῖς πλείστοις τῶν κατιόντων ἀποκατάστασις, κατεχομένων ἔτι ὑπὸ τῶν Τούρκων. Ἄμεινον τοίνυν ἡμῖν ἀναβαλέσθαι εἰς ἔαρ τὴν πρόθεσιν, ὁπότε καὶ τὰ πνεύμαθ᾽ ἡμῖν δεξιώτερα, καὶ ὁ Ποσειδῶν εὐμενέστερος. Περὶ δὲ οὗ προστίθης μοι μειρακίου, εἰ μὲν ἀληθῶς ἔσθ᾽ οὕτω φιλομαθὴς, καὶ εὐάγωγος, πέμψον μοι αὐτὸν τὴν ταχίστην· ὑπισχνοῦμαι γὰρ αὐτῷ τὴν παιδείαν καὶ ἔτι κρείττω, ἢ προσεδόκησεν· εἰ δὲ ἰδιόῤῥυθμός τις καὶ ἄστατος ὢν τυγχάνει, μή μου ἐνοχλείτω τῷ γήρᾳ· μόνους γὰρ ἐσμὲν ἱκανοὶ τοὺς πρᾴως ἡμῶν καὶ σωφρόνως ἀκούοντας ἐκπαιδεύειν· τοὺς δ᾽ ἐκδεδιῃτημένους καὶ Πυθαγόρας τῇ πενταετεῖ ἐχεμυθίᾳ, ἥ φασιν, ἀπεπέμπετο. Ἔῤῥωσο.

## Τῷ Περικλεῖ. (118.)

Ἐρωτᾷς ἴσως τίποτε ποιῶν διατρίβω; φιλοσοφῶ περὶ θανάτου, οὗ μνησθῆναί με ἐποίησαν μάλιστα οἱ ἐφέτος τεθνηκότες τῶν διδασκάλων, Στέφανος ὁ Δούγκας, Νικόλαος ὁ Πολυβαίνης, καὶ Στέφανος ὁ Κομμητᾶς, οἱ πολλὰ πονήσαντες ὑπὲρ τῆς κοινῆς βελτιώσεως. Ἀλλὰ περὶ τούτων μὲν εἴποις ἂν αὐτὸς, ὡς προβεβηκότες τῇ ἡλικίᾳ, καὶ τὸ ἑαυτῶν καλῶς ἀποτίσαντες τῇ πατρίδι, γαῖαν ἔχοιεν ἐλαφράν· περὶ δὲ Παναγιώτου καὶ Νικολάου τῶν Σιλιμνιτῶν, τούτων δὴ τῶν κορυφαίων μὲν τῶν ἐμῶν μαθητῶν, σῶν δὲ συμφοιτητῶν, τί ἂν εἰπών μοι, ἱκανὴν παράσχοις παραμυθίαν εἰς τὸ μετασῆσαι τῆς κατεχούσης με λύπης; οὗτοι γὰρ οὐ μᾶλλον ταῖς περὶ τὰ καλὰ ἐμπειρίαις, ἢ καὶ τῇ εὐγνωμοσύνῃ, ὥσπερ καὶ τοὺς τεκόντας τῶν παίδων οἱ ἄριστοι, ηὔφρανον περιόντες διδά-

σκαλον ἤδη γεγηρακότα, καὶ πολλὰ ὑπὲρ αὐτῶν πεπονηκόθ', ὅπως ἄξιοι ἀποβαῖεν τῆς τῶν πραγμάτων διαδοχῆς· καὶ ἔδειξαν πάντως ἐκεῖνοί γε μάλιστα τοῦτο ὄντες, ὁ μὲν ἐν Στεφανουπόλει· ὁ δὲ, ἐν Σιλίμνῳ ἀξίως τῶν ἐλπίδων πένθ' ὅλα ἔτη ἐν τῷ κοινῷ τὴν νεολαίαν διδάξαντες· ἔνθα πολλοὺς τῶν μαθητευσάντων οὐ μόνον ἐν φιλολογίᾳ, ἀλλὰ καὶ ἐν φιλοσοφίᾳ ἐν βραχεῖ χρόνῳ ἐπιδεδωκότας ἀπέδειξαν· νῦν δ' ἐλθὼν ὁ θάνατος ἀπὸ μέσων τῶν ἐλπίδων ἀφήρπασεν ἀμφοτέρους, τοὺς οὐ μόνον ἐπιστήμῃ καὶ ἤθει, ἀλλὰ καὶ ἡλικίᾳ καὶ προαιρέσει ὁμοιοτάτους γεγενημένους, οἱονεὶ αἰσχυνόμενος τοὺς τοσούτοις καὶ τοιούτοις ἡνωμένους πλεονεκτήμασιν ἀπ' ἀλλήλων γε διαζεῦξαι φεῦ τῆς ἀγαθῆς ξυνωρίδος! κοὐκ οἶδα ὅ,τι δεῖ πλείω λέγεν· Νεμέσεως γὰρ ὅλως ἡμῖν βαρὺ βέβληται βέλος. Ἐπὶ τούτοις οὖν λυπούμενος λίαν, ὅσον ἔχαιρον τέως, περιόντων ἐκείνων, ἀπορῶ, ὅ,τι ποτέ μου κατεγνωκὼς, τείρει με νῦν ὁ δαίμων, οὕτω καθ' ἕνα ἕκαστον τοὐμὸν ἀφαιρούμενος σεμνολόγημα. Ἀλλὰ ζώης μοι σύγε, καὶ ἐς βαθὺ γῆρας ἵκοιο· τοῦτο γάρ μοι μόνον νῦν γε λείπεται παραμύθιον.

*Ἰωάννῃ.* (119.)

Ἀκήκοα, ἃ κατεῖπε μου πρῴην πρὸς σὲ ἡ μήτηρ τοῦ παιδαρίου· ἀλλ' εἰ δίκαια ᾐτιάσατο, τοῦθ', ὡς ἔοικε, σκοπεῖν οὐ μεμάθηκεν, ἀλλ' οὐδ' ἐφρόντισεν ὅλως μαθεῖν, ὡς ἂν εἴποιμι ἔγωγε· δεῖ γὰρ δὴ, οὐχ' οἷον ὤφθη παρ' ἐμοὶ τὸ μειράκιον γενόμενον ὕστερον, ἀλλ' ὅπως αὐτὴ ἡ τεκοῦσα ἀνεθρέψατο πρότερον, καὶ ὁ παιδαγωγὸς, παραλαβὼν αὐτὸ παρ' αὐτῆς, ἐπαιδαγώγησε δεύτερον, τοῦτο σκέψασθαι πρῶτον· εἶθ' οὕτως, εἴτι τῶν προσηκόντων μοι παρημέληται, ἐπιπεσεῖν ἐμοὶ

οὑτωσὶ τοῖς ἐλέγχοις ῥαγδαίαν· νῦν δ' ὁπότ' αὐτὴ μὲν, μήτηρ οὖσα, παρεχώρησε τῇ φύσει μόνῃ ποιεῖν ἐν αὐτῷ ὅ,τι βούλοιτο· καὶ φίλτρ' ἀνόητα ποιουμένη τὰ ἐκείνης παρανοήματα, ἐφ' ἑκάστῳ τούτων μυρία ἐν μυρίαις, οὕτως εἰπεῖν, ἡμέραις ἀνοητότερα ἀπεδίδου φιλήματα· παιδαγωγὸν δὲ κωλύειν τὰ ἄτοπα συναυξόμενα, οὔτ' ἐπέστησεν, οὔτ' οἶδε τοῦθ' αὐτῇ ὀφειλόμενον, τίποτ' ἤλπιζε τὸν παῖδα γενήσεσθαι παρ' ἐμοὶ, καὶ ταῦτα γενικῆς οὔσης τῆς τῶν ἠθῶν διαφθορᾶς, οὐ μόνον τοῖς παισὶν, ἀλλὰ πολλῷ πρότερον τοῖς τοκεῦσι, παρ' ὧν τὰ πρῶτ' ἐκεῖνοι τῆς ἠθικῆς μαθήματα ἐφ' ἑ[illegible]τερα στοιχειοῦνται; Οὔκουν θαυμαστὸν ἀνωμάλους, καὶ ἀσταθμήτους αὐτοὺς ἀποβαίνειν· οὐδὲ κακίαν ἐῤῥιζωμένην μητρικαῖς ὑποθάλψεσι συνεπιδιδόναι τῇ ἡλικίᾳ, καὶ ταῦθ' ὑφ' ὁμοίων ὁμηλίκων συμφοιτώντων καθ' ἑκάστην μυρίοις ἀρδευομένην τοῖς ἀτοπήμασι· πάντες γὰρ συνελόντ' εἰπεῖν ἐνταῦθα οἱ ἔφηβοι, ὡς κακοήθους ἐξ ἀρχῆς ἀγωγῆς τετυχηκότες, καὶ ῥᾳδίως μεταδιδόντες ἀλλήλοις, ἃ παρὰ τῶν τεκόντων μεμαθηκότες τυγχάνουσιν ἀσελγήματα, δυσάγωγοι ὥσπερ πῶλοι, καὶ δυσκάθεκτοι γίγνονται τελευτῶντες. Λέγε τοίνυν τῇ καλῇ μητρὶ τοῦ παιδὸς, ὅτι πρῶτον μὲν προσῆκεν αὐτῇ μαθεῖν, ὅπως δεῖ ἀνατρέφειν τέκνα, εἶθ' οὕτως, ὅπως δεῖ τίκτειν· οὕτω γὰρ τὸ ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστιν· τοῦτο γὰρ, εἰ μετὰ φρονήσεως τότε ἔπραττεν, οὐκ ἂν νῦν ἀφρόνως τὸν διδάσκαλον κατεμέμφετο. Ἔῤῥωσο.

*Δημητρίῳ.* (120.)

» Πάλαι ποτ' ἐστὶ τοῦτ' ἐμοὶ δεδογμένον,
» Ὁ μὲν δίκαιος τοῖς πέλας πέφυκ' ἀνὴρ,
» Ὁ δ' ἐς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον,
» Πόλει τ' ἄχρηστος, καὶ συναλλάσσειν βαρύς.

Ταῦτα μὲν Εὐριπίδῃ τῷ σοφῷ, Ἰόλαον τὸν Ἰφίκλου παρεισάγοντι τῷ λόγῳ, πεφιλοσόφηται· σὺ δ᾽ ἀφεὶς τὸν πρῶτον, ᾧ μέγιστος ἐκ τοῦ δίκαιον εἶναι πρόσεστιν ἔπαινος, ἐμιμήσω τὸν δεύτερον, ὃν τὸ φιλοκερδὲς ὅλῃ τε πόλει καθίστησιν ἄχρηστον, καὶ πρὸς ἕκαστον ἀποτρόπαιον· καίτοι οὐκ ἐχρῆν· οὐ γὰρ δεῖ ἑαυτοῖς μόνοις ἀρέσκειν πράττοντας, ἃ ἂν πράττωμεν, τὰ ἑαυτῶν σὺν οὐδενὶ λόγῳ θεραπεύοντας πάθη· οὐδ᾽ οἴεσθαι εὐδαιμονεῖν, τἀλλότρια ἔχοντας· ἀλλ᾽ εἰ, οἷς κεκτήμεθα, τούτοις αὐτοί θ᾽ ἡμεῖς σωφρόνως τυγχάνομεν χρώμενοι, καὶ τοῖς ἡμῶν δεομένοις φιλοτίμως μεταδιδόντες· θνητὴ γὰρ φύσις, πολλῷ τῆς ἀθανάτου διενεγκοῦσα τὰ ἄλλα, ἐν τούτῳ ἐπικινωνοῦσιν ἀλλήλαις. Ἄμεινον τοίνυν δι᾽ ἀρετὴν ἐγγύτερον γενέσθαι θεῷ, ἢ διὰ κακίαν θηρίοις. Ἔρρωσο.

*Ἰωάννῃ.* (121.)

Οὐ μὴν ἀλλὰ καὶ αὐτὴν τὴν μητέρα νῦν τὸ καλὸν μειράκιόν φασιν ἀνασκιρτῆσαν πατάξαι, καλά τε καὶ ἄξια ἀποδὸν αὐτῇ τὰ θρεπτήρια· κἀκείνην μόγις ὑπὸ τοῦ κακοῦ νικωμένην ὁμολογῆσαι πρὸς τοὺς παρεστῶτας ἑαυτὴν αἰτίαν τῆς τοῦ παιδὸς κακοηθείας γενέσθαι, ὡς συχνὰ ἐπιδαψιλεύσασαν αὐτῷ ποτὲ τὰ φιλήματα· ἀλλ᾽ ὦ

» Δύστην᾽ ἀλήθει᾽, ὡς ἐν οὐ καιρῷ πάρει!

Πάσχουσι γὰρ καὶ οἱ τεκόντες ὅμοια τοῖς ἐρῶσι (πάθος γάρ τι ἔοικε καὶ τὸ φίλτρον τυφλὸν καὶ ὅμοιον ἔρωτι) ἐπειδάν τι πάθωσι, τηνικαῦτ᾽ ἀπὸ τῶν ἀποτελεσμάτων, ὅτε μηδὲν ἔστιν ὄφελος, ἀνακρίνοντες, οἷα ἔπραξαν, καταμέμφονται σφᾶς αὐτοὺς τῆς ἀνοίας. Πῶς οὖν ἡμεῖς νῦν οὐκ ἂν εἴημεν δίκαιοι ἐφήδεσθαι τούτοις, οἷς ἐφήδεσθαι οὐκ ἂν εἴη νέμεσις οὐδεμία; Οὐκοῦν μαθέτωσαν, ὃ καὶ πρῴην μέμνημαι γράψας,

πολλῷ πρότερον, ὅπως δεῖ τρέφειν μᾶλλον, ἢ ὅπως δεῖ τίκτειν τέκνα, ἵνα μὴ ἐπ' ἄλλους οὕτω προχείρως τὰ ἐκείνων ἀναφέρωσιν ἐλαττώματα. Ἔῤῥωσο.

*Νικολάῳ Ἰατρῷ.* (122.)

Ὡς μὲν φίλῳ ἠβουλόμην ἂν ὁσημέραι, ὅσ' ὧραι, πάντ' εἰ ἐξῆν, τὸν χρόνον συνεῖναί σοι· σοῦ γὰρ ἐπὶ στόματος αὐδὴ καθ' Ὅμηρον γλυκίων μέλιτος ἔξεισιν· ὡς δὲ ἰατρῷ οὔτ' ἐγὼ, οὔτ' ἄλλος τις τῶν ἁπάντων ἀνθρώπων εὔξαιτ' ἂν συγγενέσθαι· τίς γὰρ νοῦν ἔχων βούλοιτ' ἂν νοσεῖν, ἵνα καὶ ἰατροῦ αὐτῷ δέοι; νῦν δ' ὁρῶ καὶ τούτου ἤδη μεγίστην ἀνάγκην μοι γενομένην· καὶ δὴ δέομαι οὐ μᾶλλον τοῦ Νικολάου τοῦ φιλτάτου μοι τῶν ποτὲ μαθητῶν, ἢ τῶν Ἀσκληπιαδῶν τοῦ ἀρίστου ἐλθεῖν ἐπισκεψόμενον τὸν διδάσκαλον· δύο γὰρ ἡμέρας ἑξῆς πόνος ὀξὺς τοῦ ὠτὸς ὕπνου λαχεῖν οὐδ' ὁπωσοῦν συγκεχώρηκεν· ὥστε πολλάκις ηὐξάμην πρὸς τὸν μέγαν ἰατρὸν καὶ σωτῆρα, εἰ βούλοιτό μοι ἔτι ἐν ὀδύναις παρατεῖναι τὸ ζῆν, μὴ τοῦτο ποιεῖν, ἀλλὰ τήμερον μεταστῆσαί με τῶν παρόντων ἀνωδύνῳ θανάτῳ· τίνι γάρ με τηρεῖ, ἀβληχρὸν γερόντιον,

» Πολιὸν αἰθέρος τἀφανὲς εἴδωλον, ἢ
» Νέκυν ἔνερθεν, ἢ,
» Πτανὸν ὄνειρον,

Οὑτωσὶν ἐπεξερχόμενος λίαν; βίος γὰρ ἀβίωτος οὐκ ἔστι βίος. Ἀλλ' ἐν τούτῳ ἐπῆλθέ μοι αὖθις μνησθῆναι, καὶ ὧν ἐφιλοσόφησαν οἱ ἀμφὶ τὸν Ἐπίκτητον, ὡς δεῖ μηδὲν φροντίζοντας τῶν τοῦ σώματος ἀλγεινῶν, αὐτῆς τῆς ψυχῆς παντὶ σθένει ἐπιμέλειαν ἔχειν· ἀλλὰ πρὸς ταῦτ' ἀποτόμως οὕτως ἂν εἴποιμι ἔγωγε, καὶ συγγνώμη, εἴ τι παραπαίω, τῷ πάσχοντι· ὡς οἱ ἀνάλγητοι οὗτοι ἄνθρωποι, ἢ ἀσώματοι ὅλως ἤ-

σαν, ἢ ἀνόητοι ἄλλως· καὶ γὰρ ἐς ἄκρον φιλοσοφῆσαι σπουδάσαντες, αὐτοῦ τούτου τοῦ φιλοσοφεῖν ἐκπεπτώκασι, συμφυΐαν καὶ συναλγησίαν ψυχῆς καὶ σώματος ἀμοιβαίαν μὴ συνειδότες. Ἀλλ' ἱλήκοιεν ἡμῶν τῇ παῤῥησίᾳ οἱ δαιμόνιοι ἐκεῖνοι τῆς οἰκουμένης διδάσκαλοι. Ἔῤῥωσο.

*Γεωργίῳ.* (123.)

Εἰς τροφὴν πυρὸς τοῖς κλιβάνοις φὴς τἀμὰ συγγράμματα ἐπιτήδεια εἶναι, καὶ μέγα ἀρτοποιοῖς κέρδος κατὰ πᾶσαν ἔχειν τὴν Ἑλλάδα· οὐκοῦν πάρεστιν ἡμῖν κἀκ τούτου καυχήσασθαι, ὅτι τῶν ὁμογενῶν τισὶν ὠφέλιμοι γεγενήμεθα, ὕλην ὀψοποιὸν αὐτοῖς παρασχόντες· σέ δε οὐ ξύλα, οὐ χόρτον, οὐ κάλαμον, οὐκ ἄλλο τι τῶν πρὸς χρείαν, πλὴν τοῦ φθόνου, προσενεγκόντα τῷ κοινῷ τῶν Ἑλλήνων, ποίοις εὐφημιῶν ἐγκωμιάσωμεν χείλεσιν; ἐκφθείρου ῥηγνύμενος, κάθαρμα.

*Νικολάῳ ἰατρῷ.* (124.)

Μέγα μὲν ὁ μέγιστος οὗτος περιλαμπὴς καὶ περικαλλὴς οὐρανός ἐστι δημιούργημα, μεῖζον δέ τι ἔοικε καὶ ἀξιολογώτερον πλάσμα ὁ ἄνθρωπος, ὁ μικρὸς οὗτος κόσμος· ὃν ἰδίᾳ χειρὶ ὕστερον μὲν τῇ τάξει, πρότερον δὲ τῇ δυνάμει καὶ τῇ τιμῇ πλάσας ὁ ποιητὴς, διαμορφώσας τε, καὶ πνοῇ ἐμψυχώσας κατ' εἰκόνα ἰδίαν, βασιλέα πάσης ὁρατῆς αὐτὸν ἐπέστησε κτίσεως, πᾶσαν φύσιν ἔμψυχόν τε καὶ ἄψυχον τῇ αὐτοῦ ἐλευθρίᾳ καὶ θεωρίᾳ προσθεὶς ὑπέρτατον ἀντικείμενον. Ἀλλ' ἐπειδὴ οὔτε τὴν βασιλείαν ἦν διαρκεῖν, ἑνὶ ἀτόμῳ καὶ τούτῳ φύσεως φθαρτῆς δωρηθεῖσαν, οὔτ' ἄλλως ἂν ἐν ἡδονῇ γενέσθαι τὸ πρᾶγμα διά τε τὸ μονῆρες καὶ πρόσκορον, τοῦ συμβασιλεύοντος καὶ συναπολαύοντος μὴ προσόντος, ηὐδόκησε πολλαπλασιάσαι τὸ ἓν πρὸς κοινὴν ἐν συναισθήσει τῆς χάρι-

τος συναπόλαυσιν· ἐντεῦθεν ἄρ᾽ ἐξαγαγὼν ἐκ τῆς πλευρᾶς αὐτοῦ τὸ γύναιον αὐτῷ βοηθὸν, καὶ γάμῳ συναρμόσας ἀλλήλους, ἐκέλευσεν αὐτοὺς αὐξάνεσθαι καὶ πληθύνεσθαι, καὶ πᾶσαν τὴν γῆν πληρῶσαι· Γάμος ἄρ᾽ ἐστι δῶρον ἐκ τοῦ οὐρανοῦ κατελθὸν πρὸς ἀροτρίωσιν ἀνθρωπότητος· γάμος ὁ πρῶτος τοῦ δημιουργοῦ σκοπὸς πρὸς τὴν τῆς δημιουργίας συντήρησιν· γάμος τῶν εὐεργετημάτων τὸ μέγιστον πρὸς διάρκειαν τῆς φύσεως· γάμος ὁ ἐν γενέσει καὶ φθορᾷ τῶν ἐπὶ μέρους ἀπαραμείωτον τὴν τοῦ ὅλου ὕπαρξιν τῷ γένει πιστούμενος· γάμος ὁ μέγας σκοπὸς τῆς μεγάλης βουλῆς, ἣν συνέλαβεν ὁ πλάστης ἡμῶν ὑπὲρ ἡμῶν πρὸ αἰώνων. Ὃν ὁ θεὸς καὶ πλάσας ποτὲ τὸν ἄνθρωπον ἐδωρήσατο πρότερον, καὶ ἐνανθρωπίσας δι᾽ αὐτὸν ἐν Κανᾷ τῆς Γαλιλαίας εὐλόγησεν ὕστερον. Τούτῳ τοίνυν τῷ θείῳ δώρῳ ἁρμοζομένῳ σοι τήμερον, φίλτατέ μοι Νικόλαε, χαίρει μὲν ὁ σὸς πατὴρ ὁ σεβάσμιος, συγχαίρουσι δὲ οἱ φίλοι, συγχαίρει δέ σοι ἐπὶ πᾶσι καὶ μάλιστα καὶ τοῦτο δὴ τὸ ἀβληχρὸν καὶ ἀμενηνὸν γερόντιον ὁ σὸς διδάσκαλος, εὐλογῶν σε καὶ συνευχόμενος εὐμενῆ καὶ αἴσιον γενέσθαι σοι τὸν Ὑμέναιον· ὃς πρὸς πάντα τἀγαθὰ τοῖς συναπτομένοις γιγνόμενος ἡγεμὼν, προμνᾶται αὐτοῖς τὴν εὐδαιμονίαν· Διὸ ἐνταῦθα τοῦ λόγου γενόμενος, προῆγμαί πως ἐλεεῖν ἐμαυτὸν, ὅτι ζῶον κοινωνικὸν πλασθεὶς ὑπὸ τοῦ δημιουργοῦ, ἀνθειλόμην οὐκ ὀρθῶς βίον τοὐναντίον μονήρη καὶ ἄγονον, καὶ ὅλως τῷ τοῦ πλάσαντος σκοπῷ ἀντιβαίνοντι· πλὴν εἰμήτις εἴποι, ὅτι καὶ ἡμεῖς πολλῶν παίδων πατέρες ἐσμὲν, οὓς τῇ τῶν λόγων οἰκειότητι τυγχάνομεν ἐσπεποιημένοι. Ἀλλ᾽ ὑμεῖς γε διαβιῴητε ἄμφω, ὡς συμπεφυκότες ὅ,τε νυμφίος καὶ ἡ νύμφη ὡς ζεῦγος ἐκλεκτὸν καὶ ἄμωμον τῷ κυρίῳ δι᾽ ἀγάπης ἀμοιβαίας συνευδαιμονοῦντες ἐν εὐτεκνίᾳ καὶ πολυτεκνίᾳ, ὅπερ ἐστὶν ὁ τοῦ ἱεροῦ γάμου μάλιστα σκοπός.

Ἔρρωσο.

*Τῷ Σταύρῳ* (125.)

Ἐπέσταλκά σοι πρῴην παρασκευάσασθαι τὴν ταχίστην συγκατελθεῖν μοι Ἀθήναζε· ἀλλὰ νῦν γ' ἀπολέλυσο τῆς σπουδῆς· ἄλλα τε γὰρ πολλὰ συμπεσόντα, ἀνέκοψαν τὴν ὁρμὴν, καὶ δὴ καὶ νόσος τις τοῖς ὠσὶ προσβαλοῦσα, τὸ παράπαν πεποίηκε πρός γε τὸ παρὸν ἀπογνῶναι τὴν κάθοδον· δῶμεν οὖν τῇ Προνοίᾳ μᾶλλον διοικεῖν, ὅπως βούλοιτο τὰ ἡμέτερα. Ἔῤῥωσο.

Τῷ *Κωνσταντᾷ*. (126.)

Ἄλλαι μὲν βουλαὶ ἀνθρώπων, ἄλλα δὲ θεὸς κελεύει, ἵν' ἀπὸ τοῦ τετριμμένου τούτου προοιμιάσωμαι· πᾶσι γὰρ ἱστίοις τῇγε διανοίᾳ ὡς ὑμᾶς ὁρμηθέντες, μονονουχὶ αὐτὸ τὸ Σούνιον ἐτυγχάνομεν κάμπτοντες τοῖς ἐλπίσιν· ἀλλ' αἴφνης ὥσπερ ἀντιπρώρῳ χρησάμενοι πνεύματι, ἐξελέγχθημεν ὑπὸ τῶν συμβαινόντων οὐχ οἷοί τε ὄντες καὶ τῆτες, καθάπερ τὴν Ἰθάκην ὁ τοῦ Λαερτίου, οὕτω καὶ ἡμεῖς κατιδεῖν τὰς Ἀθήνας· τά τε γὰρ ἄλλ' ἡμῖν ἀπό γε τοῦ βίου ἀπήντηκεν ἐνδεᾶ, καὶ νόσος τις τῶν ὤτων τῷ δεξιῷ προσβαλοῦσα ῥαγδαίως, ἀπογνῶναι καὶ ἐφέτος τὴν κάθοδον ἔπεισεν· ἀλλ' οὐκ ἂν, οἶμαι, καὶ ἦρος φανέντος, εἴγε μόνον διαρκέσαι μὲν ἐν τοσούτῳ κρύει Σκυθικῷ περιεῖναι. Τοῦτ' οὖν ὑπὲρ ἡμῶν καὶ ὑμεῖς συνευχόμενοι, Ἔῤῥωσθε.

*Γεωργίῳ*. (127.)

Εἷλες ἄρα τὴν δίκην, καὶ τὸ κτῆμα, δωδεκάτῳ ἔτι πρὸς πλεονέκτας καὶ ἀναισχύντους ἀγωνιζόμενος, μόλις μὲν, ἀλλ' ἀπέλαβες· εἴη δέ σοι ὁμοίως εὖ πρᾶξαι κἀν τῷ λογισμῷ, ἵνα μηδ' ἐκεῖθεν οἱ κακοδαίμονες οὗτοι καὶ ἐπιβλαβεῖς σῆτες τῶν κοινῶν ἐν ζημίᾳ τῆς σχολῆς ὠφελοῖντο· ὁρᾷς ὅσον

ἡ κακία κατισχύει τῆς ἀνθρωπότητος, φιλοσοφίας ἀπούσης; ταύτης γὰρ ἄνευ οὐδὲ τὸ ἀπὸ τῆς θρησκείας φῶς ἔσθ' οἷον φωταγωγεῖν, ὥσπερ πυκνοτάταις νεφέλαις τοῖς πάθεσιν ἄλλοτ' ἄλλοις ἐπιπροσθούμενον· εἶεν. Νῦν δὲ πρὸς τί μέλλοιμεν χρήσεσθαι τῷ χωρίῳ; τῆς γὰρ ἐν Ζαγορίῳ σχολῆς, ἧς ἄλλοτ' ἄλλως πλείστην ὅσην σπουδὴν πεποιήμεθα μάτην, καὶ νῦν ἐνορῶ πᾶσαν ὑπεκφεύγουσαν τὴν ἐλπίδα· οἱ γὰρ Αλβανοὶ ἐνιαυτῷ ὅλῳ ἄγουσι καὶ φέρουσιν ἁπάσας τὰς ἡμετέρας κώμας, τὸν μέγαν δεσπότην, ἐφ' οἷς αὐτοῖς οὐκ ἀποδίδωσιν, ὃν ὀφείλει μισθὸν, ἀμυνόμενοι, εἴτι κοινὸν ἡμῖν καὶ τῷ Σουλτάνῳ πρὸς ταῦτα, καὶ εἴτι μέλοι ἐκείνῳ, φθειρομένων τῶν ὑπηκόων· διὸ καὶ πολλοὶ τῶν ἡμετέρων, καταλιπόντες οἰκίας καὶ κτήματα ἄξια, κατέφυγον εἰς τὴν ἐλευθέραν Ἑλλάδα, ἐκεῖ πῃ μετὰ τῶν ἄλλων Ἠπειρωτῶν σκοπὸν ποιούμενοι συνοικίσασθαι· περὶ οὗ κεκοίνωται κἀμοὶ δοῦναι γνώμην· ἀλλ' ἐπειδὴ οἱ τῆς νέας πολιτείας ὅροι διαφιλονεικοῦνται ἔτι παρὰ τοῖς συμμάχοις τῶν βασιλέων, ἀνάγκη πᾶσα σαλεύειν ἔτι τὸ πρᾶγμα μετέωρον· μέχρις οὗ προσδιορισθέντες ἐκεῖνοι, βασιλικαῖς βεβαιωθῶσι συνθήκαις, εἶεν. Τούτων δὲ γενομένων, καὶ τῆς ἀποικίας κατασταθείσης, τί κωλύει χρήσασθαι τῇ ἀπὸ τοῦ κτήματος ὠφελείᾳ πρὸς τὴν ἐνταῦθα παιδευθησομένην ἐξ ἀρχῆς νεολαίαν, μέχρις ἂν δῷ θεὸς μεταβολήν τινα τῶν κακῶν κἀν τῷ Ζαγορίῳ; ὅτι ἄδικον τοῦτ' ἐρεῖς, καὶ ἐναντίον τῇ διαθήκῃ τοῦ ἀναθεμένου· κἀγὼ δή· ἀλλὰ τί ποιῶμεν, ὁπότ' ἐν τυραννίᾳ οὐδέν ἐστιν ἀσφαλῶς ποιεῖν τῶν δεόντων; ἔπειτα, δόντος ἡμῖν τοῦ θεοῦ ἐλευθερίαν ἤδη καὶ εὐνομίαν ἐν μέρει, τοῦθ', ὥσπερ καὶ ἰατρὸς τὸν στόμαχον, ὅλαις δυνάμεσι χρὴ ταῖς ἔξωθεν βοηθείαις μᾶλλον ἐπιρρωνύειν· ἐκεῖθεν γὰρ, τῶν πραγμάτων εὐθηνομένων, αἱ τῆς παιδείας ἀκτῖνες ὡς ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν περιφέρειαν δια-

ψιλῶς πρὸς ἑτέρας ἐλπίδας αὖθίς ποθ' ὕστερον ἐξαχθήσονται. Ἔμοι γ' οὖν τοῦτο δοκεῖ· εἰδέ τὶς ἔχει παρὰ ταῦτα βελτίω λέγειν, ἐκεῖνα ἀγαθῇ τύχῃ καὶ συνενέγκοι. Ἔῤῥωσο.

*Πολυκάρπῳ.* (128)

Υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; δὸς γὰρ μετὰ τοῦ Δαβὶδ οὕτω φθέγξασθαι· τίς ὁ φθόνος οὗτος ὁ τὴν σὴν ψυχὴν ἐξ ἀρχῆς περισμύχων; τίς ὁ τρόπος οὗτος καὶ ἡ καταφορὰ πρὸς ἐμὲ καὶ τοὺς ἐμοὺς μαθητάς; ἢ τὸ ἀνομοιοτάτους σοὶ εἶναι τοῦτ' ἀθέους αὐτοὺς ἀπεργάζεται; ὅρα δὲ μὴ τοὐναντίον ᾖ μήτε γ' ὅσῳ σου ταῖς ἕξεσι διαφέρουσι, τοσούτῳ ἐγγυτέρῳ γίγνονται τοῦ θεοῦ· οὐ γὰρ λόγοι βέβηλοι, οὐδὲ τὸ Κύριε Κύριε μυριάκις μιαροῖς ἐπαναλαμβανόμενον χείλεσιν, οὐδὲ φιλήματα εἰκόνων συχνὰ, καὶ γονυκλισίαι, ταῦτα δὴ τὰ πρὸς ἀπάτην μᾶλλον τῶν Φαρισαίων ἐπιτηδεύματα, τὸν χριστιανὸν τελειοῖ· ἀλλ' ἔργα ἀγάπης καὶ φιλανθρωπίας συνίστησι, καὶ κοσμεῖ· δεῖξον γὰρ, φησὶν, τὴν δικαιοσύνην σου ἐκ τῶν ἔργων σου· ἀλλ' ὑμεῖς ὦ τρισάθλιοι, οἱ ἐν ἀνομίαις συλληφθέντες, καὶ ἐν ἁμαρτίαις ἤδη γεγηρακότες, οἱ παρὰ τοῖς Τούρκοις τουρκικῶς ἀνατραφέντες, καὶ παραβληθέντες, καὶ τὰ ἔργ' αὐτῶν ἐζηλωκότες, ἐργολάβοι καὶ συκοφάνται, καὶ ὅ,τι ἂν εἴπῃ τις χεῖρον, ἐν πᾶσι γενόμενοι, ταῦτ' οὐ κατανοεῖτε· ἀλλ' ἀμφοτέραις ταῖς ἰγνύαις χωλαίνοντες, καὶ τοῖς ὀφθαλμοῖς καμμύοντες, καὶ κωφεύοντες τοῖς ὠσὶ, μωροὶ ὄντες καὶ τυφλοὶ, καὶ τῇ καρδίᾳ πεπηρωμένοι, οἱ τὸν κώνωπα διϋλίζοντες, τὴν δὲ κάμηλον καταπίνοντες, ταῦτ' εἰς οὐδὲν τιθέμενοι, ἀλλὰ λοιδορίας καὶ συκοφαντίας συντεθέντες ἑτέροις περιάπτειν πειρᾶσθε, ἅ σοι καὶ τοῖς ὁμοίοις σοι πρόσεστιν ἐκ τοῦ παριόντος· ἀλλὰ πῶς πλησιάσετε μετὰ μικρὸν τῷ θυσιαστηρίῳ; πῶς ἔσεσθε ἄξιοι τῆς τοῦ ἀμνοῦ μεταλήψεως;

ποίοις χείλεσιν ἀκαθάρτοις, ὧν πᾶς λόγος ἔξεισι μεμιγμένος συκοφαντίᾳ, τοῦ ἱεροῦ ποτηρίου, ταύτης δὴ τῆς ζωηφόρου πλευρᾶς τοῦ Σωτῆρος, προσάψεσθε; ἁμαρτωλοὶ τῆς γῆς, πλανῶντες καὶ πλανώμενοι, ἀνανήψετε, συμμεταβάλλεσθε τῷ καιρῷ μονονουχὶ φωνὴν ἀφιέντι, καὶ καλοῦντι πρὸς σωτηρίαν· δεῦτε ἴδετε νέον φῶς ἐν ἐλευθερίᾳ· καὶ ἰδόντες καθάρθητι· καὶ καθαρθέντες ἀποδύσασθε τὸν παλαιὸν ἄνθρωπον, τὸν ἁμαρτωλὸν, τὰ βάρβαρα ἤθη, καὶ ἐνδύσασθε τὸν νέον, τὸν καθαρὸν, τὸν εἰλικρινῆ, ἵνα γένησθε ἄξιοι τῆς χάριτος τοῦ Κυρίου, τῆς προκοπῆς καὶ ἐλευθερίας τῶν νέων Ἑλλήνων, εἰ μήτι καὶ τοῦτο διὰ τὸ Τουρκικὸν καὶ κακόηθες ὑμῶν αὐτῶν παντάπασιν ἀπεγνώκατε· πᾶσα γὰρ ἕξις τοῖς μοχθηρῶς ἀνατεθραμμένοις δυσαπάλλακτος γίγνεται· καὶ ἵν' εἴπω μήτε τοῦ Θεολόγου » Μύρον δοχεῖον σαθρὸν οὐ πιστεύεται.

*Δανιὴλ Φιλιππίδῃ* (129.)

Πόθος ἰσχυρὸς ἕλκει με τῆς πατρίδος· ἀλλ' οὔπω οὐδὲ τῆτες κατίσχυσεν ἀποσπᾶσαί με τῶν ἐνθάδε, ἄλλων ἄλλοτε κωλυόντων, καὶ δὴ καὶ ὀδύνης ἰσχυρῶς ἐς τὸ οὖς προσβαλούσης· ἀλλ' οὐκ ἂν, οἶμαι, καὶ ἦρος φανέντος, εἴ γ' ἐς τότε περιεσοίμεθα· βουλοίμην δ' ἂν οὖν καί σε συνέμπορόν μοι γενέσθαι· τί γὰρ ἔτ' ἐλπίζομεν, ἐνταυθοῖ διατρίβοντες, γερόντια ἀβληχρὰ καὶ εἴδωλ' ὅλως πτηνὰ τοῦ αἰθέρος κατὰ τὸν τραγῳδὸν ἤδη γεγεννημένοι; ἀλλ' οἱ πλεονέκται ἐντρυφῶσιν, ἀφελόμενοι ἡμᾶς τὸ τοῦ γήρως ἐφόδιον· τρυφάτωσαν ὥσπερ προῄρηται· τί δέ; μὴ γὰρ δεῖ καὶ ἡμᾶς αὐτοὺς συναπολεσθῆναι τοῖς χρήμασι; Καταλίπωμεν οὖν τῇ ὕλῃ τὴν ὕλην, τὰ πάλαι καταλιπόνθ' ἡμᾶς, τοῖς τούτων προσισχομέ-

νοις, καὶ κατέλθωμεν εἰς τὴν μητέρα Ἑλλάδα· ἔνθ' ἡδέως ὡς ἐν πᾶσι γενόμενοι ὁμοιοπαθεῖς, σὺν ἀλλήλοις τοῦ βίου τὸ λοιπὸν βιωσόμεθα· ἰσχυρὸς γὰρ ἔρως ἔχει με ἐξ ἀρχῆς καὶ τοῦ γέροντος Κωνσταντᾶ· οἶμαι δέ γε καὶ σὲ, εἰ μήτι ἐρεῖς καὶ μᾶλλον, ὅτι ἥ τε φιλία ἡμῖν ἀρχαιοτέρα τυγχάνει γ' οὖσα, καὶ ὃ μεῖζον, δημόται γεγένησθε· ὃ μᾶλλον οἶδε συνάπτειν τοὺς φιλουμένους εἰς πόθον· ἐν γὰρ δημόταις ὄμμασι δέρκομαι λαμπρὸν κατὰ Πίνδαρον. Ἔῤῥωσο.

Τῷ *Δημητρίῳ*. (130.)

Οὐκ ἠμέλησα, περὶ ὧν μοι πρῴην ἐπέστειλας· μὴ γὰρ εἴη μοι τοῦτο· ἀλλ' εἴθ' ἑκὼν, εἴτε ἄκων οὔπω ἐνέτυχον τῷ ἀγαθῷ Ἡγεμόνι· οὐ γὰρ οἶδα τοσαύτην οὖσάν μοι παῤῥησίαν, ὥστ' ἐπ' ἀδείας, ὁπότε βουλοίμην, ὡς αὐτὸν εἰσιέναι, πολλῶν κωλυόντων, καὶ ταῦτα νεωστὶ τῆς ἀρχῆς αὐτῷ ἐμπιστευθείσης ἐν ᾗ τοσαῦτα πράγματά ἐστι μετατάξασθαι ἐς τὸ δέον, ὅσ' ὁ πόλεμος φθὰς ἐξήρθρωσε καὶ διέλυσεν· Ἀνάσχου τοίνυν ἐλπίζων· ἔστι γάρ μοι παρ' αὐτοῦ καὶ ἄλλως ἀξίωμα οὐ σμικρόν· ἀλλὰ καὶ τὸ δίκαιον σύμμαχον ἓν ἡμῖν, οὐκ ὀλίγον συναγωνιεῖται· ἐφ' ᾧ καὶ μᾶλλον ἐλπὶς τεύξεσθαι, ὧν αἰτούμεθα, εἰ μή τις ἐπιῤῥοὴ βάσκανος ἔξωθέν ποθεν προσαράξασα, διαστρέψει τὸ πρᾶγμα· φθόνος γὰρ, ἀεὶ πολέμιος ὢν τῶν καλῶν, οὐκ ἂν ἀνάσχοιτο ἡσυχίαν ἄγειν, τῶν ἀγαθῶν ἀνδρῶν ἐν τιμαῖς ἀγομένων. Ἔῤῥωσο.

Τῷ *Ἀρσάκῃ*. (131.)

Ἄλλον ἄλλῳ φιλίᾳ συνέζευξεν ἡ προαίρεσις· ἐμὲ δ' οὐκ οἶδ' ὅπως καὶ ἔρωτι σφοδρῷ συνῆψε Γρηγορίῳ τῷ Κωνσταντᾷ· καὶ τοῦτ' αὐτὸ τὸ πάλαι ῥηθὲν, μία ψυχὴ ἐσμὲν ἄμφω,

ἐν δυσὶ σώμασι κατοικοῦσα· ἀλλ' ὁ ἀνὴρ οὗτος ὁ μάλιστα ἐνδιαπρέψας φιλοσοφίᾳ, καὶ πολλῶν ἀγαθῶν τοῖς Ἕλλησι γενόμενος αἴτιος, νῦν ἐν οὐδῷ τοῦ γήρως, ἐν στρατοπέδοις ἀεὶ μετὰ τῶν ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιζομένων ἄλλοτ' ἄλλως κακούμενος, μεμένηκε πενέστατος πάντων, καὶ κατὰ τὴν παροιμίαν γυμνότερος ὑπέρου, ἅτε δὴ καὶ αὐτῶν, ὡς ἐν στενωτάτῳ καιρῷ, τῶν πρὸς τὸ ζῆν ἀναγκαιοτάτων στερούμενος· σὲ δ' ἡ τύχη πάρεδρον τῷ Ἡγεμόνι κατέταξεν· ἀλλὰ καὶ παρὰ σοὶ πολὺς πολλάκις ἐν λόγοις ἦν ὁ ἀνὴρ, καὶ μάλισθ' ὁπότ' ἐφιλοσόφεις, μετιὼν τὸν Σοαύϊον· ἐφ' ᾧ καὶ μαθητήν σε εἴτις εἴποι ἐκείνου γενέσθαι, τἀληθὲς ἐρεῖ. Ὡς πάντων οὖν ἐντεῦθεν ἐχόντων εὐνοϊκῶς, σύμπραξον γενέσθαι αὐτῷ ἀγαθόν τι παρὰ τῶν κρατούντων· ἄλλως τε γὰρ δίκαιον τοῦτο, καὶ δὴ καὶ κόσμον φέρειν τοῖς δυνατοῖς πρὸς τὸ πλῆθος τὸ τὰς Μούσας τιμῆς τε καὶ θεραπείας τῆς προσηκούσης φαίνεσθαι αὐτοὺς ἀξιοῦντας. Ἔρρωσο.

### *Τῷ Ἀγγελῇ.* (132.)

Τῶν τ' ἄλλων μου γραμμάτων λίαν ἔοικας ὀλιγωρῆσαι, καὶ δὴ καὶ ὃ ἐπέστειλα πρῴην, ἕκτον γε τοῦτο, οὐδὲ πρὸς αὐτὸ οὔτε φωνῇ, οὔτε ἔργῳ ἀπαντῆσαι ἠξίωσας, δυοῖν θάτερον, ὡς ἔοικε, προσδοκῶν, ἢ ἀναχωρήσειν με ὅσον οὔπω ἐντεῦθεν, ἢ ἄλλως ἀπερεῖν ἀπαιτοῦντα, ἵν' ἐκ προφάσεως πιθανῆς ἔχῃς ἀδικεῖν νέος γέροντα, καὶ πλούσιος πένητα, καὶ μαθητὴς τὸν διδάσκαλον, παρ' οὗ τὸ εὖ ζῆν ἔχεις λαβὼν, ἀποστερῶν αὐτὸν τῶν διδάκτρων· ἀλλ' εἰ ὄντως τοῦτο σκοπεῖς, ἀμφοτέρων ἀπέτυχες· τόν τε γὰρ χειμῶνα ἔτι τοῦτον ἐνταυθοῖ διατρίψομεν, καὶ τὸ ὄφλημα, παρ' οἷς δεῖ, προθυμότερον ἀπαιτήσομεν· ὥστ' οὐδέν σοι τὸ τῆς ἐπινοίας συ-

νοίσει, ἢ προσθεῖναι αἰσχύνην, ὁπότε μετ' ἀλλήλων γενοίμεθα· ὁπότ' οὐκέτι γράμματ', ἀλλὰ πράγματ' ἔσονται ἐνεργὰ, ὡς, εἰμὴ λάβοι τέλος νῦν τὸ τῆς ἀποτίσεως, κατὰ πρόσωπον τότε πρὸς τοὺς κρείτους ἐσομένης τῆς ἀπαιτήσεως· οὐκέτι γὰρ κατισχύσειν οἶμαι καὶ αὐτῶν τῶν νόμων τὴν πλεονεξίαν· εἰδὲ νῦν γοῦν γένοιο δικαιότερος σεαυτοῦ, παυθήσεται μετὰ τῆς ἀπαιτήσεως καὶ τὸ τῆς αἰσχύνης· τελευταία γὰρ ἔκτισις τοῦ καθήκοντος, κἂν ὀψὲ γένηται, πολλῶν παρεληλυθότων ἁμαρτημάτων συνέχειαν ἔλυσε· διὸ καὶ ὁ θεὸς, φησὶ, παρατείνειν τὸ ζῆν τοῖς ἁμαρτωλοῖς, ἵν' ἐπιστραφέντες, σωθεῖεν. Ἔρρωσο.

## Τῷ *Περικλεῖ.* (133.)

Ἐπέκειτό μοι ἄρα καὶ τοῦτο ἐπιδεῖν Παναγιώτην καὶ Νικόλαον τεθνηκότας, τούτους δὴ τοὺς τῶν ἐμῶν φιλτάτων μαθητῶν σπουδαιοτάτους τε καὶ εὐγνωμονεστάτους· φεῦ τῆς ζημίας! ὡς μέγαν καὶ λαμπρὸν ὁ φθόνος τοὺς Ἕλληνας ἀφεῖλε τὸν στέφανον· κἀμοὶ τὸ γῆρας ἐπεβάρυνε μάλιστα· τί γὰρ δεῖ μὴ θρηνεῖν τῶν ἐκείνοις προσόντων; τὴν νεότητα, ἢ τὴν ἐν τοῖς ἐμοῖς παιδικοῖς ἐπίδοσίν τε καὶ κρίσιν; τὴν πρὸς τὴν τοῦ γένους βελτίωσιν σπουδὴν καὶ προαίρεσιν, ἢ τὴν ἄλλην φιλανθρωπίαν; πᾶσαν γὰρ ἀρετὴν συλλαβόντες εἶχον ἐν ἑαυτοῖς, ἅτερος τὸν ἕτερον παρευδοκιμῆσαι σπουδάσαντες· ἢ μᾶλλον εἰπεῖν συνευδοκιμῆσαι ὁμοθυμαδὸν ἐξορμήσαντες. Τοιούτων ἀνδρῶν ἀπεστέρηται ἡ πατρὶς αὐτῶν Βουλγαρία, ἣν, κἀμοὶ τοῦτο πειθόμενοι παραινοῦντι, ἐξελληνίσαι παρεσκευάζοντο· νῦν δ' ὁ θάνατος φθὰς, ἀπέτειρεν, ὥσπερ χάλαζα, τὰς ἐλπίδας· ἀλλ' ἐκεῖνοι μὲν, ὡς γενναῖοι, ἔχοιεν γαῖαν ἐλαφράν· τὰς δὲ γαμετὰς αὐτῶν, ἃς μόλις ἰδόντες καὶ συνοικήσαντες, ἐγκατέλιπον, τίς ἀξίως πα-

ραμυθήσεται; ὡς πικρὸς ὁ Ὑμέναιος αὐταῖς ἀπέβη, καὶ ἑτέρας τραγῳδίας ἡμῖν παρέχει ὑπόθεσιν. Ἀλλ' εἴης μοι αὐτὸς ὑγιαίνων, ταῦτα ἐκείνοις καὶ φρονῶν, καὶ σπουδάζων. Ἔῤῥωσο.

### Τῷ *Λουκᾷ*. (134.)

Ἀναγνώστης ὁ διαβόητος (οἶσθα γὰρ, οἶμαι, τὸν ἄνδρα τὸν παρατριβόμενον τοῖς εὐδαίμοσι, μικρὸν μὲν τὸ δέμας, γενναῖον δὲ τὸ φρόνημα, καὶ ὅλως Ἕλληνα, καὶ σφόδρ' ᾠδικόντε καὶ μεγαλόφωνον) τἄτ' ἄλλα σε καλῶς ἔχειν ἡμῖν ἀπήγγειλεν ἐλθὼν, καὶ δὴ καὶ τὰ δίδακτρα, παρ' ὧν τοὺς παῖδας ἐδίδαξας, ἀπολαβεῖν καταπράξασθαι· ἔμελέ μοι γὰρ τοῦθ' ἡδέως ἀκοῦσαι, ὁμοιοπαθεῖ ὄντι καὶ συναδικουμένῳ· πάθος γὰρ τοῦτ' ἔοικε κοινῇ κρατεῖν τῶν ἐνταῦθα, πολλὰ μὲν ὑπισχνεῖσθαι ἐλπίζοντας, ὀλίγα δὲ ἐκτίειν ἀπολαβόντας· Ταῦτά τε τοίνυν ἡδέως ἐσμὲν ἀκηκοότες, καὶ δὴ καὶ τὸ ἐν Κραϊώβῃ σὲ κατασάντα διδάσκειν τὴν Ἑλληνικὴν παιδείαν τοὺς χρήζοντας, καὶ τοῦθ' ὑμᾶς οὐκ ἔλαττον ηὔφρανε· δεῖ γὰρ δὴ, Ἕλληνας ὄντας, ὡς ἐπὶ πολὺ τὸν τῆς Ἑλληνικῆς παιδείας σπόρον καταβάλλειν ἀφθόνως, ἐκεῖν' εἰδότας, ὡς ὅσῳ ἡ πάτριος ἡμῶν Μοῦσα ἐπὶ πλέον ἠχεῖ, τοσούτῳ μεῖζον τῷ τῶν Ἑλλήνων γένει προστίθεται κλέος· ἄλλα τε γὰρ πολλὰ τοῦθ' ἡμῖν τεκμηριοῖ, καὶ δὴ καὶ ἡ τῶν Γάλλων δόξα προσμαρτυροῖ, ἣν ἐκεῖνοι ἐκ τῆς ἑαυτῶν γλώσσης τὸ πλεῖστον παρὰ πᾶσι τοῖς ἔθνεσι προσεκτήσαντο· εἶεν. Ἀλλὰ σὺ καὶ τὸ Βουκουρέστιον ἰδεῖν ποτὲ ἐπεθύμησας, ἀνήροθ' ὅλως, καὶ ἄσπαρθ' ὑπολαβὼν ἴσως παρ' ἡμῖν φύεσθαι τἀγαθά· μὴ τοῦτο πάθῃς· ὡς γὰρ νῦν ἔχει ταῦτ' οὐδ' ἀροτριάσεως ὅλως τῆς γε ἡμετέρας ἐστὶ δεκτικὰ, ἄλλως ἄλλοτε, ὥσπερ αἵρεσίν τινα τῶν ἀπὸ τοῦ χρόνου συμβαινόντων, τῶν παρ' ἡμῖν ἀρχόντων

κατὰ προαιρέσεις ἰδίας τὰ πρὸς παιδείαν τῶν παίδων, τῶν μὲν τὰ τῶν Ῥώσσων, τῶν δὲ τὰ τῶν Γάλλων, τῶν δὲ τὰ τῶν Ἑλλήνων, ὥσπερ ἐξ ἀρχῆς ἦν, καὶ μηδὲν καινοτομεῖν, τῶν δὲ πλείστων τὴν ἑαυτῶν τραχεῖαν καὶ μογγιλάλον φωνὴν αἱρουμένων· ἄλλα τε δὲ τὴν ἀτοπίαν ταύτην αὐτοῖς ἐνέσπειρεν, ἀλλὰ καὶ τὸ τῆς Ἑλλάδος κλέος, δοκούσης νῦν εὐθηνεῖσθαι, διακναίει πως αὐτοὺς, ὥσπερ ἀντιζήλους· καί τοι οὐκ ἐχρῆν ἐνδοῦναι δοκεῖν τῷ φθόνῳ, μηδὲν ἐκ τούτου παθόντας, ἀλλὰ μάλιστα καὶ κερδαίνοντάς τι, εἰ μετ' ἐπιστασίας τὰ πράγματα ἐξετάσειαν· τό, τε γὰρ τοὺς Ἕλληνας ἀνασεσῶσθαι τὴν πατρῴαν ἐλευθερίαν οὐδὲν ἐκώλυσεν αὐτοὺς τοῦ ταῦτα κατορθώσασθαι, ἀλλὰ τοὐναντίον μάλισθ' ὁδὸς αὐτοῖς ἐστὶν ἐπ' αὐτὸ τοῦτο φέρουσα· καὶ ἡμεῖς συνευχόμεθα τὰ βελτίω, καὶ συμπράττομέν γε ἐπ' ἐκεῖνα, οἷς ἂν δυνώμεθα τρόποις, πατρῴαν τὴν ἕξιν ταύτην ἐκ διαδοχῆς εὑράμενοι ἄνωθεν, τήν τε παιδείαν καὶ θρησκείαν τοῖς τε πάλαι καὶ τοῖς ἀποτέρω φιλανθρώπως μεταδιδόναι· ἐξ ὧν μέγα κλέος τῇ φιλανθρωποτάτῃ Ἑλλάδι προσγίγνεται, μητέρα τῆς φιλοσοφίας καὶ τῆς θρησκείας ἀκούειν παρὰ πᾶσι τοῖς ἔθνεσιν. Εἴτις οὖν ζηλοῖ τὴν δόξαν ἐκείνης, μιμείσθω τὰς πράξεις. Τοῦτο δὲ τοσούτῳ ῥᾷον ἔσται τοῖς βουλομένοις, ὅσῳ ἂν μᾶλλον ἐγκύψωσι τοῖς νῦν παρὰ τοῖς Ἕλλησιν, ἀνδρὸς δαιμονίου μεταχειρίσαντος τοὺς τῆς διοικήσεως οἴακας, ἐσωτερικῶς πραττομένοις· ἃ ἔξεστιν ἰδεῖν πάντα ἐν ταῖς ἡμετέραις ἐφημερίσιν· ἔνθ' ὄψονται, ὥσπερ ἐν κατόπτρῳ, ὅπως ἀναγεννᾶται ἔθνος ἐξ ὑπαρχῆς, οἷον φοίνικος βλαστὸς ἐκ ῥίζης ἀρχαίας, μακρᾶς μὲν καὶ χαλεπωτάτης δουλείας καὶ δυναστείας διὰ πολλῶν καὶ γενναίων ἀγώνων ἀπαλλαγὲν, ὑπὸ δὲ μεγάλου καὶ σοφοῦ ἀνδρὸς νυνὶ κυβερνώμενον. Ἔρρωσο.

*Πολυκάρπῳ.* (135.)

Ἔδει ἄρα καὶ αὖθις ἡμᾶς διακνισθῆναι τῇ παρὰ σοῦ ἀηδίᾳ. καὶ τοῦτό γ' ἐς τοσοῦτον, ὥστ' εἰ οἷόν τε τοῦτο ἦν, ἀνακογχυλιάσαντας ἐν τῷ στόματι ὕδωρ, ἀποπτύσαι σε κατὰ τοῦ προσώπου, δικαίως ἄν σε τοῦτο πεποιηκότες ἂν εἴημεν· γλώσσης γὰρ ἀχαλίνου καὶ δολερᾶς καὶ τοῦτ' ἴδιον ἀποναυτιᾷν ποιεῖν τοὺς ἀκούοντας· οἶσθα γὰρ, ἃ πρώην αὖθις περὶ ἀρετῆς καὶ εὐσεβείας ὁ ὁσιώτατος σὺ γε, ἵνα μὴ εἴπω ὁ μιαρώτατος καὶ ἀναισχυντότατος πάντων, διαφερόμενος πρός τινας, ἐξήμεσας καθ' ἡμῶν, λατροφυσίτας εἰπὼν, καὶ ἄλλ' ὅσα ἐμοῦ μὲν οὐχ ἅπτεται· πόθεν γάρ; σοῦ δὲ τὴν φύσιν πονηρὰν οὖσαν καὶ φθονερὰν καὶ ταῦτα καὶ ἄλλ', ἃ πολλὰ καὶ πολλάκις σοὶ πέπρακται καὶ βεβαίωται, ἐξ ἀγωγῆς μὲν μοχθηρᾶς ἀρχῆθεν στοιχειωθέντα, τῷ δὲ ἔθει πεπηγότα ἐς ἕξιν, σαφῶς ἀποδείκνυσι· καί τοι τὸ Λατροφυσίτης τοῦθ', ὃ ἡμῖν τοσοῦτον προθύμως, ὡς ἀπ' αὐτῆς τῆς ἀρετῆς κατιὼν, μετὰ τῆς προσηκούσης σοι προφέρεις σεμνότητος, οὗ καὶ τοὔνομ' αὐτὸ τοὺς ἀκούοντας ἀποκναίει τῇ ἀηδίᾳ, οὐ τοῦτο δηλοῖ, ὡς ἡμεῖς ἀντὶ τοῦ ἀληθινοῦ θεοῦ τῇ φύσει λατρεύομεν, καὶ ὡς ἂν εἴποις αὐτὸς ὑμνῳδῶν, τῇ κτίσει παρὰ τὸν κτίσαντα· οὐ γὰρ ἂν εἴποιμι ἐς τοσοῦτόν σε ἀνοίας ἐληλακέναι, καί τοι φθονερὸν ὄντα τἆλλα, ὥστε καὶ ταῦθ' ἡμῖν περιάπτειν καταθαῤῥῆσαι· ἀλλ' ὅτι τὰς φυσικὰς ἀρετὰς ἀντὶ τῶν παρὰ φύσιν (εἴτινες εἶεν καὶ παρὰ φύσιν ἀρεταὶ, οἵας σύ τ' αὐτὸς, καὶ οἱ σοὶ ὁμοιότατοι, ὡσπερεὶ ἀγγέλων φύσιν εἰληχότες, ὑμῖν τοῖς ὑλικοῖς ἀντιπαρεισάγετε) ταύτας ἡμεῖς γε μετὰ τῆς ἀληθείας ἀποδεχόμεθα· φυσικὰς δὲ φημὶ τὰς σὺν ἡδονῇ διηνεκεῖ καὶ ἀταράχῳ τὸ τελειωτικὸν καὶ σωστικὸν τῇ τοῦ ἀνθρώπου οὐσίᾳ πρὸς εὐδαιμονίαν παρεχομένας· οἷον, ἡ Ἀγάπη, ἔστι πῃ

ἐν οἰκογενείᾳ τελείᾳ; ἔστι· τοῦτ' ἄρα χαρὰν φέρει πᾶσι τοῖς ἐν τῇ οἰκείᾳ τῇδε, τοῦθ' ἡδονὴν ἐμποιεῖ· ἐκτείνεται δ' ἔτι καὶ γείτοσι πρὸς γείτονας πέριξ; μεῖζον τὸ κέρδος· τί δέ; καὶ βασιλείᾳ πρὸς βασιλείαν; τοῦτο τελέως εὐφραίνει, ὡς τελείαν τὴν σωτηρίαν κατὰ πᾶσαν παρέχον τὴν οἰκουμένην· κληρονόμημα γὰρ τοῦθ' ἡμῖν σωτήριον ἐγκατέλιπεν ὁ σωτὴρ, εἰς τὸν οὐρανὸν ἀναβὰς, Εἰρήνην, φάμενος, τὴν ἐμὴν δίδωμι ὑμῖν· ἡ ἀγάπη ἄρα ἐστὶν ἀρετὴ φύσει, ὡς σὺν ἀταράχῳ καὶ γαληνιαίᾳ ἡδονῇ σωτηρίαν αὐτὴ δι' ἑαυτῆς τοῖς ἀνθρώποις παρέχουσα· εἶεν. Νῦν δ' ἕπου ὁ τυφλὸς συμφιλοσοφήσων ταὐτὰ κἀπὶ τῆς δικαιοσύνης· οὐ γὰρ ἔστιν, οὐκ ἔσθ' ὅπου καὶ αὕτη μὴ τὴν αὐτὴν γαληνιαίαν καὶ σωτήριον ἡδονὴν ἐμποιεῖ, εἴτ' ἐν οἰκογενείᾳ, εἴτ' ἐν πόλει, εἴτ' ἐν πάσῃ τῇ οἰκουμένῃ βασιλεύουσαν αὐτὴν εὕροις. Τὸ γὰρ ἴσον, ἥμερον πανταχοῦ, εἰρηνικὸν, ἀτάραχον, ἀφιλόνεικον, ἄλυπον, νηπενθὲς, κακῶν ἐπίληθον ἁπάντων, καὶ ὅλως σωτήριον· λέγομεν ἄρα ὡς ἡ δικαιοσύνη ἐστὶν ἀρετὴ, ὡς φύσει τοῖς ἀνθρώποις σωτηρίαν καὶ εὐδαιμονίαν παρεχομένη. Μεταβῶμεν δὲ νῦν, εἰ βούλει, κἀπὶ τὴν φιλανθρωπίαν· καὶ μέμνησό μοι ἐνταῦθα, εἰ τινά ποτε λόγῳ, ἢ ἔργῳ εὖ πεποιηκὼς τυγχάνεις· (οὐ γὰρ ἂν εἴποιμι, ὡς πάντας καὶ πανταχοῦ δάκνεις, οὐδ' ὅτι σκορπίου ἅπτοντος εἴληφας ὅλως φύσιν) ὅσον σοι ἐκ τούτου γάνος τῇ ψυχῇ ἐγγεγένηται, καὶ μάλιστ' ἐπειδὰν ὁ παθὼν εὖ ὁμολογῇ τὴν εὐεργεσίαν· οὐκοῦν ἡ φιλανθρωπία, ὡς ταὐτὰ καὶ αὐτὴ ἀποτελέσματα ταῖς εἰρημέναις ἔχουσα, καὶ πρὸς τὴν αὐτὴν εὐδαιμονίαν τὸ ἐπιβάλλον συνεισφέρουσα μέρος, καὶ κατὰ τοὺς φυσικοὺς νόμους τελειοποιοῦσα καὶ συντηροῦσα τὴν οὐσίαν, ἀρετή ἐστι. Ταὐτὸ δὲ τοῦθ' εὑρήσεις σκοπῶν κἀπὶ τῶν ἄλλων ἀρετῶν γιγνόμενον, μέχρις οὗ τὴν γαληνιαίαν καὶ διηνεκῆ ἐκείνην ἡδονὴν ἡ ψυχὴ ἑνοῦσαν ἑαυτῇ

συναισθάνεται· οἷον ἐπὶ τῆς Προσευχῆς, εἰ μὲν αὕτη μέτρῳ τῷ προσήκοντι ὁρισθεῖσα, φερωνύμως καὶ θεοπρεπῶς ἐνεργοῖτο, οὐκ ἂν εἴποις μὴ θεοειδῆ καὶ ἄγγελον ὅλως, τῷ θεῷ παριστάμενον, καὶ τῷ ἀπροσίτῳ συνδιαλεγόμενον, τὸν προσευχόμενον ἀπεργάζεσθαι· ὑπερβᾶσα δὲ τοὺς ὅρους, καὶ τὴν φύσιν ἀπαρέσκειν ἐκβιασαμένη, εἰς ἀδολεσχίαν εὐθὺς μεταβάλλει, καὶ αἴφνης μετὰ τῆς ἡδονῆς συναφεῖλε καὶ τὴν ὠφέλειαν· τὸ γὰρ ἐς ὑπερβολὴν ἐκκρουσθὲν ἔκπτωσιν ποιεῖ ἀρετῆς· ἧς τόπος μόνος εἰς τὸ μέσον ἐν ἅπασι· τὸ δὲ παρὰ τοῦτο ἀμφίκρημνον καὶ μυριόγραμμον ἑκατέρωθεν. Ταῦτα δ' εὑρήσεις κἀπὶ τῶν ἄλλων ἀρετῶν ἐπιστήσας· οὐ μέν τοι γ' ἀπὸ τῶν προλήψεων ἐπὶ τὴν τοιαύτην ὁρμώμενος θήραν· οὐ γὰρ ἂν τύχοις· ἀλλ' ἀπὸ τῶν ἀποτελεσμάτων ἐκείνων σὺν λόγῳ ἐπιχειρῶν· μέχρι γὰρ διακηλεῖ τι τὴν οὐσίαν ἠρέμα πρὸς σωτηρίαν πραττόμενον, ἐκεῖνό σοι πάντως ἀγαθὸν καὶ σωτήριον νομιστέον κατ' ἄμφω, ὡς κατὰ τὸ συναμφότερον τὴν ὕπαρξιν ὑμῶν τελειοῦν· καὶ σκέψαι μοι τοῦτ' ἐπὶ τῆς νηστείας αὐτῆς (εἴγε δεῖ τοιούτῳ ὀνόματι ἀποσεμνύνειν τὴν ἐν ἀλλαγῇ τῶν βρωμάτων αἰσχίστην ἀδηφαγίαν) ἐνταῦθ', ἐπειδὴ συνήθως προσφερόμεθα τῶν ἐδωδίμων τὰ μὴ ἐπιτήδεια ἀνωδύνως τρέφειν ἡμᾶς, δυσχεραίνομεν, πάσχομεν, νοσοῦμεν, ψέγοντες καὶ μεμφόμενοι τίν' οὐχί; πῶς οὖν ἂν εἴποις τοῦθ' ἁπλῶς ἀρετὴν τὴν τελειωτικὸν καὶ σωστικὸν, ἃ μάλισθ' ὑποθάλπει μεθ' ἡδονῆς τὴν οὐσίαν, ἀφαιρουμένην παντάπασι, καὶ ἣν ἡ φύσις διωθεῖται, ἐφ' ᾧ μὴ βλαβῆναι; καί μοι δοκεῖ οὐκ ἀπεικότως ἐκείνη τοῦτο ποιεῖν· οὐδὲν γὰρ πρὸς βλάβην ὁ σοφὸς αὐτῇ νενομοθέτηκε νομοθέτης· διὸ ἐπὶ ταῖς εἰρημέναις τῶν ἀρετῶν, ὡς ἀληθῶς οὔσαις γε ἀρεταῖς, οὐκ ἐπὶ τῇ ἀγάπῃ, οὐκ ἐπὶ τῇ δικαιοσύνῃ, οὐκ ἐπὶ τῇ εὐποιΐᾳ οὐδεὶς οὐδέπω ὤφθη ποτὲ δυσχεραίνων· ἀλλὰ τοὐναντίον, ἅπαντες

ὡς ἐν γαληνιαίῳ καὶ ἀταράχῳ βίῳ μετ' αὐτῶν διάγοντες ἀσμενίζομεν· εἶεν καὶ τοῦτο. Τί δὲ φὴς περὶ γάμου; ἐπειδὴ γὰρ καὶ περὶ τούτου ἰσχυρῶς ταῖς τῶν πολλῶν ἀντέστημεν δοξασίαις, καὶ τὴν τῶν μοναχῶν πρόληψιν, ἀγγελικὸν βίον τὴν ἀγαμίαν εἶναι ὁριζομένων, καθείλομεν πρόῤῥιζον, οὐχ ἧττον κἀκ τούτου παρά τε σοῦ, καὶ τῶν ἄλλων σοι συναύλων ἀγγέλων λατροφυσῖται ἠκούσαμεν· καί τοι εἰκότως, οἶμαι, τοῦτο λεγόμεθα, κἂν ὑμεῖς γ' ὑβρίζοντες τοῦθ' ἡμῖν ὀνειδίζητε· ἧς γὰρ ἄνωθεν εἰλήφαμεν φύσεως, ταύτης ἐχόμενοι, οὐχ' οἷοί τε ἐσμὲν παρὰ τοὺς ὅρους τοῦ δημιουργοῦ μεταστοιχειωθέντας εἰς τὴν ἄϋλον μεταβῆναι· τέως δ' ὑμεῖς γε οἱ τοιούτου ἐφικνούμενοι βίου, τίποτέ φατε περὶ γάμου; ὡς θαυμαστὰ μὲν εἰπεῖν, θαυμαστότερα δὲ ἀκοῦσαι· καλὸν μὲν ὁ γάμος, κρεῖττον δὲ ἡ παρθενία! ὀνόματα ταῦτά γ' εὖ μὲν συγκεκοσμένα, ἀδιανόητα δ' ἄλλως ὄντα καὶ ἀσυμβίβαστα· εἰ γάρ τις σκέψαιτο μετ' ἐπιστασίας, ἀλλὰ μὴ ἐπιλίγδην, οὐκ ἔσθ' ὃ παρὰ τοῦθ' εὑρήσει ἀνοητότερον· ἃ γὰρ ὁ θεὸς αὐτὸς ὁ τὰ πάντα δυνάμενος ἀδυνατεῖ διὰ τὴν ἀντίφασιν συμβιβάζειν, τοῦθ' ὑμεῖς γ' οἱ παντοδύναμοι τολμητίαι οἱ μηδὲ συλλογίζεσθαί πω μεμαθηκότες, παντοίως πειρᾶσθαι ποιεῖν ἀντιφατικῶς ἀληθεύειν, καὶ συγκλώθειν τἀσύγκλωστα· καί φατε ὡς μέγιστα λαρυγγίζοντες. Ἀγαθὸν μὲν ὁ γάμος, κρεῖττον δὲ ἡ ἀγαμία· καὶ ταῦτα φάσκοντες, λόγον προσαποδοῦναι οὐδένα ἔχετε, ἀπαιτούμενοι, εἰ μὴ ὅτι οἱ ἄγαμοι ἀγγελικὸν μετέρχονται βίον· διὸ τὰ αὐτὰ αὖ πάλιν ᾄδετε καὶ προσᾴδετε βακχικῶς, ὥσπερ ἐν πομπῇ τῶν Διονυσιακῶν, ἀγαθὸν μὲν ὁ γάμος, κρεῖττον δὲ ἡ ἀγαμία· τί οὖν κωλύει κἀμὲ συνεξάρχεσθαι τοῦ χοροῦ, καὶ συνεξορχεῖσθαι, τὰ αὐτὰ ὑμῖν ἀντίφωνα ἐπᾴδοντα σὺν εἱρμῷ οὑτωσίν, Ἀγαθὸν μὲν ὁ νοῦς, κρεῖττον δὲ ἡ ἀνοησία· κακὸν

μὲν ἡ νόσος, κάκιον δὲ ἡ ἀνοσία· καὶ, καλὸν μὲν ὁ θυμὸς, κάλλιον δὲ ἡ ἀθυμία· ἀγαθὸν μὲν ὁ καρπὸς, κρεῖττον δὲ ἡ ἀκαρπία· σωτηριώδης μὲν ὁ ὄμβρος, σωτηριωδεστέρα δὲ ἡ ἀνομβρία. Τοιαῦτ', ὦ τίποτ' ἂν εἰπὼν ὑμᾶς, ἀξίως ἂν εἴποιμι, συνείροντες παραπαίετε πρὸς ἀλλήλους, εἰς ταὐτὸ τὰ φύσει διηρημένα συνάπτειν πειρώμενοι· γάμος γὰρ ἄκρον ἀντικείμενον ἀγαμίᾳ, καὶ καρπὸς ἀκαρπίᾳ, καὶ τὰ λοιπὰ ὁμοίως· τὰ γὰρ τοιαῦτα τῶν φύσει ἀντικειμένων ὄντα, ἐναντίαν καὶ τὴν τῶν ἀποτελεσμάτων ἔκβασιν ἔχει· ὃ γὰρ θατέρῳ πρόσεστι φύσει, τοῦτ' ἄπεστι τῷ ἑτέρῳ· πῶς οὖν ἂν εἴη συνάπτειν εἰς ταὐτὸν τὰς τῶν ἐναντίων ποιότητας; Ἀλλ' οὐδὲν θαυμαστὸν τοιαῦτα ληρεῖν τοὺς εἴτ' ἐκ προλήψεως ἐπιχειροῦντας φιλοσοφεῖν, εἴτ' ἐξ ὑποκρίσεως αἱρουμένους τὴν τῶν πολλῶν παράγειν εὐήθειαν· ὧν γὰρ ὁ Ζεὺς, ᾗ φησιν Ὅμηρος, τὴν ἐσωτερικὴν ἐλευθερίαν ἀφεῖλε, τούτων συνεξεῖλε καὶ τὸ ἥμισυ τῶν φρενῶν· Ἀλλ' αὐτὸς ἀπόγε τοῦ νῦν Ἔῤῥωσο, τὸ συναμφότερον ὑγιαίνων καὶ βελτιούμενος· καὶ εἴτι πρὸς ταῦτ' ἔχεις ἀντιπεῖν, γραφῇ τοῦτο ποίησον· ὃ γὰρ γλῶσσα προπετής τε καὶ πέρπερος ἐξολισθαίνουσα, ἁμαρτάνει πολλάκις, τοῦθ' ἡ σοφὴ γραφὶς, βαδίζουσα λογισμῷ, ἰᾶται περιελοῦσα.

*Τῷ Σταύρῳ.* (136.)

Ὡς δεινὰ ἡμῖν τὰ παρὰ τῆς τύχης αὖθις ἀντεστρατήγησε· περιεμένομεν γὰρ ἰδεῖν τὸ τοῦ Ἀλγερίου ἀποβησόμενον, ὅπως καὶ τὸ τῆς Ἑλλάδος πολυθρύλητον ἀγώνισμα τέλος λάβοι, καὶ αἴφνης ἕτερον κακὸν ἀπροσδόκητον ἐν Παρισίοις ἀπέῤῥηξε· στασιάσας γὰρ ὁ δῆμος πρὸς τὸν βασιλέα, ἐφ' οἷς αὐτοῖς παρεβιάσατο τὴν ἐλευθερίαν, τρία θεσπίσμαθ' ἅμα ἐναντία τῷ νόμῳ ἐκδοὺς, καὶ εἰς χεῖρας ἐλθὼν πρὸς τοὺς βασιλικοὺς δορυφόρους, αὐτούς τε τούτους ἐξέκοψε, καὶ τὸν βασιλέα αὐτὸν, μόλις οὐκ οἶδ' ὅποι διαδράντα πρὸς σωτηρίαν, παρέλυ-

σε τῆς ἀρχῆς, τύραννον, ἐπίορκόν τε καὶ παραβάτην τῶν νόμων διακηρύξας· φασὶ δ' οὖν πολλὴν γενέσθαι σφαγὴν, καὶ τοσοῦτόν γ', ὥστε τοὺς τῆς πόλεως στενωποὺς φόνῳ καὶ λύθρῳ περιῤῥυῆναι· δέος οὖν μήτις πόλεμος ἐκραγῇ ἐν Εὐρώπῃ, δεινῶν τῶν τυράννων ποιησαμένων, εἴτινες εἶεν τοιαῦτα τετολμηκότες, ὥστ' ἀντάρασθαι χεῖρα πρὸς τὰ τοῦ Διὸς ἐπιτάγματα, κακῶς εἰδότων, ὡς ἔοικεν, ὡς ἡ φιλοσοφία νῦν κρείττων πολλῷ ἐστι καὶ τῶν τοῦ Διὸς κεραυνῶν. Ἔῤῥωσο.

## Ἀθανασίῳ. (137.)

Οὐ λόγος, ὦ θαυμάσιε, ἀλλ' ἔργον Εὐαγγελικὸν τούς τ' ἀγαθοὺς καὶ πονηρούς, τούς τ' εὐσεβεῖς καὶ δυσεβεῖς ἀπ' ἀλλήλων διΐστησιν· ὥσπερ οὐδὲ χρυσοῦ πολλάκις ἡ ὄψις, ἀλλ' ἡ Λυδία λίθος τό,τε γνήσιον καὶ τὸ κίβδηλον ἐδημοσίευσε μάλιστα· χριστιανοῦ γὰρ ἀληθοῦς, καὶ πολίτου χρηστοῦ γνώρισμα ταὐτὸν, ἡ ἀγάπη, ἡ δικαιοσύνη, ἡ φιλανθρωπία. Ὅστις οὖν τούτοις κεκόσμηται, οὗτος εὐστόχως τετόξευκε, τὸν τέλειον χριστιανὸν πολίτῃ χρηστῷ ἑνώσας, καὶ τὸν χρηστὸν πολίτην χριστιανῷ τελείῳ· Εἴτις οὖν ταῖς ἐρημικαῖς τῶν ἀρετῶν ἐγκαυχᾶται, περὶ ὧν λόγος οὐδεὶς ἐν Εὐαγγελίοις, οἷος οὐ πέπνυται, ἀλλὰ σκιὰ ἀΐσσει, ὡς μήτε πολίτης ἀγαθὸς, μήτε χριστιανὸς ἀληθὴς ἐξελεγχόμενος εἶναι, ἀλλὰ κηφὴν ἀχρεῖος, οὐδ' αὐτὸς ἑαυτοῦ γενόμενος ἄξιος· γέγραπται γὰρ ἔλεον θέλω, καὶ οὐ θυσίαν· τὰς δὲ νηστείας ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου· τίς δ' ἀπήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; καί γε εἰκότως· κοινωνικὸν γὰρ ζῶον ὁ ἄνθρωπος πλασθεὶς ἐξ ἀρχῆς, καὶ ταῖς τρισὶν ἐκείναις ἐντολαῖς, ὥσπερ νόμοις, συνδεδεμένος πρὸς τὸν πλησίον καὶ ταῖς ἀμοιβαίαις ἐντεῦθεν εὖ δρῶν καὶ πάσχων ἐπιμελείαις, συνδιαιτᾶσθαι προστέτακται· τὰ δὲ παρὰ ταῦτα

ἐπουσιώδη πάντα τυγχάνει ὄντα, ὡς φύλλ' ἄττα περισειόμενα τῷ φυτῷ, ἀλλ' οὐ καρπὸς ὁ συντηρητικὸς τῆς οὐσίας. Ἔῤῥωσο.

*Ἰωάννῃ.* (138.)

Πυθόμενός σε, πολλὰ τὸν διδασκαλικὸν ὡς γλίσχρον καὶ φειδωλὸν μεμφόμενον βίον, βούλεσθαι νῦν μεταβῆναι εἰς τὸν ἐμπορικὸν, ὡς δῆθεν ἐλευθέριον τοῦτον καὶ πλουτοδότην, τεθαύμακα, ὅπως σε ἐς τοσοῦτον ἡ τῶν πραγμάτων κρίσις διέφυγεν· εἰ μὲν γὰρ πρὸς κτῆσιν βλέπεις (ὃ καὶ λέγεσθαι ἀνάξιον περὶ σοῦ· πῶς γὰρ οὔ, τοῦ πᾶν, ὃ ἂν πράττῃς, σὺν λόγῳ διὰ τὸν λόγον πράττειν ὀφείλοντος;) ὡς δῆθεν ἐν τούτῳ τὴν εὐδαιμονίαν εὑρήσων, οὐκ εὐστόχως ἐτόξευσας, καὶ ταῦθ' ὁρῶν ὁσημέραι τοὺς πολλὰ κεκτημένους κακοδαιμονεστέρους ταῖς περὶ ταῦτα φροντίσι τὰ πολλὰ γιγνομένους· εἰ δὲ διὰ τιμῆς παρὰ πᾶσιν ἄγεσθαι βούλει, τοῦθ' ἡ Μοῦσα ὑπισχνεῖται παρέξειν σοι βεβαιότερον· ὁ μὲν γὰρ πλούσιος, ὃ ἂν τιμᾶται, τοῦτο διὰ τὸν πλοῦτον ἔξωθεν δοκεῖ ἔχειν· ὁ δὲ σοφὸς δι' ἑαυτόν· τούτῳ ἄρα μόνῳ οἰκεῖος ὁ ἔπαινος, ὅστις εἴη· ἐκείνῳ δὲ ἐς τὰ περὶ αὐτὸν ἀναχθήσεται. Ἔπειτα τίς ἐχέγγυος, ὅτι γενόμενος ἔμπορος, εὐτυχήσεις; οὐχ ὁρᾷς τοὺς μὲν αὐτῶν, πάντα μὲν τὸν βίον πεπονηκότας, πολλῶν δὲ διδασκάλων ἐνδεεστέρους ὄντας· τοὺς δ' αὖ ὡς ἀπὸ περιωπῆς αἴφνης ἐπὶ κεφαλὴν καταπεπτωκότας, καὶ τὴν τράπεζαν ἀνατετροφότας, αὐτούς τε καθ' ἑαυτοὺς ἐλεεινοὺς ἀποβεβηκότας, καὶ τῶν ἄλλων πολλοῖς πολλῶν κακῶν γεγενημένους αἰτίους; ἀγχίστροφος γὰρ ἡ τύχη καὶ πᾶσι μὲν, μάλιστα δὲ τοῖς ἐπὶ τοῖς ἐξωτερικοῖς τῶν δοκούντων ἀγαθῶν γαυριῶσιν, οἷς ἐκείνη μάλιστα νεμεσᾷ· καὶ σκόπει μοι νῦν Κάρολον τὸν δέκατον, τὸν τῆς Γαλλίας πρῴην κρατοῦντα· ὃς ἐν οὐδ' ὅλῳ

μηνὶ τῶν ἀλαζόνων Ἀλγερίνων πολέμῳ κεκράτηκεν, ἐφ' ᾧ μέγας ἦν παρὰ πᾶσι· μικρὸν δ' ὕστερον οὐδ' ἐν ὅλαις τρισὶν ἡμέραις ἐκπέπτωκε πανοικὶ λαμπροτάτης καὶ ἀρχῆς καὶ δυνάμεως· καὶ νῦν ἰδιώτης ὤν, σκοπεῖ, ποῖ ποτ' ἀπελθὼν, διανύσει τὸ λοιπὸν τοῦ βίου φιλοσοφῶν. Μένε τοίνυν, ἐν ᾧ ἐκλήθης, ὑπὸ μηδεμιᾶς ἑτέρας ἐπιθυμίας νικώμενος, ἢ ὅπως ὠφελήσεις τάγε δυνατὰ τὸν πλησίον· ἐκ τούτου γὰρ κἀνταῦθα τιμήν τε καὶ πόρον τοῦ βίου προσδόκα σεαυτῷ ἔσεσθαι ἱκανόν· οὐ γὰρ ἀγνώμονες αἱ Μοῦσαι τοῖς γ' εὐγνωμόνως αὐτὰς θεραπεύειν εἰδόσι· καὶ μετὰ ταῦθ' ἡ ἀντιμισθία ἐξ ἐπαγγελίας στερεὰ καὶ ἀπόῤῥητος. Ἔῤῥωσο.

Τῷ *Λογάδῃ*. (239.)

Ὀψὲ μὲν, οὐδ' ὡς ὤφειλεν· ἀλλ' οὖν ἤρθη ἀφ' ἡμῶν ἡ δεκαετὴς σιωπή· οὐ μὴν δ' ἐν τούτῳ τῷ χρόνῳ συμπαρηκολούθει ὁμοίως καὶ λήθη ἀλλήλων οὐδ' ἡτισοῦν· ἀμφότεροι γὰρ σύνισμεν ἡμῖν αὐτοῖς, ὅσον μὲν τἀλλήλων περὶ πλείστου διατελοῦμεν τιθέμενοι, ὑπὸ δὲ τῶν παρόντων κακῶν, ἄλλοτ' ἄλλων, καὶ μετ' ἐκεῖν' ἑτέρων αὖθις, ὡς ἐν παλιῤῥοίᾳ, ῥεόντων καὶ μεταῤῥεόντων, πιεζόμενοι ὡς ἐν στενωτάτῳ, οὐκ εἴχομεν, εἰς ἡδονὴν ἥντινοῦν ἀνειμένοι, γράφειν πρὸς ἀλλήλους, ἃ ἠριέμεθα· ἄλλως γὰρ ἔγωγε καὶ ἐν Στεφανουπόλει ποιούμενος ἔτι τὰς διατριβὰς (μαρτύρομαι δὲ τὸν φίλιον), ὑπόθ' ὑμεῖς αὐτοῦ τὸν περὶ ψυχῆς ἔθεῖτε, οὐδέποτ' ἐπαυσάμην σὺν οὐκ ὀλίγῃ πτοήσει περὶ σοῦ πυνθανόμενος· ἀλλὰ καὶ βοήθειάν τινα ἐμελέτησα προσγενέσθαι σοι ἐκ τῶν ἐμῶν ἀπὸ Βουκουρεστίου (εἴγε δεῖ ἐπὶ μὴ κατωρθωμένοις αὐχεῖν·) ἀλλ' ὁ ὀφείλων ἔφθη ἀναισχύντως ἀνατρέψας τὴν τράπεζαν· εἶθ' οὕτως ὁμοίως καὶ ἕτερος, καὶ μετ' ἐκεῖνον ἄλλος ἑξῆς, δεξιὸν πρὸς τοῦθ' ἕκαστος εὑράμενος τὸν καιρόν· ὁ δὲ θαυμαστότε-

ρον· ποιήσαντές με γὰρ γυμνότερον ὑπέρου, προσγελῶσιν ὑποκορυζόμενοι πρός γ' ἐμὲ, νῦν φάμενοι καλόν με κἀγαθὸν μοναχὸν καὶ διδασκάλον εἶναι, ὡς μόνην δῆθεν τὴν ἀκτημοσύνην ἀμφοτέρων τῶν ἐπαγγελμάτων ἀληθὲς οὖσαν γνώρισμα· ἐφ' οἷς συγγελῶ κἀγὼ αὐτοῖς, πρῶτον μὲν, ὡς λεγόντων αὐτῶν περὶ ἐμοῦ ἀληθῆ· ἔπειτα δὲ καὶ τί δεῖ ποιεῖν, ἐν οἷς οὐδεμία ὄνησίς ἐστι λυπουμένοις; δεῖ δέ με μάλιστα καὶ χάριν αὐτοῖς προσειδέναι, ἐφ' οἷς με παιδεύουσι ποιεῖν, ἃ καθήκει· ἀλλὰ ταῦτα μὲν ὧδ' ἔχει· τὰ δ' ἄλλα πῶς; Ἅμα τῆς ἐπαναστάσεως πρὸ δεκαετίας ἤδη γεγενημένης, ὥσπερ ὑπὸ θυέλλης αἰφνῆς ἁρπαγεὶς, οὐκ οἶδ' ὅπως, πέρα τῶν Καρπαθίων ἐγενόμην τῷ φόβῳ· ἔνθα παροικήσας λίαν γλίσχρως ἐν Στεφανουπόλει ἓξ ὅλα ἔτι, ἐπανῆλθον ἐνταῦθα, ἅτε ἀπώλεσα, ὡς ἐπικτησόμενος, καὶ ἐφόδιον ὡς ἐξ ὑπαρχῆς ὁτιοῦν καταθησόμενος εἰς τὸ γῆρας· ἀλλ' οὐ κατὰ σκοπὸν δοκῶ ὀϊστεῦσαι· πόλεμος γὰρ καὶ λοιμὸς, πρόσθες δ' ἔπειτα καὶ λιμὸς ἀνέτρεψε πᾶν τὸ εἰς προμήθειαν ἐκεῖνό μου κατανόημα. Τούτων οὖν οὕτως ἐχόντων, καὶ μάλιστα τῆς Ἑλληνικῆς παιδείας ἐνταῦθα κατηργημένης μικροῦ δεῖν ἐν γένει, ἔγνων κατελθεῖν εἰς τὴν φίλην Ἑλλάδα, καὶ κατὰ μῆνα Σεπτέμβριον διαπλεύσας τὸν Βόσπορον, ἀσπάσασθαι τὴν σὴν κορυφήν· ἀλλ' ἐπειδὴ προπέμψας τῷ κοινῷ τῶν Ἑλλήνων τὰ περισωθέντα μοι τῶν βιβλίων, κατηνάλωσα ναῦλον γρόσια τρισχίλια μάλιστα, ἔμεινα ἐνταῦθα καὶ τῆτες, μήτι μοι ἄλλοθέν ποθεν ἀντ' ἐκείνων γένοιτο ἀντισήκωμα· ἀλλ' οὐκ ἂν, οἶμαι, καὶ ἦρος φανέντος, μήδ' ὅ,τι καὶ γένοιτο, τοῦτό με τῆς προθέσεως κωλύσειε ταύτης· σκοπὸς δὲ καὶ τούτου ἐκεινοσὶ, ἐκδοῦναι, ἅ μοι ἐν Στεφανουπόλει αὖθις ἐν ἑξαετεῖ χρόνῳ πεπόνηται· εἰσὶ δὲ ταῦτα· (οἶδά γάρ σε καὶ τοῦτο μαθεῖν ἐφιέμενον) Ὅμηρος, Εὐριπίδης, Σοφοκλῆς, ἡ Τετρακτὺς, ἡ Ξυνωρὶς, καὶ ἕτερ'

ἄττα σπουδαῖά τε καὶ καθ' ἡδονὴν, ὅ,τι ποτὲ κατὰ περιστάσεις τινὰς ἐπῆλθέ μοι γράψαι· οἷς ὡς εἰς πεντεκαίδεκα τόμους καί τι πλέον πληθυνουμένοις τίς ἰσχὺς; τίς χρόνος; τίς πόρος δύναται πέρας θεῖναι, τοῦ γήρως ἐπιβαρύναντος; ἐλπὶς δὲ μόνη προσήκει μᾶλλον τοῖς μόνον μὴ εἰδόσιν,

» Ὡς ἐλπίδας μὲν ὁ χρόνος οὐκ ἐπίσταται
» Σώζειν· τὸ δ' αὐτοῦ σπουδάσας, διέπτατο,

Ἔῤῥωσο. καὶ τὴν σὴν οἰκογένειαν τοῦτ' αὐτὸ κέλευε.

## *Δημητρίῳ.* (140.)

Πόθος καὶ χρεία ἅμα εἶλε καὶ Μανουῆλον τῶν ἐμῶν καὶ σῶν φίλων τὸν ἄριστόν τε καὶ ἥδιστον τὴν ἑαυτοῦ ἐπισκέψασθαι ἔπαυλιν· ἀλλ' ἐδεήθη κἀμοῦ συμμετασχεῖν τῶν ἐντεῦθεν ἀποβαινόντων· ὡς οὖν τῶν καθ' ἡδονὴν τούτων ἂν μάλιστα ἐσομένων, τί μὴ μέλλω πείθεσθαι ἀνδρὶ εὐνοοῦντι, ἐν οἷς αὐτόν τε μάλιστ' ἐμαυτοῦ ἐξαρτήσομαι, καὶ ἐμαυτῷ ἰδίᾳ οὐκ ἀπαρέσκοντα πράξω, χαλασθέντων πρὸς ὀλίγον τῶν πόνων, εἰς ἡδονὰς ἀνεῖσθαι; ἡδονὴ δ' οὖν ἔμοιγε, ἐπειδάν ποτ' ἀποστῶ τῶν Μουσῶν, μάλιστα τὸ θηρεύειν, καὶ σύνοισθάς μοι τοῦτ' αὐτὸς συνθηρευτὴς πολλάκις γεγενημένος· ἵν' οὖν εὐστοχώτερον ἡμῖν τοῦτο γένοιτο, πέμψον μοι τῶν σῶν τηλεβόλων τὸ δίκροτον· καὶ ἔσται σοι τοῦτ' οὐ παντάπασιν ἄμισθον· ἀποδοθήσεταί σοι γὰρ ἐκ τῆς θήρας κορυδαλλὸς, εἰ οὕτω τύχοι, ὁ λιπαρώτατος πάντων, ὧν ἂν θηράσωμαι. Ἔῤῥωσο.

## *Ἀρχιγένει.* (141.)

Λίαν ἐπτόημαι περί σοι, μή τι πέπονθας χαλεπόν· οὐ γὰρ ἂν ἑκὼν εἶναι ἐψεύσω, οἶμαι, πρός γ' ἐμὲ τὴν ὑπόσχεσιν· Εἰ μὲν οὖν μαλακῶς ἔχεις τι, ὃ μὴ εἴη, εὔχομαί σοι ταχέως ἀνασφῆλαι, τήν τε πρεσβίσταν τῶν μακάρων ἀνευράμενον

ὑγιείαν, καὶ εἴτις ὄνησις ἐκ τῆς ἱερᾶς τῶν Ἀσκληπιαδῶν τέχνης, μηδὲ ταύτης καταμελοῦντα· εἰδ᾽ ἄλλο τί ἐστι τὸ κωλύον, τοῦτ᾽ αὐτὸ μήνυσον, ἵν᾽ αὐτὸς πέμψας τὸν παῖδ᾽, ἐπιθῶ, οἷς δεῖ, τὰ πρὸς ὃν ἐπιγέγραπται γράμματα. Ἔῤῥωσο·

## Τῷ Σταύρῳ. (142.)

Πολλὰ τῆς ἱςορίας, δοκοῦνθ᾽ ἡμῖν ἀπίθανα εἶναι, ἅτε δὴ πολὺν ταῖς ἀκραῖς παρέχοντα τὸν παράλογον, εἰς μύθους τῷ χρόνῳ μετεσχημάτισται ὕστερον· οἷον ἀηδόνες καὶ χελιδόνες, Κέκροπές τε καὶ Γηριόνες, καὶ ἄλλα τοιαῦθ᾽ ἱπποκενταύρια τέρατα, ὧν τὰ μὲν ἐξ ἀνθρώπων εἰς τὴν τῶν πτηνῶν μετέβαλον φύσιν, τὰ δὲ ἐκ διαφόρων εἰδῶν εἰς ἓν συμπεφύκασιν· ἀλλ᾽ οὖν ἦσαν ἐκεῖνα, ὡς ἔοικεν, ἀληθῆ· ἡμεῖς δὲ ἠγνοοῦμεν τὸ σύνολον, κακῶς εἰδότες τὴν φύσιν ἐν πολλοῖς πολλάκις θαυματοποιὸν γιγνομένην· μαρτυρεῖ δέ μοι τῷ λόγῳ ἄλλα τε πολλὰ καὶ ἐφ᾽ ἡμῶν αὐτῶν πρῴην τοιαῦτα γεγενημένα· ἀλλ᾽ οὐχ ἧττον καὶ ὃ νῦν συνέβη ἐν Βιέννῃ γενέσθαι τερατοδέστατον· γυνὴ γάρ τις, ἧ Σοφία ὄνομα, Αουστριακὴ, ὥς φησιν ὁ Τηλέγραφος, Πριγκιπὶς ἔτεκεν Ἀρχιδοῦκα· ὅ,τι δέ ποτε καὶ ὁποῖον ἐστὶ τὸ ζῶον τοῦθ᾽, ὃ ὀνομάζουσιν Ἀρχιδοῦκα, οὔτ᾽ αὐτὸς ὁ τῆς ἐφημερίδος πατὴρ ἡμῖν ἐξηγήσατο, οὔθ᾽ ἡμεῖς, καί περ πολλὰ ἐν τῇ φυσικῇ ἀνερευνήσαντες ἱστορίᾳ, οὐδὲν τοιοῦτον ἐν ζώοις, οὐκ ἐν τετράποσιν, οὐκ ἐν ἑρπετοῖς, οὐκ ἐν νηκτοῖς, οὐκ ἐν αἰθερίοις, οὐδέν᾽ οὐδαμοῦ τοιοῦτον εὕρομεν Ἀρχιδοῦκα· ἄλλο δέ τι παρὰ τοῦθ᾽ ὑπάρχειν εἶδος θηρίων οὐ μέμνημαι ἔγωγε. Καί τοι τινὲς, οἷον ἀμαθεῖς ἄνθρωποι καὶ σκαιοὶ, διαφιλονεικοῦντες, ἄνθρωπον, οὐ θηρίον, ὅμοιον ἡμῖν τὸν Ἀρχιδοῦκα τοῦτο διϊσχυρίζονται εἶναι· τοιούτους γὰρ εἶναι, οὓς ἂν βασίλιδες, βασιλεῦσι συγγενόμενοι, τέκωσιν· ἀλλ᾽ οὐκ ἂν ἐμέγε πείσειαν οὗτοί γε μὴ τέρας τὶ εἶναι τοῦτον τὸν

Ἀρχιδοῦκα· πῶς γὰρ, ὃν οὐκ ἔστι πάσαις γυναιξὶ τεκεῖν ὁμοίως; τά,τε γὰρ σπέρμα ταὐτὸν, καὶ ἡ ἄρουρα, ἡ τὸ σπέρμα δεχομένη ἡ αὐτὴ ἐκ τῆς αὐτῆς φύσεως δέδοται· ἔστιν ἄρα θάτερον δυοῖν, ἢ τὸ τεχθὲν θηρίον, ἢ ἡ τεκοῦσα μὴ ἄνθρωπος. Ὡς γὰρ βοῦς μόσχον τίκτει, καὶ ἵππος πῶλον, καὶ οἶς ἄρνα· οὕτω καὶ ἡ ἄνθρωπος παιδίον, ἀλλ' οὐκ Ἀρχιδοῦκα, ὅστις ποθ' οὗτος εἴη, πέφυκε τίκτειν. Δούκαν γὰρ κἀμὲ κικλίσκουσιν πάντες, ἀλλ' οὐ Δούκαν με τέκε μήτηρ, οὐδ' ἄλλο τι τέρας, ἀλλὰ παιδίον μικρὸν, βρέφος εἰλισσόμενον ἐν σπαργάνοις. Εἰδ' αὖ ὅμοιον μὲν ἡμῖν τέτοκεν ἡ βασιλὶς ἐκείνη· ἀποσεμνύνειν δὲ τὸ ἑαυτῶν γένος οἱ σφόδρα ἐπηρμένοι τοῖς τῶν ὀνομάτων πυργώμασι προσποιοῦνται, καὶ ὡς κρείονες Ἀγαμέμνονες, ἐν ὁμοίᾳ τιμῇ ἡμῖν τοῖς Ἴροις οὐκ ἐθέλουσιν εἶναι, μακαρίζω τὴν σεβασμίαν Ἑλλάδα, ὅτι ἅμα ἀνακτησαμένη τὴν ἐλευθερίαν, τοιαῦτα τέρατ' ἐπαύσατο τίκτουσα· οὐκέτι γὰρ ὀψόμεθα ἐν αὐτῇ, μέχρις ἂν ὁ σοφὸς ἡμῖν καὶ μέγας ἀνὴρ αὐτὴν κυβερνᾷ, οὔτε Πρίγκιπας, οὔθ' Ἱπποκενταύρους, τούτους δὴ τοὺς σῆπας τῆς ἀνθρωπίνης εὐδαιμονίας· περὶ ὧν κἀκεῖνο ἐνέτεινέ τις, ὅστις δ' ἂν εἴη ὁ σοφὸς αὐτοῦ ποιητὴς,

» Ἀσπίδα, φρῦνον, ὄφιν, καὶ Λαδικέας περίφευγε, »
Καὶ κύνα λυσσητὴν, καὶ πάλι Λαδικέας.

ὀλέθριον γὰρ τουτὶ τὸ θηρίον, ὡς πολλῶν κακῶν ἀνθρώποις ἐν τῇ πρὸς ἀλλήλους κοινωνίᾳ γιγνόμενον αἴτιον. Ἔῤῥωσο.

## *Τῷ Στεφάνῳ.* (143.)

Σφόδρα σέ φασι διαφιλονεικῆσαι πρός τινας, περὶ ὧν καὶ παντὶ μὲν χριστιανῷ, σοὶ δὲ μάλιστα καὶ διὰ τὴν ἡλικίαν ἀντιφέρεσθαι οὐκ ἀνεύθυνον· πολλὰ γὰρ τῆς γραφῆς καὶ λέξει καὶ φράσει, τὰ μὲν κατ' ἰδίωμα γλώσσης, τὰ δὲ καὶ δι'

ἀλληγορίαν πολὺ περιβέβληνται τὸ γριφῶδες· ἃ οὐχ ὡς μὴ καλῶς ἔχοντα ἐξελεγκτέον, ἀλλ' ὡς ἀγνοούμενα ὑφ' ἡμῶν σεβαστέον. Ταῦτα τοίνυν ἤδη ὅλως ἀποσιωπητέον, ἢ ἐξηγητέον, αἰχμαλωτίζοντες πᾶν νόημα κατὰ τὸν Ἀπόςολον πρὸς τὸ εὐσεβεῖν. Ἀπέχου τοίνυν, τέκνον μοι, τῶν τοιούτων· περὶ ὧν τὸ μὲν σιωπᾷν κέρδος ἔχει, τὸ δὲ λέγειν πολλάκις εὐθύνεται. Ἔχεις γὰρ οὐρανὸν, γῆν, τὰ ἐν αὐτοῖς πάντα εἰς θεωρίαν προκείμενα· ἐξ ὧν σαυτόν τ' εὐφρανεῖς θεωρῶν, καὶ τὸν ποιητὴν ἀξίως ὑμνήσεις· τὰς δὲ βουλὰς καὶ τὰ κρίματα αὐτοῦ ἄφες ἐκεῖνον εἰδέναι μόνον, τὸν μόνον εἰδότα πάντα· οὐ γὰρ ἀκίνδυνον ἐν τούτοις ὑπερβάθμιον αἴρειν πόδα· καί τοι καὶ ἡ φιλοσοφία αὐτὴ ὅρους τέθηκε τοῖς ἀνθρώποις, οὓς ὑπερβαίνειν ἐν ταῖς θεωρίαις οὐκ ἀνεπίληπτον γίγνεται. Ἔῤῥωσο.

*Μαργαρίτῃ.* (144.)

Ὡς ἀπατηλὴ ἄρ' ἡ νεότης καὶ ἀμφίκρημνος πέφυκεν ἐφ' ἑκάτερα· ἐγὼ δὲ, καί τοι ἐπὶ πολλῶν ἑώρων τοῦθ' οὕτω γιγνόμενον, ἀλλ' ἐπὶ σοῦ γε μόνου, οὐδ' εἴτι καὶ γένοιτο, τοιαῦτ' ᾤμην συμβήσεσθαι· τάτε γὰρ ἱερὰ παιδικὰ, ἥτε τριετὴς σὺν ἐμοὶ οἰκουρία, καὶ ἡ συνεχὴς ἐν λόγοις διατριβὴ, πάντα ταῦτα καὶ ἄλλ' ἐπὶ τούτοις πολλὰ τοσοῦτον περὶ σοῦ ἐδόκει μοι τὸ σῶφρον πιστώσασθαι, ὥστ' οὐκέτι σοι ὡς νέῳ προσεῖχον τὸν νοῦν, τὴν ἀπὸ τῆς φιλοσοφίας βοήθειαν ἀξιόχρεων ἡγεμόνα τοῦ βίου σοι ἐγκαταθεῖναι οἰόμενος· νῦν δ' ἀληθὲς ἄρ' ὃ λέγεται περὶ τῶν ἄρτι καθισταμένων τὸν βίον, ὡς πάντων μὲν δυνατὸν ἐπιβόλους γενέσθαι, φιλοσοφίας, γεωμετρίας, ἰατρικῆς· φρόνησιν δ' τελείαν, κτήσασθαι μόνων ἐστὶ τῶν θείᾳ μοίρᾳ τούτου τετυχηκότων· ταῦτ' ἄρα καὶ τοῖς νομοθέταις ἄριστα περὶ τούτων πεφιλοσόφηται, μήτε γαμεῖν, μήτε κύριον εἶναι κλήρου, εἴτις μήπω τοῦ εἰκοςοῦ

καὶ τετάρτου ἐπιβέβηκεν ἔτους· ἴσασι γὰρ μήπω τοῖς τοιούτοις τὸ ἦθος γενόμενον σταθερὸν, ὑπὸ τῆς καθ' ἡλικίαν αὔρας διηνεκῶς ῥιπιζόμενόν τε καὶ σαλευόμενον· οἷον καὶ αὐτὸς δοκεῖς πεπονθέναι, οὐχ ὅ,τι συνοίσει σοι ἐς τὸν ἔπειτα χρόνον, ἀλλ' ὅπερ νομοθετοῦσιν ἐν σοὶ μᾶλλον οἱ τῆς ἡλικίας ἀλάςορες, τὰς Σειρῆνας, ὡς σκῆπτρα, καὶ δόξας, καὶ ὄλβους, καὶ ἁπλῶς πᾶσαν εὐδαιμονίαν σοι παριστῶντες, τοῦτο, παρακρουσθεὶς ὑπ' ἐκείνων, προείλου· ἃ δ' ἡμεῖς σὺν πολλῷ μὲν πόνῳ, πλείονι δὲ εὐνοίᾳ ἐσπείραμεν, καὶ τύχῃ ἀγαθῇ εἰς βαθὺ λήϊον κατηρδεύσαμεν προϊέναι, ταῦτ' αἴφνης ὡς ἐκ λαίλαπος ῥαγδαία καταράξασα χάλαζα, ἀπέκειρεν ἅπαντα· καὶ ἦσαν μὲν οἱ ἐπαινοῦντες τὰ σὰ δι' ἐμὲ, ἦσαν δὲ καὶ φθονοῦντες· καί γε εἰκότως· τοιαύτη γὰρ τῶν ἀνθρώπων ἡ φύσις, ὥστε τὸ αὐτὸ ἀγαθὸν μὴ ὁμοίαν τὴν κρίσιν ἐπιδέχεσθαι ἔξωθεν· ἀλλὰ νῦν ὅ,τε ἔπαινος ὁ πολὺς εἰς ψόγον μετέβαλε, καὶ ὁ φθόνος εἰς νέμεσιν ἄντικρυς, ἐφηδομένων ἤδη τῶν ἐχθρῶν ἐπὶ σοὶ, ἐφ' οἷς αὐτὸς ἀναξίως δῆθεν ἐπῆρα τὰ σὰ, τὰ ἐμαυτῷ συμφέροντα τιθέμενος δεύτερα (καὶ τοῦτ' οὐδ' αὐτὸς ἀρνηθείης, εἰ μή σε ὅλως ἀπολέλοιπεν ἡ συνείδησις.) Τό δ' οὖν οὕτω κακῶς ἀκούειν ἴσθι μηδὲν ἄλλ', ἢ ὁδὸν εὐρεῖαν οὖσαν πρὸς τὸ κακοδαιμονᾶν· σοφῆς δὲ διανοίας τὸ, Κρεῖσσον ὄνομα καλὸν ὑπὲρ πλοῦτον πολύν. Τοῦτ' οὖν δεῖ σε πρῶτον κτήσασθαι ἀπομορξάμενον, ὥσπερ τινὰ κηλῖδα, τὴν ἐπιπολάζουσαν δύσκλειαν· πῶς δὲ τοῦτο ἔσται; εἴ γε προσέλθοις τῷ αὐτῷ ἰατρῷ, ὃς καὶ πρότερόν σε πεπονθότα τὶ, δεξάμενος φιλοστόργως, ἰάσατο ἀνωδύνως· καί τοι σὺ καὶ παρὰ σεαυτοῦ, εἰ μή τι ἡ ἡλικία σφριγῶσα κωλύσειεν, εὕροις ἂν τῷ πάθει παιώνια φάρμακα· ἀνὴρ γὰρ λόγιος κατὰ τὸν Ἐπίκτητον, ὥσπερ ἀφ' ἑαυτοῦ ἐξοκέλλει, ἐφ' ἃ μὴ δεῖ· οὕτως αὖ ἐπανήκει, ἐφ' ἃ δεῖ, τό,τε πίπτειν καὶ τὸ ἀνορθοῦσθαι

οἴκοθεν ἔχων· τοῦτ' οὖν τοὔνομα σπουδαστέον σοι μάλιστα ἐπικτήσασθαι· καὶ τοῦτο μέχρις οὗ ἐγὼ διατρίβω ἐνταῦθα, πειθόμενος μὲν ἐμοὶ, ἀποφεύγων δὲ πᾶσαν ὁμιλίαν τῶν λυμεώνων καὶ ἀνατροπέων, ἀπεμπολούντων ἐπὶ πολλῷ τὴν σὴν περὶ τὰ δοκοῦντ' ἀγαθὰ ἀνεπιστασίαν τε καὶ εὐήθειαν· ἐπειδὰν δὲ ἐγὼ ἀπέλθω, τηνικαῦτα τὴν δι' ἐμοῦ κεκτημένος ὑπόληψιν, ἐπιβαλοῦ κἀπὶ πλέον εὐδοκιμῆσαι, πρὸς τὸ τοῦ διδασκάλου ἀεὶ ἀξίωμα ἁμιλλώμενος φιλοτίμως· ἔσται δὲ τοῦτ', εἰ καὶ τὸν ἐμὸν μιμήσαιο βίον, ἀπέριττον ὅλως, ἀπερίσπαστον, ἀπερίεργον, σώφρονα (εἴγε δεῖ καὶ ταῦτα πρὸς σὲ καυχᾶσθαι), μίαν ἡδονὴν περὶ πλείστου τιθέμενον τὸ ἐν λόγοις ἐπίμονον· τοῦτον γὰρ οἶδ' ἐγὼ βίον ἐλεύθερον, ὄλβιον, εὐκλεῆ, ἐν πᾶσιν ἡγουμένης φρονήσεως. Ἔῤῥωσο κατ' ἄμφω υἱέ μου τηλυγέτα, ἐπιβαίνων ἀσπίδος καὶ δράκοντος· σὲ γὰρ τελευταῖον οἶδα γεννήσας, ἔν γε τῇ Δακίᾳ παρ' αὐτῷ τῷ ᾅδῃ ἤδη γεγενημένος.

## Ἀρχιγένει. (145.)

Πῶς ἄν τις καὶ τὴν πρόνοιαν ἀδιστάκτως ὁμολογῶν, ἐξυμνήσειεν, πολλῶν ἐν τῷ βίῳ φερομένων εἰκῇ· καὶ τὴν τύχην μὴ μέμψαιτο, τυφλὴν ὅλως οὖσαν, ἐν οἷς, ὡς ἔτυχεν, ἐξεργάζεται; αὐτίκα γὰρ Κωνσταντῖνος ὁ Βαρδαλάχος, ἀνὴρ σοφὸς καὶ πολλῶν ἀγαθῶν, ἐξ ὧν συνέγραψε, τοῖς Ἕλλησι γενόμενος αἴτιος, ἐπιθυμήσας καὶ αὐτὸς, ὀγδοηκοντούτης μικροῦ δεῖν ἤδη γεγενημένος, ἀπελθεῖν ἐς τὴν Ἑλλάδα, τό,τ' ἀπ' αὐτῆς ἐλεύθερον φῶς ὀψόμενος, καὶ τὸν χοῦν τῷ χοΐ, τὸν ἴδιον τῷ κοινῷ παραδώσων, ἀναχθεὶς ἀπ' Ὀδησσοῦ, ἀσφαλῶς μέχρι Σύρας κατέπλευσεν· ἐκεῖθεν δ' αὖ διαπεραιούμενος εἰς Ναύπλιον, ἀπώλετο ἄθλιος, οὐκ οἶδ' ὅπῃ

περὶ τὰ Θερμὰ ναυαγήσας, παρὰ τοσοῦτον ἐλθὼν πληρῶσαι, ὃν ἔσχε πόθον ἐν ἐλευθέρᾳ ἀποθανεῖν τῇ Ἑλλάδι. Τοῦτ' οὖν χθὲς ἀναγνοὺς ἐν τῇ ἐφημερίδι, ἅμα τό,τε πάθος, οἷα εἰκὸς, κατεδάκρυσα, καὶ τὴν τύχην πικρῶς ἐμεμψάμην, οὕτως ἀκρίτως ἀνακυκῶσαν, ὡς βούλεται, τὰ ἡμέτερα· ἀλλὰ κἀμὲ αὐτὸν περὶ ἐμαυτοῦ ὑπόπτως ἔχειν ἡ ἀλάστωρ πεποίηκε, καὶ ἀποδειλιᾶν παραδοῦναι ἐμαυτὸν θαλάττῃ ἀπίστῳ καὶ κύμμασιν ἀμειλίκτοις· καὶ γὰρ ἀθανασίας μὲν, ἀδυνάτου πράγματος οὐκ ἐρῶ· ἀλλ' οὐκ ἂν βουλοίμην ἰχθύσιν ἀφώνοις ἕλωρ καὶ κύρμα γενέσθαι· ἀλλ' αὐτῇ τῇ μητρὶ γῇ παραδοθῆναι, ἐλευθέρᾳ νῦν γε γεγενημένῃ· κἂν αὐτόθι μείζω τὴν φρίκην παριστῶσι τῇ φαντασίᾳ αἱ εὐλαὶ καὶ τὰ κνώδαλα. Ἀλλὰ σύγ' ἀνασφήλειάς μοι ὡς τάχιστ' ἀπὸ τῆς ἀῤῥωστίας, καὶ διαβιῴης ἐῤῥωμένος τοῖς Ἕλλησιν, ἡμῶν, ὡς ὁρᾷς, τῶν γερόντων ἀποῤῥεόντων καθ' ἕνα.

*Ἰωάννῃ.* (146.)

Λαίλαψ ὁ χθεζὸς καὶ ἄλλας μὲν ζημίας τοῖς πλουσίοις μάλις' ἐπήνεγκεν, ἀλλὰ καὶ τῶν ὡραίων τρωκτῶν ἐν τῷ ὑμετέρῳ κήπῳ οὐκ ὀλίγα κατέβαλεν· ὡς οὖν σηψομένων τούτων, δὸς ἡμῖν τοῖς καὶ ἀπὸ τῶν ψηχίων τῆς ὑμετέρας τραπέζης χορτασθῆναι ἐπιθυμοῦσι τούτων γοῦν μετασχεῖν· τῷ τε γὰρ δεσπότῃ τὸ δῶρον ἀζήμιον, καὶ τοῖς γευσομένοις ἥδιστον ἔσται. Οὐδ' ἄλλως ἐροῦμεν τὸ προχειρότατον, ὡς χάρις ἄχαρις μὴ σὺν χάριτι γιγνομένη. Ἔῤῥωσο.

*Ἠσαΐᾳ.* (147.)

Κίνησις ἐρημία, ὕπνος ἐγρήγορσις, κόρος κένωσις, τοῦτο βίος τοῖς ὡς ἔγγιστα τῶν κτηνῶν διαβιοῦσιν· ἀνδράσι δ'

ἀγαθοῖς εὐποιΐα· διὸ καὶ τῶν ἀρχαίων τις, εἴποτ' ἐτύγχανε μηδένα εὖ ποιῶν, τὴν ἡμέραν ἐκείνην οὐκ ἐλογίζετο, ὡς μὴ βεβιωκώς· ἀλλὰ πρὸς τί μοι ταῦτα; Δημήτριός τις, ἀνὴρ ἐλλόγιμος αὐτός τε ἀλγεῖ, ταῖς τῆς ποδαλγίας ὀδύναις τρυχόμενος, καὶ τὸ γύναιον μετὰ τῶν παιδίων τήκεται λιμῷ. Πρόκειται τοίνυν σοι μεγάλα μικρῶν ἀνταλλάξασθαι, δι' ὀλίγων κερμάτων τοῖς δικαίοις συγκατατεταγῆναι. Ἔρρωσο.

### *Τῷ Ἱλαρίωνι.* (148.)

Ἀνήρ τις τῶν ἀπορωτάτων, ἐλλόγιμος, ὀδυνηρᾷ τρυχόμενος νόσῳ, δεῖται σοῦ δι' ἐμοῦ δυοῖν θάτερον, ἤτοι σίτησιν αὐτῷ καὶ τοῖς παισί ποθεν προμηθήσασθαι, ἢ τὰ σάβανα καὶ τοὺς ταφεῖς αὐτῷ ἀποστεῖλαι. Ἔρρωσο.

### *Ἰωάννῃ.* (149.)

Ἐγὼ μὲν γράφων δεινὸς ἴσως πείθειν· σὺ δὲ καὶ λέγων μάλιστα. περιϊὼν τοίνυν δίδασκε ἕκαστον, ὅθεν βοήθειά τις ἔσται Δημητρίῳ τῷ ταλαιπώρῳ, ᾗ συνέχεται ἀπορίᾳ· ἀνάξιον γὰρ ἡμῖν καταλιπεῖν ἄνδρ' ἐλλόγιμον τρυχόμενον νόσῳ, γενέσθαι λιμοῦ παρανάλωμα. Ἔρρωσο.

### *Ἰωάννῃ.* (150.)

Δημήτριος ὁ διδάσκαλος ὁ πολὺν ἤδη χρόνον τῇ χαλεπωτάτῃ ἀντεξεταζόμενος νόσῳ, νῦν ἐν τῷ στενωτάτῳ τούτῳ καιρῷ κινδυνεύει πανοικὶ παρανάλωμα γενέσθαι λιμοῦ, καὶ ταῦτ' ἐν Βλαχίᾳ τῇ ζειδώρῳ καὶ βωτιανείρῃ· σὲ δ' ἡ τύχη, καλῶς ποιήσασα παρήδρασε τῶν ἐν τῇ πόλει ταύτῃ τοῖς ὀλβιωτάτοις, ἵν' αὐτός θ', ὧν ἂν βούλῃ, τυγχάνῃς, καὶ τοῖς ἔξωθεν δεομένοις ἐπινέμῃς ἀφιλαφῶς τὰ

ἀπὸ τῆς τραπέζης ἐκείνων ἐκπίπτοντα ψήχια· Συμπράξας οὖν γενέσθαι αὐτῷ παρὰ τῶν δεσποτῶν τινα ἐπικουρίαν, ἐμοί τε νῦν τὰ μέγιστα χαριῇ, καὶ τὸν θεὸν αὐτὸν ἔσῃ σεαυτῷ ἐσχηκὼς ὀφειλέτην. Ἔῤῥωσο.

*Γεωργίῳ.* (151.)

Πολλὰ κἀγαθά σοι γένοιτο, ἐφ' οἷς πρόθυμος εἶ ἀεὶ τοῖς φίλοις φανῆναι ὠφέλιμος· τά τε γὰρ ἄλλα ἄλλοτ' ἄλλοις αὐτῶν τυγχάνεις γενόμενος χρησιμώτατος· καὶ δὴ κἀμοὶ νῦν τὰ μέγιστα συμβαλῇ, εἰ ξύλα τούτων δὴ τῶν καυσίμων μοι ἀπὸ τῆς σαυτοῦ ἐπαύλεως δοίης. Πέμψειάς μοι τοίνυν ὀργυιὰς πέντε ἀπὸ τῶν δρυΐνων, ἀφ' ὧν ἔφθης δεδωκὼς καὶ Μανουήλῳ τῷ Καμινάρῃ, ὅσον μὴ ἀποψυγῆναι τῷ κρύει, μείναντ' ἀναγκαίως ἐν Δακίᾳ καὶ τῆτες· τὸ δὲ κέρμ', ἅμα λαβόντες τὰ ξύλα, ἀποτίσομέν σοι καὶ λῷον. Εὔχου δ' ἡμῖν μηκέτι τοῦ λοιποῦ διαχειμάσαι ἐνταῦθα. ἀλλ' ἔνθ' ὁ οὐρανὸς ἐν ἡδυπνόοις αὔραις ἀεί ἐστιν ἀστεροφεγγής, κοὐδέποτε σκυθρωπός· εἰ μηκέθ' ὁ Ἅδης τὴν εἰς ἑαυτὸν ἡμῶν κάθοδον προκατέγνω. Ἔῤῥωσο.

*Τῷ Μανουήλῳ.* (152.)

Ἡ μὲν οὖν συνθήκη πέρας εἴληφεν ἐχθὲς ἐπὶ πεντήκοντα πρὸς τοῖς ἑπτακοσίοις γροσίοις κατ' ἔτος, καὶ ὅ,τι ἂν προσδαπανήσω ἐντὸς ἐν ἐπισκευαῖς, καὶ τοῦτ' ἐμὸν γίγνεται τὸ ἀνάλωμα· καὶ ἤδη τὴν ξυγγραφὴν ἔχω λαβὼν, τὸ ἥμισυ ἀποτίσας τοῦ ἀργυρίου· σὸν ἄρα καὶ τῶν ἄλλων ἑταίρων τὸ ἑαυτῶν ἐπιδείξασθαι, ἐξαγαγεῖν τῆς οἰκίας τοὺς Ῥώσσους, ἀνθρώπους οὐκ εἰδότας ῥᾳδίως χαρίζεσθαι, οὐδὲ οἵους πείθεσθαί λόγῳ· ἀλλὰ σύγε τά τ' ἄλλα πέφυκας δει-

νὸς, παρὰ τῆς Ἀθηνᾶς τοῦτ' εἰληφὼς, καὶ δὴ κἂν τοῖς ἀπόροις πόρον ἐξευρίσκειν μηχανικώτατος. Ἔῤῥωσο.

Δημητρίῳ. (153.)

Θεὸν σέβειν, καὶ γονέας τιμᾶν οὐ μόνον νόμος ἀρχαῖος, καλῶς ἔχων, παρὰ πᾶσι διαγορεύει, ἀλλὰ καὶ ἡ φύσις αὐτὴ τοῦτ' ἀρχῆθεν τῇ ἑκάστου συνειδήσει ἐνέθηκε· σὺ δ' ἀμφότερα δοκεῖς παραβαίνειν, τὸν σαυτοῦ πατέρα, παρ' οὗ τόθ' εἶναι, τότ' εὖ εἶναι ἔχεις λαβὼν, παρωθούμενος ἐν ταῖς χρείαις καὶ ταῦτ' ἐν γήρως ἤδη οὐδῷ, ὁπόθ' εἷς οὐδεὶς ἔσθ' ὅς τις ἐκεῖνον ἰδὼν οὐκ ἠλέησε· πῶς γὰρ οὔ, ὃν ἑώρων πρὶν ὑπὸ πάντων ἐπ' εὐτεκνίᾳ μακαριζόμενον; τῷ δὲ ἄρ' ἦν ὁ θησαυρὸς ἄνθρακες ἄντικρυς· καὶ τοὺς μὲν ἀδελφοὺς τοὺς σοὺς οὐκ ἂν τοσοῦτον ἀξιώσαιμι μέμψασθαι, ἀπαιδεύτους διὰ τὸν τότε καιρὸν διαμεμενηκότας, καὶ τοῦ πολλοῦ πάτου ὄντας· σὲ δὲ, ᾧ τὸ πλεῖστον προσέσχε τὸν νοῦν, ἁδραῖς τε ξὺν δαπάναις ἐκθρέψας, καὶ ἐπιμελείᾳ παιδεύσας εὐστόχως, πῶς ἄν τις ἐξέλοι τοῦ μὴ δοκεῖν αὐτῷ ὀφλισκάνειν ἀγνωμοσύνην; εἶτα φὴς αὐτὸς (λέγεται γὰρ καὶ τοῦτό γε περὶ σοῦ) ὡς οὐκ ἀναγκαίως ὀφείλεις τὰ τροφεῖα ἐκείνῳ· μὴ γὰρ κατὰ πρόθεσιν τυγχάνειν γεινάμενον, ἀλλὰ τέλος τοῦ γάμου πρώτως καὶ μάλιστα τὴν ἡδονὴν πεποιῆσθαι. Ταῦτα μὲν οὖν εἰ ἀληθῶς εἴρηταί σοι, ἐγὼ μὲν οὐκ οἶδα· σὺ δ' εἰ βούλει καὶ περὶ τούτων φιλοσοφῆσαι, μέτιθι Πλούταρχον εἰς Σόλωνα· ἔνθ' εἴσῃ, τίνας τῆς πατρῴας ἀνάγκης ἐξαιρεῖ ὁ σοφὸς νομοθέτης ἐκεῖνος· καθ' ὃν, εἰ ἔτ' ἐπιμενεῖς, οἷς λέγεις, ἀνάγκη δυοῖν θάτερον, ἢ νόθον σε εἶναι, ἢ ἄλλως ἀγνώμονα· αὐτὸς γὰρ σεαυτοῦ τοῦθ' ἁλίσκῃ κατεγνωκὼς, ἐξ ὧν λέγεις. Ἔῤῥωσο.

*Τῷ Μανουήλῳ.* (154.)

Οὔτε θεῷ θυσίαν ἡ παροιμία φησὶν, οὔτε παιδίῳ σῦκον ὑπισχνεῖσθαι προσήκει· ἀπαιτήσουσι γὰρ ταῦτ' ἀναγκαίως τὸ προσῆκον ἑκάτερος· ταὐτὸν δ' ἂν πάθοι καὶ γέρων ἀνὴρ, δὶς παῖς καὶ αὐτὸς ἤδη γεγενημένος· πότε γὰρ ἄξεις ἡμᾶς, ὦ ἄριστε, εἰς ἔπαυλιν, ἣν ὑπέσχου; ἔμοι γε γὰρ παρεσκεύασται πάνθ' ὅσα πρὸς τὴν θήραν συντείνει, τὸ πυροβόλον, καὶ τοῦτο δίκροτον μάλιστα, ἡ Πυρόκονις, τὰ βολίδια, ἡ πορίτις λίθος· καὶ ὅ,τι πόθ' ἕτερον ἡμῖν συμβαλεῖται πρὸς ταῦτα. Τῶν γὰρ πρὸς ὀψοποιΐαν σοὶ μελήσει· οὐ γὰρ ἐπιτηδείους ἡμᾶς πρὸς τοῦτο, ἀλλὰ θηροκτόνους ἀρίστους πρὸς μίμησιν μάλιστα τῶν ἡρώων ἡ φύσις ἐποίησεν· ἐξίωμεν οὖν ποτε, καὶ πάνθ' ἡμῖν καλῶς ἕξει, ἐμοῦ μὲν κορυδαλλοὺς ἀποκτείνοντος, σοῦ δὲ συσκευάζοντος τούτους Συβαριτικώτερον σὺν πεπέρει καὶ τῇ ἄλλῃ περιττῇ καρυκείᾳ· μόνον ἔξαγε τὴν ταχίστην. Ἔῤῥωσο.

*Ἰωάννῃ.* (155.)

Ὁ τρυγητὸς ἡμῖν πάρεστι, καὶ ὁ χειμὼν ἤδη πρόσεισιν, εἴπερ ποτὲ καὶ νῦν σκυθρωπότερος· πρότερον μὲν γὰρ ἕν τι ἔργον, ὧν ἐπεξειργάσμεθα, διαλύον ἀεὶ τὴν ἀπ' ἐκείνου κατήφειαν, οὐδ' αἰσθάνεσθαι ὅλως παρεῖχεν ἡμῖν τὴν τοῦ χρόνου ῥοήν· τὸ γὰρ ταῖς Μούσαις ἀεὶ ἐντρυφᾷν, ὡς θαυμαστήν τινα διατριβὴν ἡμῖν ἐμποιοῦν, τὴν ἀπὸ τοῦ καιροῦ ἐπήρειαν παρῃρεῖτο τῇ ἡδονῇ· νῦν δ' ἐπειδὴ ἔγνων παύσασθαι ἀπὸ πάντων τῶν ἔργων, οὐ μᾶλλον διὰ γῆρας, ἢ ὅτι καὶ τὴν ὑπάρχουσαν βιβλιοθήκην προὔπεμψ' Ἀθήναζε, τίς γένωμαι; καὶ ὅπως διανύσω τὸ σκυθρωπὸν τουτὶ ἐν μέσῳ διάστημα εὐθυμότερον; καὶ ταῦτ' ἐν ταῖς μετὰ τῶν ἀνο-

μοίων διατριβαῖς μὴ εἰδὼς, ἢ μᾶλλον μὴ πεφυκὼς ἀναστρέφεσθαι; ἐγὼ μὲν οὐχ' ὁρῶ ἄλλως, ἢ τὰ συνήθη τῶν ἔργων ἐπαναλαβὼν ὅ,τι δύναμαι· τοῦτο γὰρ ἄλλοις τε πολλοῖς τάχ' ἂν ὠφέλιμον εἴη, κἀμοὶ οὐδέποτε μέμνημαι ἀπό γε τῶν τοιούτων ἐπιγενέσθαι τινὰ μεταμέλειαν. ἔγνων τοίνυν ἐπεξεργάσασθαι τὸν Αἰσχύλον, ἢ γοῦν τὸν Θεόκριτον, ὁπότερον ἂν καί σοι δόξῃ· ἀλλὰ τὰ βιβλία ταῦτά τε, καὶ τῶν ἄλλων τὰ φιλολογικώτερα, ἃ πρὸς τὴν ἐργασίαν μοι συμβαλεῖται, πόθεν ὑπάρξει μοι; Σὸν τοίνυν καὶ τοῦτό γε θεραπεῦσαι ἐξ εὐγνωμοσύνης πρὸς τὸν διδάσκαλον, τὰ μὲν παρὰ σεαυτοῦ χορηγήσαντα, τὰ δὲ καὶ παρ' ἄλλων τά γε δυνατὰ πορισάμενον. Ἔῤῥωσο.

## *Μαργαρίτῃ.* (156.)

Τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης· τοῦτ' ἐπῆλθέ μοι εἰπεῖν πρὸς ἐμαυτὸν, τὴν ἄφρονά σου καὶ ἀπονενοημένην εἰς ἐμὲ μαθὼν παροινίαν τε καὶ ἀσέλγειαν· ἀλλὰ κἂν τλῶ, καὶ τὸ πάθος πειρῶμαι καταπραΰνειν τῷ λόγῳ, ἀλλ' οὐκ ἂν ἀποσχοίμην ὅλως, ὥστε μηδέ γε λόγοις ψιλοῖς μετελθεῖν τὴν σὴν πονηρίαν, καίτοι δυνάμενος ἄλλως ποιεῖν σε, ὧν ἔπραξας, ἄξια. Ἀλλὰ τίνων ἀρχὴ με λάβῃ πρὸς σὲ, τὸν ἀεί ποτε μέν μοι μαθητὴν ἐπιστήθιον, νῦν δ' αἴφνης Ἰούδα γεγενημένον; τὸν ἀντὶ τοῦ μάνα χολὴν, ἀντὶ τοῦ ὕδατος ὄξος ἀναμετρήσαντα; πόθεν σοὶ τοσαύτη σκοτόμαινα περικέχυται; ποῦ σοι ἐξεῤῥύησαν οἱ καθ' ἑκάστην ἡμέραν περὶ εὐγνωμοσύνης καὶ πάσης ἀρετῆς πολλάκις ἐπαναλαμβανόμενοι λόγοι; τοιαύτη ἦν μοι ἐναποκειμένη σοι ἡ τῶν διδάκτρων ἀπότισις; τοιαύτη ἡ τῶν ἡμερινῶν καὶ νυκτερινῶν μοι πόνων ὀφειλομένη εὐγνωμοσύνη; Παρέλαβόν σε μειράκιον εὐτελὲς, ἀνάπηρον, οὐ μόνον τὸ σῶμα, ἀλλὰ καὶ τὴν ψυχὴν κατὰ Πλάτωνα μόλις ὑπὸ ψυχρᾶς τέχνης τὰ πρὸς

τὸ ζῆν ποριζόμενον ἀναγκαῖα· ἐφ' ᾧ νῦν αἰσχύνῃ ἀκούειν τὴν ἀπ' ἐκείνης σοι προσγινομένην τοῦ ἱματιοῤῥάφου χυδαίαν προσηγορίαν· ἔπαθόν τι ἐπὶ τούτοις φιλάνθρωπον· ἀπεβαλόμην μεταφυτεῦσαι ἐξ ἀγριελαίας ἐς καλλιέλαιον τὸν προσήλυτον· λαβὼν δὲ φιλοστόργως παρ' ἐμαυτῷ, καὶ ὁμωρόφιον ποιησάμενος, καὶ τῶν αὐτῶν σιτίων μεταδοὺς, ἐξεδίδαξα τήν τε γραμματικὴν, καὶ ποιητικὴν διὰ πάντων τῶν συγγραφέων καὶ ποιητῶν τῶν γε ἐνδοξοτέρων· ταῦτά τε ἀκριβῶς, καὶ προσέτι τὴν τέχνην τοῦ γράφειν οὐ μέσως· ἀλλ' ὡς καὶ ζηλωτὸν ἐπὶ τούτοις γενέσθαι· ἐπὶ δὲ τούτοις ῥητορικὴν, λογικὴν, μεταφυσικὴν, ἠθικὴν, καὶ τὴν φυσικήν· γεωγραφίαν δὲ καὶ τἄλλα τῶν ἐγκυκλίων ἐῶ· καὶ ταῦτ' ἐν οὐχ ὅλοις τρισὶν ἔτεσιν, εἴγε μέμνησαι τὰς ἐν τούτοις νυκτερινὰς ἀκαταπαύστους ἡμῶν ἐκείνας διατριβάς· ἃς οὐ ψῦχος, οὐ καύσων, οὐ νόσος, οὐχ ἑορτὴ, οὐδὲν ἦν ἱκανὸν διακόψαι. Ἐπὶ δὲ τούτοις καὶ βιβλιοθήκῃ τῇ ἀναγκαιοτάτῃ σε ἐστοιχείωσα· ἵνα δὲ καὶ τὴν τοῦ διδάσκειν προσλάβῃς ἕξιν ἔτι παρ' ἐμοὶ ἐν τοῖς ἐμοῖς ἀναλώμασι (καί μοι λόγοι καὶ Μοῦσαι προσμαρτυρήτωσαν) παρέδωκά σοι τοὺς ἐμαυτοῦ μαθητὰς τοῦτ' αὐτὸ ἐξασκῆσαι καλῶς, καὶ τὸν ἀπ' ἐκείνων μισθὸν αὐτὸν ἀποφέρεσθαι, οὐ μόνον διδάσκαλον, ἀλλὰ καὶ πλούσιόν σε ἅμα καταστῆσαι βουλόμενος· φιλοτιμία γὰρ ἐκείνη με ὑπεξέκαεν ἄλλον ἐμαυτὸν καταλιπεῖν ἐν Δακίᾳ τῶν αὐτῶν ἀγώνων διάδοχον· τὸ γὰρ φιλητικὸν τῆς ψυχῆς, ὃ ἑκάστῳ ἐμπέφυκε κατὰ Πλούταρχον πρὸς τὰ ἔξω, εἰς σὲ τυγχάνω μάλιστα κατηναλωκώς· κἂν τῷ καταναλοῦν προσεπηύξησα κατά τινα αὐτοῦ ἰδιότητα. Εἶτ' ὦ μιαρώτατε πάντων ἀντὶ τούτων κατεξαναστῆναί μου ἀπετόλμησας; καὶ ὥσπερ πῶλος ἀπολακτίσας, τὸν ἐς τοῦτό σε καταστήσαντα τοιαύτῃ ἀγνωμοσύνῃ τὴν εὐεργεσίαν ἀμείψασθαι; καὶ

νῦν ἐντρυφᾷς τῇ ἐμῇ εὐηθείᾳ, ὅτι σε τοιούτων καὶ τηλικούτων ἠξίωσα; ἀνθ' ὧν δή ποτε; ὅτι σὲ πολλάκις νενουθετηκὼς σωφρονεῖν, καὶ πρὸς τὸ θεῖον εὐσεβέστερον ἔχειν, εἶτα σοι τούτων ὀλιγωρήσαντι ἐπετίμησα ἰταμώτερον; ἀλλὰ τί ἔδει με ποιεῖν πρὸς ὃν υἱοθέτηκα, ὃν ἀγάπῃ ἠγάπησα, καὶ ζήλῳ ἐζήλωσα ἄξιον ἐμαυτοῦ καταστῆσαι τοῖς ἔπειτα; πότερον, παρορᾷν ἀσελγαίνοντα, ἢ ἐπαναλαβεῖν παντὶ τρόπῳ τὸν υἱόν μου Ἀβεσαλὼμ εἰς διόρθωσιν; πῶς γὰρ ἂν εἴη διδάσκαλον ὄντα, ἑτέρους διδάσκειν τὴν θεοσέβειαν λόγῳ, ἀμελῶς αὐτὸν ἔργῳ ἐπερχόμενον τὰ τοιαῦτα; πῶς δὲ καὶ περὶ σωφροσύνης λόγους προφέρειν, Πρίαπον αὐτὸν γενόμενον ὅλως, καὶ ὑπὸ τῶν τῆς λαγνείας παθῶν, ὥσπερ τράγος τῶν ἀσελγεστάτων, ἀπόζοντα, καὶ ταῦθ' ὑπ' ἐμοὶ ἔτι ὄντα, οὗ οὐδ' ὁ Μῶμος αὐτὸς πώποθ' ἥψατο; καὶ ὃς οὐδ' ἀκούειν ἀνέχομαι τὰ τοιαῦτα, ἤπουγε δὴ καὶ βλέπειν βδελύττομαι; Ταῦτα μὲν οὖν σοι τὰ φανερὰ, ὦ κάκιστε σύγε, καὶ ἀναντίῤῥητα τῆς σῆς καὶ φύσεως καὶ προαιρέσεως λαμπρὰ προτερήματα· ἃ δ' αὖ ἐν τοῖς ἐμοῖς κιβωτίοις καὶ βιβλίοις παρανενόμηται, ταῦτ' ἴσως κοινὰ πρὸς τοὺς ἄλλους σοι συνωμότας συνεσκευώρηται, οἱ πάντων τῶν τότε συμβεβηκότων αὐτὸν σὲ ἑαυτοῖς αἰτιῶνται γενέσθαι διδάσκαλον· τοιοῦτον γὰρ περιέθαλπον ὄφιν, μὴ εἰδώς σε οὐ μᾶλλον τὸν πόδα, ἢ καὶ τὴν προαίρεσιν ὑποσκάζοντα· καὶ ὅλως τὸν παρὰ τοῖς νεωτέροις μυθιστορούμενον Le diable Boiteur· οὐ γὰρ ἐς τοσοῦτον παροινίας ἀφίκου, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν ἀχαριστίας ἀπολιπεῖν, καὶ τὴν ὑπάρχουσάν σοι τύχην, τὴν παρὰ πᾶσιν ἐπίφθονον καὶ λαμπρὰν ὑπεροψίᾳ ἀμείψασθαι· τοιαῦτα γὰρ πάσχουσιν οἱ κατὰ τὰ θηρία ὁρμῶντες, ἔνθ' ἂν αὐτοὺς συναρπάσωσιν ἐπιθυμίαι καὶ προαιρέσεις ἀλλόκοτοι· δυοῖν γὰρ ὄντοιν ἀγαθοῖν πᾶσιν ἀνθρώποις κατὰ τὸν Ἀθηναῖον δημα-

γωγὸν τοῦ εὐτυχεῖν καὶ τοῦ καλῶς βουλεύεσθαι, τούτων ἡ κτῆσις ἅμα ὀλίγοις τισὶ παραγίγνεται· σὺ γὰρ τύχην λαμπροτάτην εὑράμενος, ἀπημαύρωσας αὐτὴν τῇ κακοβουλίᾳ, πέρα καιροῦ τὸ τῶν ἐπιθυμιῶν ὑπερτεινάμενος τόξον, κακῶς εἰδὼς, ὡς πολλοὶ πολλῶν πολλάκις ἐπιθυμήσαντες, προσαπώλεσαν καὶ τὰ ἐν χερσίν· ἕκαστος γὰρ τῶν ἐπιχειρούντων ἄνευ τοῦ φρονεῖν τι ποιεῖν, παρωθεῖται ὑπὸ τῆς παρούσης ὁρμῆς τοῦ τὰ μετὰ ταῦτα λογίζεσθαι δυσχερῆ, πρὸς τοῦτο μόνον ὁρῶν, ὅπως ἐν τῷ παραυτίκα διαπράξεται, οὗ ὑπεκκαίεται τῇ ἐπιθυμίᾳ· οὗπερ οὐκ ἐπιπολαίως οὐδ' ἐπιλίγδην δοκεῖ καὶ τὴν σὴν μιαρὰν γεγεῦσθαι ψυχήν· καί γε οὐκ ἀπεικότως· αἱ γὰρ τῆς νεότητος αὖραι, καὶ τὰ τῆς ἡλικίας σκιρτήματα τοὺς τοῦ τὶ πρακτέον, ἢ μὴ, διαλογισμοὺς ἄρδην ἀναιροῦσι· διὸ κἀκεῖνο ὡς ἀξίωμα ἐπαναλαμβάνεται τοῖς σοφοῖς.

Νέος βίος φρόνησιν οὐκ ἔχει ὅλως.

ὃ καὶ πρῴην σοι μέμνημαι γράψας, ὁπότε σοι τὸ πάθος οὐκ ἐς τοσοῦτον προὐκεχωρήκει φλεγμονῆς καὶ σφακέλου· νῦν δ' ἀποστὰς ὅλως, καὶ κατὰ τοῦ πατρὸς ἀνταράμενος χεῖρα, ἀπόλαυε, χοῖρε, ἃ κατέφαγες γίγαρτα· ταύτην γάρ σε δεῖ τὴν παροιμίαν ἀκούειν προσφυεστάτην οὖσαν, ἐπὶ τὸν αὐτὸν νῦν συὸν τοῖς τοῦ Ὀδυσσέως ἑταίροις τῇ τῆς Κύρκης ἐλαυνόμενον ῥάβδῳ. Ταῦτα μὲν οὖν σοι παρ' ἐμοῦ ἐγκόλπια ἔχειν, ἵν' εἴποθ' ὕστερον ὑγιάνῃ σοι ἡ συνείδησις, ἔχῃς τὰς ποινίμους καὶ ἀλάστορας Ἐριννύας ἐκ τοῦ σύνεγγυς κολαζούσας μᾶλλον, ἢ τὸν μητραλοίαν Ὀρέστην· τὸ δὲ μεῖζόν σοι ἐγκώμιον πρὸς πάντας ἀνθρώπους (σὺ γὰρ λαμπράν μοι ὑπόθεσιν προὔθηκας λόγων) ὑπερθήσομαι μετὰ ταῦτα· νῦν δ' ἐπαναλαμβάνων τὸ, Τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο πότ' ἔτλης, ἀνέξομαι.

## *Τῷ Μανουήλῳ.* (157.)

» Τί δ' ὧδε πηδᾷς ἄλλοτ' εἰς ἄλλους τρόπους;
» Μισεῖς τε λίαν, καὶ φιλεῖς, ὃν ἄν τύχῃ.

Ταῦτ' ἂν εἴποις, οἶμαι, κἀυτὸς πρὸς ἐμὲ μετὰ τοῦ τραγῳδοῦ τὴν ὑπερβάλλουσάν μοι πρὸς τοὺς ἐμαυτοῦ μαθητὰς ἀμυνόμενος εὔνοιαν καὶ στοργήν· ἔστι γὰρ, ὡς ἂν εἴποις αὖθις μετὰ τοῦ Δημοσθένους, οὐχ' ὑγιαίνοντος ἀνδρὸς, οὔθ' οὕτω φιλεῖν ὡς μηδέποτε καὶ μισήσοντα, οὔθ' οὕτω μισεῖν ὡς μηδέποτ' ἂν καὶ φιλήσοντά ποθ' ὕστερον· ἀλλ' ἀμφότερα μέσως ποιεῖν, μηδετέρου τὸν καιρὸν ὑπερβάλλοντα· Ταῦτα δὴ αὐτὸς γ' ἂν πρός με φιλοσοφήσειας, ὃ πρώην παρὰ τοῦ φιλτάτου πάντων συνέβη μοι παθεῖν λογιζόμενος· ἐγὼ δὲ καὶ ταῦτα μὲν ἐν ἐπαίνῳ τίθεμαι πλείστῳ, ὡς σοφῶν ἀνδρῶν σοφὰ πρὸς ἀρετὴν παραγγέλματα· ἀλλὰ καὶ τὰ ἐκ τῆς ὑψηλοτέρας καὶ θειοτέρας ἠθικῆς ἡμῖν προστεταγμένα, τοὺς ἐχθροὺς ἀγαπᾷν, καὶ τῷ τύπτοντι κατὰ τῆς σιαγῶνος παρέχειν καὶ τὴν ἑτέραν, καὶ τὰ τοιαῦτα ἱερὰ καὶ σοφὰ ὑπεράγαμαι· ἀλλὰ τὶ καὶ πάθοι τις, ὁπότε θνητῆς τυχὼν φύσεως, τοῖς ἐν ἐκείνῃ συμπέφυρται πάθεσιν, ἃ ὡς λίαν ἀκρατῆ τὴν ἑαυτῶν ῥοπὴν παρέχουσιν ἡμῖν ἐφ' ἑκάτερα; φιλῶ μὲν γὰρ, οὓς ἂν εἰσποιήσωμαι τοῖς λόγοις, ἐς ὑπερβολὴν, ὅτι οὗ τὴν φύσιν, οὐκ οἶδ' ὅ,τι παθὼν, ἐν ἡδοναῖς ἀπεστέρησα, τοῦτ' ἐν πόνοις ἀναπληρῶσαι πρὸς ἀφθονίαν ἐσπούδασα προαιρέσει· κἀν τούτῳ δοκῶ μοι εὐδαίμων τις εἶναι, πολυτεκνότερος οὕτω καὶ καλλιτεκνότερος αὐτοῦ τε Αἰγύπτου καὶ Πριάμου γεγενῆσθαι καυχώμενος· διαβουκολούμενος γὰρ δαιμονίως πως τῇ τούτων παρουσίᾳ, εὐφραίνομαι ἐς ὑπερβολὴν, καὶ μάλιστα ἤδη εἰς γῆρας ἐληλακὼς, ὁπότ' ἀνηβᾷν δοκεῖ τὸ φιλόστοργον μάλιστα. Τοῦτ' οὖν αἴτιον τοῦ ἐκκενοῦν εἰς

αὐτοὺς μεθ' ἡδονῆς τὸ φίλτρον καθ' ὑπερβολήν· μισῶ δ' αὖ τούτων, οὓς ἂν συμβῇ μισεῖν, ὅτι παραλαβὼν αὐτῶν ἐνίους ἐξ οἰκοτρίβων οἰκότριβας, προσθεὶς τὸ εὖ εἶναι, ζηλωτούς τε καὶ μακαρίους ποιήσας, καὶ τῇ παρὰ τούτων εὐγνωμοσύνῃ νῦν ἐν γήρᾳ ἐντρυφᾶν προσδοκήσας, αἴφνης ἔμαθον πείρᾳ οὐχ ἀνθρώπους, οἵους τοὺς εὖ πεποιηκότας τοῖς ἀξίοις ἀμείψασθαι, ἀλλὰ ὄφεις ὅλους θανασίμους περιτεθαλπώς. Μὴ οὖν πρόφερε ἡμῖν τὴν ἐφ' ἑκάτερα τῆς φύσεως ἄλλοτ' ἄλως ἀνάζεσιν· ἀλλὰ τὰ ἐν αὐτῇ εἰδὼς, τοῖς ὁμοίοις τὴν ἀχαριςίαν, καί τοι δυνάμενοι τοῦτο πολλαχῶς, οὐκ ἠξιώσαμεν μετελθεῖν, λογικῶς θ' ἅμα καὶ πατρικῶς τὸ φλεγμαῖνον τῆς ψυχῆς καταπέψαντες· ἐφ' ᾧ χ' ὁ ἁμαρτὼν συμφρονήσας ἐν τούτῳ, καὶ παλινῳδίαν ᾄσας, ἐφ' οἷς ἀφηνίασεν, οἰκτρῶς τοῖς ἐμοῖς, συγγνώμης τυχεῖν ἱκετεύων, λιπαρῶν, τίποτ' οὐ ποιῶν, προσέπεσε γόνασιν. Ἐπὶ τούτοις οὖν καθυφεὶς, ἀνέλαβον τὸν χειμαζόμενον εἰς τὰ πρῶτα, ἵνα μὴ τῷ ἐκ τῆς ἡλικίας σάλῳ ἐξοκείλας πῇ πρὸς τὰς τῶν Σειρήνων σκοπέλους, ἔνθα

» . . . . Πολὺς ἀμφ' ὀστεόφιν θὶς
» Ἀνδρῶν πυθομένων, περὶ δὲ ῥινοὶ μινύθουσι,

ἀνήκεστον ὅλως ὑποσταίη ναυάγιον. Τούτων οὖν οὕτως ἐχόντων, συνησθείης ἂν καὶ αὐτὸς ἡμῖν κατὰ τὸ εἰκὸς, ἀπολελαυκόσιν ἀλλήλων, καὶ μάλιστα νῦν γε μαθὼν ἡμᾶς συγγνωμονεστέρους γεγονότας, ἢ ὀργιλοτέρους· οὐδὲ παττάλοις τοὺς παττάλους, ἀλλὰ λόγῳ ὀρθῷ ἐκκρουομένους τὰ ὑπὸ τῶν ἀλόγων παθῶν ἐπιτοξευόμενα βέλη. Ἔρρωσο.

## *Τῷ Θηρσίῳ.* (158)

Συχνὸς λόγος αὐτόθεν διαφοιτῶν, τάτ' ἄλλα ὡς κάλλισθ' ἡμῖν παρ' ὑμῶν ἔχειν διακηρύττει, καὶ δὴ καὶ τοὺς

παῖδας Γρηγορίου Γκίκα τοῦ Ἡγεμόνος ἡ φήμη, ἣν ψεύδεσθαι, θεὸν καθ' Ἡσίοδον οὖσαν, οὐ θέμις, ἔτι μᾶλλον ἐξαίρει, ὡς ἐν οἷς ἐνασχολοῦνται, ἀξίως ἐπιδιδόντας λόγου· καί γε εἰκότως· Θήρσιος γὰρ αὐτῶν τὴν ἀνατροφὴν καὶ παιδείαν πεπίστευται. Θήρσιος ὁ σοφὸς, ὃν αἱ Μοῦσαι οὐ μᾶλλον ἐτίμησαν, ἢ αὐτὸς ἐκείνας ἐγέραρεν, ὥσπερ ναὸν καὶ θρόνον ἐκείναις τῶν ἐν Εὐρώπῃ τὸν κάλλιστόν τε καὶ θεοπρεπέστατον ἐν Βαυαρίᾳ δειμάμενος· διὸ δρόμος πανταχόθεν τῶν νέων μάλισθ' Ἑλλήνων, τῶν μὲν ἐλθόντων, τῶν δὲ καὶ ὡρμημένων ἤδη, τῶν δὲ καὶ μελλόντων, ὡς πρὸς νέας Ἀθήνας τὸ Μόναχον· ἡ γὰρ σὺ ἀρετὴ, καὶ ἡ ἐν λόγοις ἐπίδοσις, τὸ καὶ τῆς τοῦ ταλάντου μεταδόσεως εὐμέθοδον προσκτησάμεναι, καὶ ἄξιόν σε καθηγητὴν διαπρυσίως διακηρύξασαι, ἕλκουσι πάντας ὡς ἐπὶ τράπεζαν περιούσιον, αὐτούς τε παντοίων ἐδεσμάτων ἐμπλησομένους, καὶ σοῦ τοῦ δαιτυμῶνος τὴν κορυφὴν τοῖς τῆς εὐγνωμοσύνης καταστέψοντος ἄνθεσιν· ὧν πρῶτοι ἁπάντων ἂν εἶεν, οἶμαι, οἱ Γκικαΐδες, περὶ οὓς καὶ αὐτὸς ἐσπούδασας μάλιστα. Ταῦτ' ἄρ' ὁ φιλόστοργος αὐτῶν πατὴρ, εὖ τε διατεθεὶς τὴν ψυχὴν ἐπὶ τούτοις, καὶ χλωροῖς χαρᾶς δακρύοις ὑγράνας τὰς κόρας, προσφέρει δῶρον τῇ σῇ τιμιωτάτῃ συζύγῳ τὸ Ἀσιατικὸν τουτὶ κρήδεμνον, οὐχ' ὡς ἄξιον αὐτὸ τῆς σῆς ἀναμετρούμενος προστασίας, ἀλλ' ὡς τὴν οἰκείαν εὐγνωμοσύνην πρὸς σὲ βουλόμενος ἐπιδεῖξαι. Δεξάμενος τοίνυν αὐτὸς τοῦτ' εὐμενῶς, εἴης ἡμῖν ὑγιαίνων καὶ εὐδαιμονῶν ἐς γῆρας βαθὺ ἐς καύχημα μὲν καὶ σέμνωμα τῶν μουσοτρόφων Γερμανῶν, εὐεργεσίαν δὲ καὶ παραμυθίαν τῶν πανταχόθεν πρὸς τὴν θαυμαστήν σου αὐδὴν συῤῥεόντων νέων Ἑλλήνων. Ἔῤῥωσο.

*Εὐφροσύνῳ.* (159.)

Τί ταῦτ' ἀκούομεν κακῶς παρ' ὑμῶν; τίς ὁ θόρυβος οὗτος καὶ ἡ πολλὴ γλωσσαλγία κατὰ τῶν νέων Ἑλλήνων; ποῖον ψεῦδος τοῦθ' ὑμᾶς φύγεν ἕρκος ὀδόντων; πῶς ἡ Ἑλλὰς τὸ μέγα καὶ περικλεὲς τοῦτο ὄνομα παρὰ πᾶσιν, Ἀγελὰς μόνοις παρ' ἡμῖν τοῖς Δαξὶ λίαν κακεμφάτως προσαγορεύεται; καί τοι ἴσμεν τὰς Ἀγελάδας βόας γεννώσας, καὶ τὰς κανθίδας κανθηλίους, οἵους μάλισθ' ὁρῶμεν ἐν Δακίᾳ νεμομένους καὶ ζῶντας μόνον, ἵνα ἐσθίωσιν· ἡ δὲ Ἑλλὰς ἐκ τῶν πρώτων ἔτι αἰώνων βωτιάνειρα φερωνύμως ἀκούσασα, ἄνδρας τίκτει· ὧν τοὺς μὲν ἀρχαίους αἰῶνες ὅλοι ἐξύμνησαν ὡς πρώτους ἀνθρώπους, καὶ παῖδας μακαριωτάτους θεῶν τῶν μακάρων, ἐφ' οἷς ἔπραξαν ὡς μεγάλοις καὶ θαυμαστοῖς, καὶ θεῷ αὐτῷ τὸ γ' ἐφικτὸν ἐξομοιωθέντας· ἐξ ὧν πᾶσά τε ἡ οἰκουμένη πεφώτισται, καὶ οἷς χ' ὑμεῖς ὀφείλετε, ἐφ' ὅτῳ ἄν ποτε δοκῆτε μέγα φρονεῖν· οἱ δὲ νῦν αὖθις, οὐχ ἧττον παρὰ πόδας βηματίζοντες τοὺς ἐκείνων, ἄξια καὶ οἵδε, οἷα δὴ ἀγαθῶν πατέρων παῖδες ἀγαθοὶ γενόμενοι μιμηταί, δοκοῦσι πράττειν· εἰ γὰρ καὶ ἡ δουλεία αὐτοῖς χρόνιος γενομένη, πολὺ αὐτοὺς τῆς τῶν προγόνων ἀρετῆς δοκεῖ διαστῆσαι, ἀλλ' οὐ κατίσχυσε προσδιαφθεῖραι αὐτοῖς καὶ τὴν φύσιν· διὸ ἅμ' αἰσθόμενοι, ἐν οἷς τυγχάνουσιν ὄντες τόν τε ζυγὸν ἀποκινδυνεύσαντες ἀπεσείσαντο, καὶ νῦν ὡς νεόφυτον δαιμονίως ἄλλαις ἄλλοθεν ταῖς βλάσταις ἐπισκιαζόμενον καὶ κοσμούμενον, ἀναθάλλουσιν· ἤδη δέ τις καὶ ἄνθος πολλαχῇ ἐν τοῖς φύλλοις, καὶ βότρυς πῃ ἂν ἴδοι πυρκάζοντας· ἐξ ὧν τὸ γλεῦκος τῆς εὐδαιμονίας ὡς ἀπὸ τοῦ τῆς εὐνομίας καὶ ἰσονομίας ληνοῦ ἀποστάζων, ἐκρυήσεται ὅσον οὔπω. Πρὸς τί οὖν ἡ τῶν καθ' ὑμᾶς εὐγενῶν βλασφημία; μῶν πάθος ἐστὶ τὸ πρατ-

τόμενον, καὶ φθόνος ὅλως τὰς αὐτῶν ἀποσμύχων ψυχὰς, ἀναγκάζει τὸ ἑαυτῶν αἶσχος ἐπὶ τῇ ἐκείνων ὑπεροχῇ ἀποσμῆξαι ταῖς βωμολοχίαις; τοῦτο δήπου. Ἴστωσαν τοίνυν, ὡς οἱ νῦν Ἕλληνες, οἷς ἔπραξαν μέγα φρονοῦντες, καὶ ἐς τὸ μέλλον ἔτι πλείω ἐλπίζοντες, τοῖς ἔξωθεν τῆς σεβαστῆς Ἑλλάδος καταμυκωμένοις οἰμώζειν κελεύουσιν. Ἔρρωσο.

## *Τῷ Κυριακῷ.* (160.)

Ἰσχυρὸν μὲν ἡ ἀκτὶς τοῦ ἡλίου· ἀπούσης γὰρ μὲν αὐτῆς, πᾶσα ἡ φύσις οἷον πηγνυμένη, ἀπονεκροῦται καὶ σκυθρωπάζει· παρούσης δὲ, ὑπογελᾷ ἀναθάλλουσα, καὶ ἐπείγεται πρὸς τὴν γένεσιν· ἰσχυρότερον δὲ παιδεία· ταύτης γὰρ παρούσης τε καὶ ἀπούσης, πάντα τἀγαθὰ καὶ κακὰ παραγίνεται τοῖς ἀνθρώποις, ἀγάπη καὶ μῖσος, φιλανθρωπία καὶ μισανθρωπία, οἶκτος καὶ ὠμότης, δικαιοσύνη καὶ ἀδικία, χάρις καὶ ἀχαριστία, καὶ τὰ τοιαῦτα· ἅπερ αἱ ἀσυμφωνόταται καὶ ἀνομοιόταται αὗται ἀδελφαὶ Παιδεία καὶ Ἀμαθεία διείλοντο πρὸς ἀλλήλας, ὥσπερ πατρῷον κλῆρον, ἡ μὲν τὴν δεξιὰν καὶ ἀγαθὴν κληρωσαμένη μερίδα, ἡ δὲ τὴν ἑτέραν καὶ βάρβαρον. Ἀλλὰ τί μοι βούλεται ταῦθ' οὕτω φιλοσοφούμενα; οὐ γὰρ ἀταράχως ἔοικα ταῦτα γράφειν. Δημήτριος γὰρ ὁ Ἀδαμίδης ὁ ὑμέτερος μὲν πολίτης, ἐμὸς δὲ συνήθης, καὶ ἐκ γειτόνων οἴκων, αἰτηθεὶς παρ' ἐμοῦ καὶ λίαν γε λιπαρῶς, ἐπιτρέψαι μοι τὴν οἰκίαν, ἣν ἐν τῷ αὐτῷ Μοναστηρίῳ μισθωσάμενος ἔχει, ὡς περιττὴν αὐτῷ ἐσομένην διὰ τὸ ἐς ἀγροὺς τε καὶ τὴν ἄλλην ἐμπορίαν τῆς χώρας τὸ πλεῖστον διατρίβειν τοῦ χρόνου, οὐκ ἐπείσθη· κἀγὼ μὲν χαίρειν εἰπὼν αὐτῷ, ἀπεσχόμην, κοὐκέτι ἠξίωσα ἐνοχλεῖν. Ἀθανάσιος δ' ὁ Ἡγούμενος, οἷον οἶκτον ἐμοῦ λαβὼν πάσχοντος ἐν χειμῶνι,

πρόσεισι τῷ ἀκάμπτῳ, καί φησι, τέκνον Δημήτριε, δὸς τῷ γέροντι διδασκάλῳ τὴν οἰκίαν ἐς πέντε μῆνας, ὡς μηδέν σοι ἔν γε τῷ παρόντι χρήσιμον οὖσαν, ἵνα μὴ τηλικοῦτος ὢν, τρύχηται περιϊὼν, καὶ ζητῶν, πῆ καταφύγῃ· ἄλλως τε γὰρ χρήσιμος ἡμῖν ἐστιν ἐν ταῖς ἀναστροφαῖς, κἀν τῇ Ἐκκλησίᾳ οὐχ ἥκιστα· ἔπειτα καὶ τῷ τῶν Μεσοβιτῶν κοινῷ προὐθυμήθη, ὥς φασι, καὶ γράφων, καὶ λέγων ἀγαθοῦ τινος αἴτιος γενέσθαι· κἀκ τούτου ὀφείλεται αὐτῷ, οἶμαι, τό γε πρὸς τὴν προαίρεσιν εὔγνωμον. Ταῦτα μὲν ὁ σεμνὸς ἐκεῖνος Ἀββᾶς· ὁ δὲ ἥρως Δημήτριος τί πρὸς ταῦτα; ἀνατεινάμενος τὸν τράχηλον, ὥσπερ ὁ Μαρκοκράλης, καὶ ὥσπερ ὁ Ὁμηρικὸς Κύκλωψ λαρυγγίσας τραχέως, εἰπὲ, φησὶ, τῷ Καλογήρῳ ἐκείνῳ μηκέτι μοι ἐνοχλεῖν, εἰπὲ, ὅτι ἐγώ εἰμι Μεσοβίτης, καὶ σεμνῶν οὕτω λόγων οὐκ ἐπαΐω· τὴν γὰρ οἰκίαν οὕτω κεκλεισμένην φυλάξω, καὶ οὐ μὴ δῶ· οὕτω γὰρ βούλομαι. Καὶ ταῦτα μὲν οὕτως ἔσχε. Νῦν δὲ μέτεισί μοι ὁ λόγος πρὸς σὲ, ὃν καὶ παιδεία ἐκόσμισε, καὶ ἐμπειρία πραγμάτων κρίνειν τά γε τοιαῦτα ἱκανῶς παρεσκεύασε· καί γε ἐν καιρῷ μοι δοκῶ πυνθάνεσθαι βούλεσθαι, τίνας ποθ' Ἥρωας τούτους τὸ σὸν ἐξέθρεψε Μέσοβον, καὶ τί ποτε βούλεται τῷ σῷ πατριώτῃ τὸ, ἐγώ εἰμι Μεσοβίτης; τί δὲ καὶ τὸ ὑβριστικώτερον αὐτῷ προενηνεγμένον Καλόγηρος; πότερα, ὡς ὁ πάλαι ποτὲ Ἀθηναῖος ἐπὶ σοφίᾳ καυχώμενος, ἢ ὡς ὁ Λάκων γαυριῶν ἐν τοῖς ὅπλοις, οὕτω καὶ αὐτὸς τοῖς τοῦ Μεσόβου ἀγαθοῖς ἐναβρύνεται, ἢ ὡς Νέρων τοὐναντίον, ἐφ' οἷς ἐτυράννει; γεγόνασι γὰρ καί τινες τῆς ἑτέρας μερίδος, οἷον Σκίῤῥωνες καὶ Πυτιοκάμπται, καὶ τοιοῦτοι ῥοπαλοφόροι τοῖς σφῶν αὐτῶν ἐγκαυχώμενοι κακουργήμασι· ἐπαινεῖται γὰρ, ὡς ἡ Προφητικὴ φησὶ σάλπιγξ, ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται·

πρὸς τί οὖν αὐτῷ τὸ τοῦ Μεσόβου γαυρίαμα; εἰ μὲν γὰρ ἐπ' ἀρετῇ, ἀγαθῇ τύχῃ· δίκαιος γὰρ ἂν εἴην κἀυτὸς συγχαίρειν, εἰ καὶ ἐκ Μεσόβου δύναταί τι ἀγαθὸν προελθεῖν, ὑπὲρ οὗ κἀγὼ πολλούς, ὅπως βελτιωθείη, ὑπέστην ἀγῶνας, ὅσους ὁ Ἥρως αὐτοῦ οὐδ' ὄναρ γοῦν ὑποστήσεται· εἰδὲ ἐπὶ κακίᾳ, φεῦ! δός μοι θρηνεῖν μετὰ τοῦ Ἱερεμίου τὴν σὴν πατρίδα, ὅτι τρέφει οὐκ ἀνθρώπους, ἀλλὰ παρδάλεις, Γηριόνας καὶ Κέκροπας. Τὸ δὲ Καλόγηρος αὖ τί ποτ' αὐτῷ δηλοίη; μή τινα τούτων τῶν χαμαὶ ἐρχομένων, καὶ τὰ χρήματα περὶ πολλοῦ ποιουμένων κἀμὲ ᾠήθη εἶναι, πρὸς οὓς αὐτῷ ἔθος ὑβρίζειν τε καὶ ὑβρίζεσθαι; βαβαί! οἷα τῆς κακοηθείας τὰ ἔργα! οἷα τῆς ἀπαιδευσίας τὰ ἀποτελέσματα! Ἀλλὰ σύ, ὦ ἄριστε, πρὸς τοιούτους μέλλεις ἀπιέναι, μετὰ τοιούτων θηρίων συγκαθείγνυσθαι βούλει· περὶ ὧν ἄριστα καὶ ἡ παροιμία παιδεύουσα, νουθετεῖ·

» Ἀσπίδα, φρῦνον, ὄφιν καὶ Λαδικέας περίφευγε,
Καὶ κύνα λυσσητήν, καὶ πάλι Λαδικέας.

Φεῦγε γεννήματα ἐχιδνῶν, καὶ σώζων, σῶζε σεαυτὸν εἰς Σιγὼρ, σώζου μεθ' ἡμῶν εἰς τὴν ἐλευθέραν Ἑλλάδα· ἔνθα ἐπανελθοῦσαι αἱ Μοῦσαι, ἀπεσόβησαν τῶν ἐκεῖ κατοικούντων τὸ ἀγέροχον καὶ ἄγριον ἦθος· εἰδὲ μή, ἔσθ' ὅτε πόθ' ὕϛερον μεμνήσῃ μου, ὁπότ' οὐδέν σοι ὄφελος ἔϛαι. Ἔρρωσο.

### *Τῷ Μανουήλῳ.* (161.)

Ἐλεεινὸν τὸ ἀνθρώπινον, ἐπειδάν τις τί πάσχῃ μάλιστα παρ' ἀξίαν, καὶ πολὺν τοῖς αἰσθανομένοις τὸν οἶκτον ἐντίθησι· τοιαύτη δέ σοι ἐστὶ καὶ ἡ χήρα ἥδε ἡ τὰ γράμματα ἐπιθεῖσα· ἥτις ἐξ εὐτυχίας εἰς δυστυχίαν μεταπεσοῦσα, τρύχεται ἤδη, οἰκτρὰ ἐν οἰκτρῷ οἰκήματι μετὰ πέντε παίδων βουλιμιῶσα· καὶ τούτων μάρτυς αὐτὸς ἐγὼ ἐκ γειτόνων

οἰκῶν· σὺ δὲ ὡς καὶ φύσει καὶ προαιρέσει τὸ φιλάνθρωπον κεκτημένος, τὴν τῶν τοιούτων ἐμπεπίστευσαι πρόνοιαν, καὶ διανεῖμαί τι αὐτοῖς ἐκ τῶν κοινῶν, ὡς ἀκούομεν, ἐπιτέτραψαι· εἰ μὲν οὖν τὸ ἄθλιον τοῦτο γύναιον ἐν τῷ τῶν ἐλεουμένων καὶ αὐτὸ οὐ κατέγραψας διαγράμματι, καταγράψειας, ὡς εἰκὸς, ἐμοὶ χαριζόμενος· εἰδ᾽ ἔφθης καὶ αὐτὴν καταγράψας, προσεπιδαψιλεύσαιο τὸ χαρίζεσθαι, πλέον τὶ, ἢ προσεδόκησεν, ἐπιμετρήσας τῇ χρείᾳ· χρὴ δ᾽ οὖν φθάνειν, ἵνα αὐτὴ μὲν μὴ συνεξαπόληται ταῖς ἐλπίσι· σὺ δ᾽ ἀκούσεις, εὖ δοῦλε ἀγαθὲ, ἐπὶ ὀλίγων ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· δεῦρο εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

## *Δημητρίῳ.* (162.)

Ἀκούω σε σφόδρα ἀγανακτεῖν, ἀναγνόνθ᾽ ἅ μου οἱ Κοραϊσαὶ πολλὰ καὶ δεινὰ ἀνωνύμως κατεῖπον· οἷς φὴς, ὡς καὶ αὐτὸς ἂν ἐπίστευσας, εἰ μὴ αὐτόπτης ἐτύγχανες ὢν τῶν ὑπ᾽ ἐμοῦ πρὸς τὸ κοινὸν τῶν Ἑλλήνων ἄλλοτ᾽ ἄλλων πεπονημένων· ἀλλ᾽ οὐδὲν θαυμαστὸν καὶ τοιοῦτό τί σε παθεῖν· οὕτω γὰρ πιθανῶς ἔδοξαν λέγειν, καὶ ταῦθ᾽ οἱ αὐτῶν ὡς μάλιστα κεκαλλιεπημένῳ καὶ κεκοσμημένῳ τῷ λόγῳ ἐν ῥητορικοῖς κατεχρήσαντο σχήμασιν· οἷοι μάλισθ᾽ οἱ ἀμφὶ ταῦτα ὄντες δεινοὶ, ἄνδρες σοφοὶ μὲν, περὶ δὲ φιλογενείας οὐκ οἶδ᾽ ὅ,τι εἴπω καὶ λόγου ἄξιον· ὥστε κἀμὲ αὐτὸν τοιοῦτόν τι παθεῖν περὶ ἐμαυτοῦ, ἐπιλαθόμενον ὅλως, εἰ αὐτὸς ἐγώ εἰμι, ὃν σύ τ᾽ αὐτὸς, καὶ εἴτινες εἶεν ἐκείνοις ἀνομοιότατοι, φιλογενῆ ἐν τοῖς μάλιστα καλεῖτε κηρύττοντες, καὶ καλοῦντες κηρύττετε· ἀλλὰ πόθεν, εἴποις ἂν, ἡ πιθανότης αὐτοῖς καὶ τὸ ἐπαγωγὸν ἐν τοῖς λογοις; ἢ ὅτι βουλόμενοι εἶναί με, οὐ τοῦτ᾽ αὐτὸ, ὅ εἰμι, ἀλλ᾽ ὅ ἂν αὐτοὶ μάλιστ᾽ ἔμοιγε εὔξοιντο, κηφῆν᾽ ὅλως ἄχρηστον, καὶ κακὸν περίψημα ἀγορᾶς;

ἐκ τούτου ὑποθέσεις ψευδεῖς ὑποβαλόντες τῷ λόγῳ, ἐπῳκοδόμησαν εὐπρεπῶς, ὅσα καὶ οἷα τὸ πάθος αὐτοὺς ἐξεδίδαξεν, ἄγρια ἤθη, καὶ Ἐριννύας πέμποντες ἐπ' ἐμὲ, ὑφ' ὧν τῷ ὄντι αὐτοὶ ἐλαυνόμενοι, τοιαῦτα ἐξῆμεσαν· ὁ γὰρ ἕτερον ἐπ' ἀγαθῷ νουθετῶν, οὐκ ἄν ποτ' ἐκ τοιούτων ἀγωνιῶν καὶ θορύβων ὁρμῷτο, δαίμονάς τε καὶ Ἐριννύας καὶ τοιαῦτα ἅττα ἀπὸ τραγῳδίας ἀποσφενδονῶν παραβόλως τῷ νουθετουμένῳ, ἀλλ' ἡσυχῇ πῃ καθαπτόμενος, εἴτι δέοι, πράως τὸ ἴαμα τῷ τραύματι ἐπιτίθησιν. Ἀλλ' εἴποις ἂν ἴσως

Τίς τ' ἄρ' σφῶε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;

καὶ πόθεν διακνιζόμενοι, οὕτω διαβαλεῖν με προήχθησαν; πόθεν; ἐξ ὧν πράττω· πράττω δ' ἀεὶ τοῖς ἐκείνων ἀντιστρατηγῶν στρατηγήμασι. Μὴ δεῖν ἐν τῇ ἀρχαίᾳ γράφειν φωνῇ φασιν ἐκεῖνοι· ἐγὼ δὲ καὶ γράφειν καὶ λαλεῖν, ὅσον οἷόν τε· Πάντα ἐν τῇ νῦν συνηθείᾳ, καὶ ταῦτα τῇ δημώδει καὶ ἀκορήτῳ· ἐγὼ δὲ τῇ τε νῦν καὶ τῇ πάλαι κατὰ τὸ εἰκὸς, ἔνθα δεῖ, καὶ ὡς δεῖ, ἀνατρέχοντας ἐς τὸ ἀττικώτερον πανταχοῦ· Ὀροθετεῖν δεῖν, διϊστάντας ἀπ' ἀλλήλων τὰς διαλέκτους· ἐγὼ δ' ἀποσπάσας αὐτῶν τοὺς ὅρους, καὶ τὸν φραγμὸν διαῤῥήξας, ὑπερπεπήδηκα, πολλὰ κατ' ἄμφω καὶ συγγράψας, καὶ μεταφράσας. Ἀλλὰ τοῦτο ἐν Παρισίοις

» Οὔτοι γ' Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ·
» Ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων,
» Πάντων μὲν κρατέειν ἐθέλει, πάντεσσι δ' ἀνάσσειν,
» Πᾶσι δὲ σημαίνειν· ἅτιν' οὐ πείσεσθαι ὀΐω.

καὶ διὰ τοῦτο χαλεπῶς ἐνεγκόντες, εἰ ὁ χαμόθεν ἐγὼ οὐχ ὑπεστειλάμην παῤῥησιάσασθαι πρὸς τὰς αὐτῶν τελειότητας, καὶ μάλιστα πρὸς τὰ τοῦ αἱρεσιάρχου κλεινὰ Αὐτοσχέδια, ὀργίζονται, κακῶς εἰδότες, ὡς τὸ γνώμην εἰπεῖν περὶ τῶν

κοινῶν κοινὸν πᾶσι πρόκειται· Τοῦτ' οὖν ἐσθ' ὃ μάλιστ' αὐτῶν διακναίει τὸν στόμαχον, ἃ γὰρ ἐξευρόντες ἐκεῖνοι τὰ ἀλλόκοτα ἐκεῖνα, τὰ ἀσύμφυλα καὶ κακόμορφα, εἰσήγαγον, ὥσπερ ὅρους, ταῦτ' αὐτὸς ἀνατρέψας, αὐτοῖς τε τούτοις καὶ ἄλλοις πολλοῖς προειλόμην ἐπὶ τὰ φιλοτιμότερ' ἡγήσασθαι. Ἐκ δὴ τούτων δεινὸν ἡγησάμενοι, εἰ ὁ νάνος ἐγὼ, ὥς φασι, μείζω, ἢ κατὰ νάνον πρὸς τοὺς ἥρωας αὐτοὺς θαῤῥεῖν ἀπετόλμησα, ψευδέσι λόγοις διαβάλλειν με πρὸς τοὺς πολλοὺς ἐπειράθησαν. Καί τοι ταῦτα μὲν πάλαι ἦν αὐτοῖς, ὥσπερ ζέοντος θυμοῦ ἀναβράσματα· νῦν δ', οἶμαι, παιδευθέντες ὑπ' αὐτῶν τῶν πραγμάτων, πάμπολυ ἐκ παλινῳδίας δοκοῦσιν, ὧν ἐφρόνουν γράφοντες, ἀποστῆναι· καὶ γὰρ ἰδόντες εἶδον, καὶ ἀκοῇ ὡς σάλπιγγος Τυρσινικῆς ἀκηκόασι, πρὸς ἃ τέως ἐτύγχανον ἀμβλυώττοντες καὶ κωφεύοντες· ἴσασι γὰρ ἡμᾶς πεντήκοντα μὲν χιλιάδων φοινίκων βίβλους νῦν τε καὶ πρότερον πεπομφότας δωρεὰν τοῖς τῶν Ἑλλήνων σχολείοις· ἴσως δ' ἑτέρας, καὶ πλείους ἔτι προπαρασκευαζομένους ἀναλώμασιν ἡμετέροις ἐκδοῦναι· καὶ ἐκδόντας πολλῶν ἐτῶν ἀγῶνας καὶ πόνους, προσενεγκεῖν καὶ αὐτὰς τοῖς αὐτοῖς, ὡς ἀλγεινοτάτας δήπου γε ἀλγηδόνας φθονερῶν ὀφθαλμῶν καὶ ἔλεγχον συνειδήσεως ἀναισχύντων συκοφαντῶν· καὶ ταῦτα μὲν ἐξ ὧν συγγεγραφὼς τυγχάνω· πρὸς ἃ δὲ ἐδίδαξα τί καὶ ἂν εἴποιεν· ἐκ γὰρ τῶν διακοσίων μοι περίπου μαθητῶν, οὓς ἐν πολλῷ φθόνῳ καὶ καταδρομῇ τό γε πλεῖστον κοινῇ τε καὶ ἰδίᾳ ἐξεπαίδευσα, τεσσαράκοντα μάλισθ' οἵ γε φανερώτεροί εἰσι διδάσκαλοι, οὐδὲν τοῦ διδάξαντος ταῖς ἕξεσι ταύταις ἀπολειπόμενοι. Ταῦτ' οὖν αὐτοῖς πρὸς μὲν ἐκεῖνα εἰπεῖν τι ἐμφράττει τὸ στόμα· ὑποθέσεις δ' ἄλλων ἀνυπάρκτων ἐρευρίσκειν κινήσαντα, οὐχ ὅ,τι εἰμὶ, ἀλλ' ὅ,τι ποτ' αὐτοῖς ἡδύ με εἶναι, τοῦτ' ἐποικοδομεῖν αὐτοὺς ἐξεβίασε. Μὴ οὖν ἀγα-

νάκτει, ἐφ' οἷς ὁρᾷς με οὕτως ἀναξίως συκοφαντούμενον, εἰδὼς τά τ' ἀνθρώπινα πάθη, ὅσον ἀκάθεκτα κεκρατηκότα τυγχάνουσι, καὶ ὡς, πρὸς τὸν ἔχονθ' ὁ φθόνος ἕρπει· ἀλλ' εὔχου τοὺς κεκρατημένους, τούτων ἀπαλλαγέντας ποτὲ, μεθ' ἡμῶν στῆναι πρὸς τὴν τοῦ γένους βελτίωσιν. Ἔῤῥωσο.

## Ἰωάννῃ. (163.)

Εἰ ἀληθὲς, ὅτι ὁ χρόνος, πάνθ' ἀφαιρῶν, ἐν τῷ γήρᾳ προστίθησι τὴν ἐπιστήμην, εἰκὸς ἐμέ σου ἐμπειρότερον εἶναι, ὡς πλείω ἐν πολλαῖς μεταβολαῖς ἰδόντα τε καὶ παθόντα, καὶ ταῦτα διδάσκοντα· δίκαιος τοίνυν ἂν εἴης πείθεσθαι, οἷς ἐρῶ· ἀκούω γάρ σε νεωτερίζειν, διδάσκοντα παρ' ἃ τυγχάνεις ἀκηκοὼς παρ' ἡμῶν, ἐπὶ κανόσι κανόνας ἀηδεῖς ἐπιτεθεὶς τοῖς μαθηταῖς, μηδὲν δέον, καὶ τούτους ἀναγκάζων ἀποστοματίζειν, ὡς δῆθεν πολλὴν ἀπὸ τούτων ἐσομένην αὐτοῖς τὴν ἐπίδοσιν· μὴ σύ γε, μὴ τοῦτο πάθῃς· ἀντὶ γὰρ ὠφελείας βλάβης τοῦτ' αὐτοῖς γενήσεται αἴτιον, ἐς τὰ σχολαστικὰ ταῦτ' αὐτοῖς ἀναλισκομένου τοῦ τε πόνου καὶ τοῦ χρόνου εἰκῇ· κανόνας γὰρ μόνους τοὺς ἀναγκαίους, καὶ ὧν ἄνευ οὐκ ἄντις οὔτε διδάσκων, οὔτε διδασκόμενος, οὔτε γράφοι, οὔτε συντάττοι ὀρθῶς, τούτους γε διδακτέον· τὰ δ' ἄλλα ποριστέον ἐκ πολλῆς παρατηρήσεως ἐν τοῖς συγγραφεῦσιν, ἐν οἷς ἡ γραμματικὴ μάλιστα διδακτέα· ἐκ τούτων γὰρ ἡ ἕξις ἐγγίνεται. Ὃ τοίνυν τοῦ χρόνου οἱ διδασκόμενοι ἀναλίσκουσι μάτην, ἀσυμβόλους κανόνας ἀπὸ στήθους μανθάνοντες, καὶ ἃ μετ' οὔπολυ ἔθει ἔσονται μάλιστα ληπτὰ, τοῦτο πρόσθες αὐτοῖς ἀπομνημονεύειν λόγους συγγραφέων καὶ ποιητῶν, ἐξ ὧν αὐτοῖς ἡ ἕξις προσγίγνεται· ἧς μὴ παρούσης, ἐπιστήμη οὐκ ἂν κατορθοῖτο. Ταῦτ' οὖν ποιήσας, οὗτός τε εἴσῃ μετ' οὔπολυ

μάτην τὸ περὶ κανόνων ἐκλεπτουργήσας, καὶ τοὺς σεαυτοῦ μαθητὰς ἀξυντελῶν ἀπαλλάξεις ἀγώνων. Ἔῤῥωσο.

## Ἀγγελῇ (164.)

Θαυμάζειν μοι ἐπέρχεται περὶ σοῦ, ὅτι ἅπαξ γνοὺς ἀδικεῖν με, ἀπὸ τῆς τοῦ Σωκράτους ἀρετῆς ἐπιχειρεῖς νουθετεῖν, πολλήν μου καταγινώσκων δῆθεν πλεονεξίαν, ὅτι ἀπαιτῶ, ἃ ὀφείλεις μου δίδακτρα· ἐκεῖνος μὲν γὰρ καλῶς ἐποίει, ἀμισθὶ τοὺς νέους διδάσκων· ἀλλ' ἡμεῖς γε τῆς ἐκείνου ἀρετῆς ἴσμὲν πολὺ ἀπολελειμμένοι· καὶ τοῦτο μὲν ὁμολογοῦμεν, ἀλλ' οὐ διὰ τοῦτο ἂν εἴημεν καὶ κακοὶ, ὡς μηδενὸς μηδὲν ἀφαιρούμενοι· τὰ δὲ ἑαυτῶν ἀπαιτοῦντες, δίκαια πράττομεν· σὺ δὲ, παρεισάγων Σωκράτην, καὶ τὴν Σωκράτους ἀρετὴν, πῶς οὐκ ἐμιμήσω πολλῷ πρότερον τὴν τοῦ Ἀριστείδου δικαιοσύνην, ἵν' ἔχῃς οὕτω βαθμηδὸν ἀνελθεῖν τῷ γε λόγῳ εἰς τὴν περιωπὴν τῆς Σωκρατικῆς τελειότητος; ἔδει γάρ σε δίκαιον πρῶτον γενέσθαι, τἀλλότρια ἀποδόντα, εἶθ' οὕτως ἐπιμνησθῆναι εὐλόγως πρὸς ἡμᾶς τῆς κατὰ τὸν Σωκράτην ἐντελεχείας· ἀλλ' οὕτω φιλοῦσιν οἱ ἁμαρτωλοὶ τῆς γῆς ἀλλοτρίαις ἀρεταῖς καλλωπίζεσθαι. Ἀλλ' εἰ θέλεις καὶ πρὸς ταῦτα γελοιότερόν τι ἀκοῦσαι· ἡμεῖς καὶ τὴν τοῦ Ἀριστείδου δικαιοσύνην ἐξ ἀρχῆς, ὅσον γ' ἐφικτὸν, ἠσπασάμεθα· οὐδένα γὰρ μεμνήμεθα ἀδικήσαντες· καὶ τῆς τοῦ Σωκράτους ἀκτημοσύνης οὐ πολὺ ἀπελείφθημεν, πλείους τ' ἀμισθὶ, ἢ ἐμμίσθως διδάξαντες· καὶ ἃ παρὰ τῶν εὐπορωτέρων ἐπραξάμεθα, καὶ ταῦτ' αὖθις εἰς τὸ κοινὸν ἀνηλώκαμεν· εἰδ' ἀμβλυώττεις πρὸς ταῦτα, δεήθητι τῆς Ἀθηνᾶς, ἥτις οὐδέποτε ὤφθη φιλοῦσά σε, νῦν γοῦν ἀφελεῖν ἀπὸ σοῦ τὴν ἐπιπροσθοῦσαν ἀχλὺν, ὄφρ' εὖ γινώσκῃς ἠμὲν ἀγαθὸν, ἠδὲ καὶ κακόν. Ἔῤῥωσο.

### Τῷ Μάρκῳ. (165.)

Διττήν τινα ὀνείρων ἐπιφοίτησιν ἡμῖν ὁ σοφὸς πεποίηκεν Ὅμηρος· τοὺς μὲν γὰρ δι' ἐλεφαντίνης, τοὺς δὲ διὰ κερατίνης πύλης τοῖς ἀνθρώποις ἐφίπτασθαι.

» Διαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων.
» Αἱ μὲν γὰρ κεράεσσι τετεύχαται· αἱδ' ἐλέφαντι.

ἐγὼ δὲ τὴν ἀφροσύνην μᾶλλον τοιαύτην φύσιν ἔχειν ὑπείληφα· ἔστι γὰρ ταύτης ἡ μὲν παρεκτροπὴ τοῦ φρονεῖν, καὶ ψυχῆς παθούσης τι ἀποπλάνησις· ἧς εἴδη βαθμηδὸν ἐν ἀνέσει καὶ ἐπιτάσει πολλὰ· οἷον, παραπαίειν, παρανοεῖν, λυττᾷν, καὶ τὸ χείριστον μαίνεσθαι· ἡ δὲ ἐν τῷ παραλογίζεσθαι τὴν ἀποπλάνησιν ἔχει· τί γὰρ ἂν εἴη παραλογισμὸς, εἰ ἀφροσύνη ἐξ ἀγνοίας προσγιγνομένη; εἰδέ τις καὶ ἰσχυριζόμενος τὰ τοιαῦτα ἐπιτηδεύει, τοῦτο δὴ ἔσχατος ἄντικρυς ὅρος τῷ σοφιζομένῳ φρενοβλαβείας· σὺ δ' οὖν δι' ἐκείνης μὲν τύχῃ ἀγαθῇ οὔπω διῆλθες· διὰ δὲ τῆς ἑτέρας τῶν πυλῶν συχνὸς ἡμῖν πάρει, οὐ μᾶλλον παραλογιζόμενος, ἢ καὶ σοφιζόμενος τοὔσχατον· ὃ δή ἐστι τεκμήριον τοῦ μὴ βούλεσθαί σε ἄνθρωπον εἶναι· Πρὸς ταῦτα τοίνυν ἔτι καὶ νῦν ὑποθοίμην ἂν σοι ἔγωγε, τὴν ταχίστην τῆς τοιαύτης ἀπαλλαγῆναι κακοηθείας, εἰ βούλει εὐκλεῶς ἀναστρέφεσθαι τοῖς ἀνθρώποις· ἀλήθεια γὰρ οὐδὲν οὐδέποτε ἔβλαψε· τὸ δὲ ψεῦδος πολλάκις καὶ προσαπώλεσε. Ἔῤῥωσο.

### Τῷ Δημητρίῳ. (166.)

Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ, οὕτως ἐκωφώθην καὶ ἐταπεινώθην

ἐξ ἀγαθῶν· ταῦτα Δαβίδ' ὁ ψαλμογράφος ἐφιλοσόφει, λόγῳ τε καὶ ἔργῳ ὑπὸ τῶν πονηρῶν πολεμούμενος· ἡμεῖς δ' εἴτι κωφεύειν πρὸς ψιλοὺς τοὺς τῶν ἀνοήτων φληνάφους ἐγνώκαμεν, θαυμαστόν σοι δοκεῖ; καὶ τὶ ἂν εἶπες, εἰ καὶ πεισθέντες κατὰ τῆς παρειᾶς, καὶ τὴν ἑτέραν κατὰ τὸ ἐντεταλμένον παρέσχομεν, ὃ καὶ τῶν ἔξω ἄλλοι τε πολλοὶ, καὶ Σωκράτης τυπτηθεὶς οὐκ ἠμύνατο, ὥσπερ ὑπὸ ὄνου τινὸς λακτιζόμενος; τὶ δ' ἐρεῖς καὶ περὶ Στεφάνου τοῦ πρωτομάρτυρος, ὅστις συχνοῖς βαλλόμενος λίθοις, καὶ τὴν τῶν Ἰουδαίων ὀργὴν ἀμυνόμενος τῇ πρᾳότητι, ἔλεγε πρὸς τὸν σωτῆρα, οὗ τὸ πάθος καλῶς ἐμιμήσατο, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι, τὶ ποιοῦσι; Ταῦτ' οὖν ἱκανὰ πεῖσαί σε μηκέθ' ἡμᾶς μέμφεσθαι ἐνδιδόντας ἤδη τῇ τοῦ χρόνου φορᾷ· οὐδὲ γὰρ τοῦτ' ἐστὶ τῆς ἐμῆς σιγῆς αἴτιον, ὅπερ ἔφης ἡ ψυχρότης τοῦ γήρως· ἀλλ' ὅτι ἐν γήρᾳ γενόμενοι, φιλοσοφεῖν μεμαθήκαμεν, ὁπότε καὶ ἐφ' οἷς, νεώτεροι ὄντες τοῖς ὅπως δήποτε ἐπηρεάζουσιν ἐπεξήλθομεν, μεταμεμελήμεθα· ἐκεῖνα μὲν γὰρ ἔξαψις ἦν τοῦ πάθους· ταῦτα δὲ λόγος ὑπαγορεύει. Ἔῤῥωσο.

## *Τῷ Σταύρῳ* (167.)

Τὰ μὲν ὑμέτερα ἀμετάβλητα, καὶ ἀνεωτέριστα ἐφ' ἑκάτερα, καὶ διὰ τοῦτο, ὡς φῂς, λόγων τε καὶ γραμμάτων οὐ χρῄζοντα· ἐξ οὗ καὶ ἐς δεῦρο προῆλθέσοι σιωπᾷν· ἀλλ' οὐ καὶ τὰ ἡμέτερα τοιαύτην ἔσχε τὴν τῆς σιγῆς αἰτίαν· ἀλλ' ὅτι κρείττω λόγου γενόμενα, τήν τε γλῶτταν ἐπέσχε, καὶ τὴν γραφίδα κεκώλυκε· τρίτος γὰρ μὴν οὗτος ἐν οἰκήματι λυγρῷ τῷ κρύει πηγνύμενος, οὗ καταλύματος τυγχάνω μισθώσας, βίᾳ ἀποκλεισθεὶς, στρατιωτῶν κατασχόντων· καὶ νῦν ἀργαλέῳ βηχὶ ἀντεξεταζόμενος ἀπαλλαγῆναι οὐκ ἔχω τῶν τε

φαρμάκων ἐν ψυχρῷ τῷ περιέχοντι μηδὲν δυναμένων, καὶ τοῦ γήρως μηκέτ' ἀντιτείνοντος τῇ τῶν ἔξωθεν ἐπηρείᾳ· φεῦ τῶν κακῶν! οὐδὲν οὐκέτ' ἐν ἡδονῇ οὐδαμοῦ· γένοιτό μοι μόνον ἅπαξ ἐπιδεῖν τὰς Ἀθήνας, καὶ αὐθημερὸν μιχθείην τῇ γῇ. Ἔῤῥωσο.

## τῷ αὐτῷ. (168.)

Ἄμασις ὁ τῆς Αἰγύπτου κρατῶν, ὁρῶν μὲν Πολυκράτην φίλον ὄντα, εὐδοκιμοῦντα ἀεὶ, ἐν οἷς ἐπεχείρει, ὑφορῶν δ' ἐν αὐτῷ τὸ τῆς τύχης πολύστροφον, πέμψας, τὴν φιλίαν ἀπεῖπεν, ἵνα μὴ, φησὶ, πάσχοντι αὐτῷ ποθ' ὕστερον ἐκ Νεμέσεως, καὶ αὐτὸς κατὰ λόγον συναλγῇ τῆς φιλίας, ὁπόθ' ἡ τῶν πραγμάτων περιστροφὴ ἐπενέγκοι τυχὸν τὰ χείρω· μηδενὶ γὰρ τὴν τύχην ἐς τέλος εὐνοοῦσαν διατελέσαι. Ταῦτα μὲν ἐκεῖνος. Ἀλλ' ἐν ἡμῖν μήτε σὺ Πολυκράτης ὁ ὀλβιώτατος εἶ, μήτ' ἐγὼ τοσοῦτον φίλαυτος ὡς ὁ Ἄμασις, ὥστ' ἀπειπεῖν δι' ὑπόνοιαν ἥντινοῦν, ἣν ἐκ πολλοῦ τυγχάνομεν παρ' ἀλλήλων εὑράμενοι οἰκειότητα, ἐφ' οἷς ὑπόπτως διάκειμαι περὶ σοὶ, εἰ ἔτι ἐμφιλοχωρήσειας τοῖς βορειοτέροις χωρίοις· ἀλλὰ τῆς φιλίας ἐχόμενος μάλιστα, μενῶ τοῖς τῆς φιλίας καθήκουσιν ἐφ' ἑκάτερα· ἐφ' οἷς καὶ προάγομαί γε νουθετῆσαί σε τοῦθ', ὅπερ οἴομαι βέλτιόν σου προβλέπειν· ἀξιῶ γὰρ καὶ δέομαι, μηκέτι ἐνταῦθα μένειν, ἀλλ' ἅμα ἦρι ἀπιδεῖν ἐς φίλην πατρίδα γαῖαν, τούς τέ σοι προσήκοντας καὶ φίλους ἐπισκεψόμενον, καὶ τὴν τῶν μακάρων πρεσβίσταν ὑγείαν ἀναληψόμενον· ὅπως μήτε σεαυτὸν, εἰς καχεξίαν τινὰ περιστὰς, ἀπολέσειας, κἀμὲ, τοῦτο παθὼν, συλλυπήσειας· καὶ τοσούτῳ γε, ὅσῳ καὶ μᾶλλον φιλῶ καὶ τιμῶ τὸν καὶ φίλτατον καὶ τιμιώτατον καὶ ὄντα καὶ λεγόμενον Σταῦρον· καὶ ὅσῳ πλεῖστον

αὐτοῦ ἐλπίζω τοῖς Ἕλλησιν ὄφελος ἔσεσθαι· ταῦτα δὲ ποιήσας, καὶ ἰδὼν τὴν πατρίδα, εἰ μὲν εὖ προχωροίη σοι αὐτοῦ παραμεῖναι, παράμεινον· εἰ δὲ ἐνοχλοίη τὸ ἀπὸ τῆς τυραννία τῶν κρατούντων ἀγέρωχον, τότ' ἀποβλέψεις ἐπὶ τὴν ἐλευθέραν Ἑλλάδα· ἔνθα καὶ πόρος σοι πρὸς τὸ ζῆν, ὡς εἰκὸς, καὶ βίος ἄνετος καὶ γαλήνιος ἔσται, ἄλλως τε τῶν διδασκάλων τῶν μὲν γεγηρακότων, τῶν δὲ καὶ ὅλως ἐκλελοιπότων· τὰ δὲ ἀπὸ τῆς ὥρας αὖθις τί καὶ ἂν εἴποιμι;

« Ἔνθα δὲ δένδρεα μακρὰ πεφύκει τηλεθόωντα,
» Ὄχναι, καὶ ῥοιαὶ, καὶ μηλέαι ἀγλαόκαρποι,
» Συκαῖ τε γλυκεραὶ, καὶ ἐλαῖαι τηλεθόωσαι.
« Τάων οὔποτε καρπὸς ἀπόλλυται, οὐδ' ἐπιλείπει
» Χείματος, οὐδὲ θέρευς, ἐπετήσιος· ἀλλὰ μετ' ἀεὶ
» Ζεφερίη πνείουσα, τὰ μὲν φύει, ἄλλα δὲ πέσσει·
« Ὄχνη ἐπ' Ὄχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ,
» Αὐτὰρ ἐπὶ σταφυλῇ σταφυλὴ, σῦκον δ' ἐπὶ σύκῳ·

καὶ ὅλως ἐνταῦθ' ἡ πολύκαρπος ἐῤῥίζωται ἀλωή· ἐφ' ᾧ καὶ μακαρίζειν σε προάγομαι μάλιςα, ὅτε μετὰ τούτων καὶ αὐτῆς τῆς Ἑλλάδος ἀπολαύσεις ἐλευθέρας ἐπὶ πολύ· ἐγὼ δὲ σφόδρα μεταμεμέλημαι, τριάκονθ' ὅλοις ἔτεσί σου γενέσει προηγησάμενος, ἃ διατετέλεκα ὡς ἐν τυραννίᾳ ἀνηλωκὼς στυγερᾷ, τόπον ἀμείβων ἐκ τόπου, καὶ ἐξ ἔθνους ἐς ἔθνος διωκόμενος ἕτερον· ἐξ ὧν οὐ τοῦθ', ὃ ἠβουλόμην, καὶ ὅπως, ἀλλ' ὃ ἠδυνάμην ἐν πολλαῖς περιπετείαις ἐκ μέρους τὴν πατρίδα παραμυθεῖσθαι, τοῦθ' ὅπως ἐξῆν ἐν τοῖς διωγμοῖς εἰργαζόμην· νῦν δ' ἐλευθερωθείσης ἐκείνης, ὁπότε καὶ ἥδιον ἂν αὐτὴν θεραπεύοιμι, καλεῖ με ὁ Χάρων, ἄλλοτ' ἄλλους ἀγγέλους ἐπιπέμπων ὁ πρισκατάρατος, ὠταλγίας τε καὶ ὀδονταλγίας, ὀφθαλμίας τε καὶ παντοίους συμβόλους· οἱ ἐπιόντες ἐν μέρει ἕκαςος ἐπισπέρχουσί με παρασκευάζεσθαι· εἷς δέ τις ὁ τῶν ἄλλων

συμβολικώτερος κἂν τοῖς σκέλεσιν οὐκ ἐπιπολῆς ἔδακέ με, ἄμφω παραλύσας τὰ γόνατα. Σοὶ δ' οὖν καὶ ἡλικία ἔτι δραστήριος, καὶ λόγος τρανὸς, καὶ γλῶσσα Νεστόρειος, καὶ παιδεία βέβαιος· ἃ ἐν ἀλλοδαπῇ καταδαπανᾷν, τῆς πατρίδος διψώσης, οὐ θεμιτόν. Εἰ τοίνυν τὴν ἐμὴν συμβουλὴν ἔχειν τι νομίζεις εἰλικρινὲς, χαρισάμενος ἔτι καὶ νῦν, ἄκουσόν μου· ἀγαθὴ γὰρ καθ' Ὅμηρον ἡ τοῦ φίλου παραίφασις. Ἔῤῥωσο.

## Τῷ *Μανουήλῳ*· (169.)

Οὐδὲν ἐν τῷ βίῳ τέλειον ἐξ ἀρχῆς τοῖς ἀνθρώποις γεγένηται· καὶ δὴ καὶ ἡ πολιτικὴ μόλις νῦν σπεύδει ὅλαις δυνάμεσι τελειοῦσθαι· ἦν μὲν γάρ ποτε πᾶν τὸ ἀνθρώπινον ὑπὸ τυράννοις, οἷς νόμος εἰς τὸ ἴδιον βούλημα· νῦν δὲ συμπραττούσης φιλοσοφίας, ἐξενίκησεν ἡ πότνια νέμεσις, τήν τ' εὐνομίαν τοῖς λαοῖς χορηγοῦσα, καὶ δικαιώματα τοῖς ἀνθρώποις, ἃ αὐτοῖς ὁ ποιητής τε καὶ πλάστης ἐνέθηκεν ἐξ ἀρχῆς, ἀνακαλύπτουσα πανταχῇ. Γαλλία γὰρ μετὰ τὴν Ἀγγλίαν (ἐκείνῃ γὰρ πρώτῃ ὁ τῶν τοιούτων ἀγώνων ἀνάκειται στέφανος) ἐπαναστᾶσα μετὰ πολλῶν καὶ ἐνδόξων κινδύνων κατὰ πάντων τῶν Ἡγεμόνων, ἀπεσείσατο τὸν ζυγόν. Ἐκ δὲ τούτου εὐτύχησαν καὶ οἱ Ἕλληνες, δέχ' ὅλα ἔτη γενναιοτάτῳ ἀντιστάντες φρονήματι. Ἐπὶ δὲ τούτοις νῦν αὖθις οἱ Γάλλοι, ἐφ' οἷς ὁ ἡγεμὼν αὐτῶν, τὴν ἐλευθερίαν αὐτοῖς περιελεῖν ἐν μέρει πειρώμενος, τοῦτον μὲν ἐπαναστάντες ἐξέωσαν· ἕτερον δὲ ἀντικαταστήσαντες, νόμοις, οἷς δεῖ πράττεσθαι ἕκαστα, περιώρισαν. Ἑχομένως δὲ τούτων συνέβη τὸ τῶν Βελγίων ἀνέλπιστον· οὓς νῦν ὁρῶμεν οὐκ ἀκλεῶς κατορθωσαμένους, ὧν τυχεῖν ἐφιέμενοι, ἐκινδύνευσαν. Ἤδη δ' αὖ καὶ τοὺς Πολωνοὺς ἐπαναστῆναι ἀκούομεν ἐπὶ Ῥώσσους, καὶ τὸ πρᾶγμ' αὐτοῖς δοκεῖ οὐκ ἀπ' ἐλαχίστων ὁρμηθῆναι

ἐλπίδων. Ἀλλὰ τί ἂν κατορθοῖεν, εἴποις ἄν, οὗτοι μηδὲν ὄντες ἀριθμῷ πρὸς τὸν μέγιστον τῶν Αὐτοκρατόρων πολλαπλασίονι δυνάμει ἐπ᾽ αὐτοὺς ἄνωθεν ἐπιόντα; ἐγὼ μὲν τοῦτ᾽ οὔπω βούλομαι σκοπεῖν, εἴτε καλῶς αὐτοῖς προχωροίη, εἴτε καὶ μή· ἐκεῖνο δὲ οἶδα, καὶ σφόδρα γε πέπεισμαι, ὡς μηδὲ τὰ πάλαι ἐν Πετρουπόλει, πέμπτον, ἢ ἕκτον ἔτος τουτὶ, συμβάντα, μάτην τοῖς πράξασι πέπρακται· τὰ γὰρ τοιαῦτα πάθη μᾶλλον πρὸς τὸ μέλλον ταῖς ψυχαῖς ἐμφυτεύει, τῶν γνωμῶν ἐρεθιζομένων, καὶ ἀνασκοπουμένων, ἅ ἐςι τοῖς ἔθνεσι δίκαια· τεκμήριον δέ· οὐδὲ γὰρ ὁ ἀοίδιμος Ῥήγας, ὁ ἡμέτερος ἥρως, ὁ πρῶτος τοῦ ἱεροῦ πράγματός ποτε ἀρχηγέτης γεγενημένος, κατώρθωσεν, οἷς, καλῶς ποιῶν, ἐπεχείρησεν, ἀλλ᾽ οὐ καὶ μάτην ἀπώλετο σὺν τοῖς ἀμφ᾽ αὐτὸν φονευθεὶς, εἴγε κατέλιπεν ἡμῖν τοῖς ἔπειτα ἔν γε ταῖς γνώμαις τὸ πρὸς ἐλευθερίαν σφριγᾶν, ὄμματι καραδοκοῦντας τοὺς καιροὺς ἀκοιμήτῳ· ἐξ οὗ νῦν τὰ δεύτερα ταῦτα, καθάπερ ἀπὸ σπινθῆρος ἐξ αἰθάλης, ἀνέθορεν εἰς φλόγα τοιαύτην, ἣ παρὰ μικρὸν ἦλθε πᾶσαν τὴν Ὀθωμανικὴν καταφλέξαι οἰκίαν· καί σοι ταῦτά φημι οὐκ ἀκηκοὼς, ἀλλ᾽ εὖ μάλα παρηκολουθηκὼς ἐξ ἀρχῆς, μαθητὴς ἅμα καὶ σύμψηφος ἐξ ἀρχῆς γεγενημένος ἐκείνου· ὡς δ᾽ αὔτως δὲ καὶ τὰ Ἰσπανικὰ ποθ᾽ ὕστερον, καὶ τὰ Ἰταλικὰ, καί τοι ἐκπεπτωκότα, ἀλλ᾽ οὐκ ἂν ἀποσβέσειεν ὅλως καὶ τὸ ἐν ταῖς γνώμαις τοῦ πλήθους ἐνσπαρὲν φιλελεύθερον φρόνημα· μάλιστα δὲ καὶ προσηύξησε· καὶ οὐχ ἂν, οἶμαι, κἂν πάντα ποιῶσιν οἱ τῶν ἐθνῶν μοναρχοῦντες, κἂν πολλαπλασιάσωσι τοὺς στρατοὺς, τὴν τῶν πιεζομένων πρὸς τὸ εὐνομεῖσθαι ῥοπὴν ῥαδίως ἀνεστορέσειαν· φύσει γὰρ καὶ πᾶν μὲν ὀργανικὸν, μάλιστα δὲ τὸ λογικὸν τουτο ζῶον ὁ ἄνθρωπος σπεύδει πρὸς τὸ τελειοῦσθαι καὶ σώζεσθαι. Ἀλλ᾽ ἐπὶ πολλῷ, φαίης ἂν, τὴν ἐλευθερίαν ἀνασώζοιντ᾽ ἂν οὕτω· τί δέ; ἐπ᾽ ὀλίγῳ

σὺ, καὶ ὅλως προῖκα ἐβούλου; οὐκ οἶσθ' ὅπως καὶ στάχυς οὐκ ἂν ἐβλάστησε, μὴ προσαπέντος τοῦ σπέρματος; τί οὖν θαυμαστὸν, εἰ καὶ ἡ πολιτικὴ διὰ τὴν μοχθηρίαν ἐνίων δι' αἵματος τελειοῦνται; εἶτ' οὐδ' ἡ ζημία πολλὴ, ἐκ μέρους πρὸς τὸ ὅλον θεωρουμένη· ἴσμεν γὰρ παρ' Ἄγγλοις καὶ Γάλλοις τὸν πλεῖστον φθόρον γενόμενον· ἀλλὰ νῦν γ' ὁρῶμεν τὰ ἔθνη ταῦτα ἀμφότερα, νόμοις τε καὶ δυνάμεσι, πλούτῳ τε καὶ σοφίᾳ, πλήθει τε καὶ τῇ ἄλλῃ δι' εὐνομίαν εὐδαιμονίᾳ πολλῷ τῶν ἄλλων προέχοντα· ἔοικε δὲ καὶ τὸ θεῖον τῷ παντὶ τὸν νόμον τοῦτον ἐνθεῖναι, ἔνθ' ἀναθάλλει τὸ ὅλον, τῇ τῶν ἐπὶ μέρους φθορᾷ τρεφόμενον καὶ σωζόμενον. Ἀλλὰ σοίγε τὰ τῶν μοναρχῶν ἑλομένῳ νεωτερισμὸς, ὡς εἰκὸς, οὐκ ἀρέσκει, καὶ διὰ ταῦτ' ἄρα δοκεῖς τοὺς ἐμοὺς μὴ παραδέχεσθαι λόγους. Ἄφες τὸ πάθος, ὦ βέλτιστε, γενόμενος σεαυτοῦ, καὶ κρίνε ἐξ αὐτῆς τῆς τοῦ πράγματος φύσεως, ποτέρως ἂν μᾶλλον εὐδαιμονοῖεν τὰ ἔθνη, βασιλευόμενά τε καὶ τυραννούμενα, καὶ ὡς τὰ πρόβαθ', οὕτως εἰπεῖν, ἐς τὰς μάνδρας συνελαυνόμενα, ἢ νόμοις σοφοῖς, τοῖς παρ' αὐτῶν συγκειμένοις, διακυβερνώμενα καὶ σωζόμενα; τούτου δὲ κἀκ τῆς αἰσθήσεως αὐτῆς φανεροῦ γιγνομένου, τό,τε σὸν μοναρχικὸν φρόνημα ἐξελέγχεται, καὶ τοὐμὸν δημοκρατικὸν μάλιστα βεβαιοῦται· τεκμήριον δὲ μέγιστον· ἡ γὰρ ἐν Ἀμερικῇ εὐνομία ἅμα τε τὸν ζυγὸν ἀπεσείσατο, κἂν ὀλίγῳ ἰσχυρὸν καὶ εὐκλεὲς τὸ ἔθνος ἀπέδειξεν. Ἔῤῥωσο.

## *Ἀρχιγένει.* (170.)

Τέκνον Ἀρχίγενες, συχνὸς χρόνος ἐῤῥύη ἐξ ὅτου οὐδὲν ἀκήκοα περὶ σοῦ· μᾶλλον δ' ὑφ' ὅτου καταλιπὼν ἡμᾶς, ἀπροσδοκήτως ἀπῆρας, οὔτε σοῦ γράψαντος, οὔτ' ἄλλοθεν ποθὲν ἡμῖν ἀγγελίας τινὸς ἠκούσης· καί τοι οὐκ ἐχρῆν, εἰδόθ' ἡμᾶς

φιλοῦντας μέν σε καὶ διὰ σὲ αὐτὸν, φιλοῦντα δὲ καὶ διὰ τὸν σοφὸν Λογάδην τὸν καὶ συστήσανθ' ἡμῖν καὶ φιλοῦνθ' ὡς εἰκός· ὃς καὶ νῦν ἐπιστείλας ἡμῖν, ἀξιοῖ σύμπλουν μοι καί σε γενέσθαι πρὸς τὴν τοῦ Βύζαντος· μέλλω γὰρ (σὺν θεῷ δὲ εἰρήσθω) κατὰ μῆνα Ἀπρίλιον ἀπᾶραι ἐς Αἴγιναν· κἀκεῖθεν, αὖθις, εὖ παρασχὸν, μετεβήσομαι ἐς Ἀθήνας, ὅπου γε λήξω ζῶν καὶ ἀλώμενος ἐν ἀλλοδαπῇ ἄλλοτ' ἄλλῃ. Ἔρρωσο.

Τῷ *Λάμπρῳ.* (171.)

Μὴν ἤδη Μάρτιος παροδεύει, καὶ αἱ χελιδόνες, ὡς εἰκὸς ἐν ἦρι, προσδόκιμοι· πυνθάνομαι τοίνυν, εἰ μενεῖς, οἷς ποτ' ἔγνως· ἐγὼ γὰρ κατὰ μῆνα Μάϊον ἀπαρῶ ἐς Ἀθήνας. Εἰ οὖν ταὐτά σοι καὶ νῦν δοκεῖ, καὶ ἐφίεσαι ἔτ' ἰδεῖν τὴν Ἑλλάδα, ἤδη ἐκ πολλῶν δακρύων γεγῶσαν ἐν εὐνομίᾳ, περὶ ἧς καὶ αὐτὸς οὐκ ὀλίγους ὑπέστης κινδύνους, παραλαβὼν τὰ πέντε κιβώτια τῶν βιβλίων, κατάβηθι ἐς Γαλάζιον· ἔνθ' ὁμοῦ γενόμενοι ἐν καιρῷ, συνεκπλεύσομεν· εἰδέ σοι μετέδοξέ τι μεταξὺ, πέμψον μοι ἐκεῖ τὰ βιβλία πρὸς Νικόλαον τὸν Γλυκῆν· δεῖ γὰρ δὴ καὶ ταῦτα γενέσθαι προσθήκην τοῖς φθάσασιν, ἅτε δὴ σφόδρα τῶν τοιούτων τῆς Ἑλλάδος διψώσης, καὶ τῆς νεολαίας ἀσμένως δι' ἀπορίαν ὑποδεχομένης τὰς τοιαύτας γε δωρεάς. Ἔρρωσο.

Τῷ *Δανιήλῳ.* (172.)

Σήμερον ἔαρ μυρίζει, καὶ αἱ χελιδόνες ἄρχονται φθέγγεσθαι· ἡ δ' ἐλευθέρα Ἑλλὰς συνάγει πανταχόθεν τὰ ἑαυτῆς φίλα τέκνα, ὥσπερ ὄρνις τὰ ἑαυτῆς νοσσία· ἐγὼ δ' ἦρος ὅσον οὔπω φανέντος, ἀπαρῶ. ὥσπερ ἄλλος Ὀδυσσεὺς μετὰ τὴν ναυαγίαν, τῆς τῶν Φαιάκων ποτὲ ἐπιβὰς, τὴν φίλην ἀσπα-

σόμενος γαῖαν· οὐ γὰρ μικρὸν καὶ ἡμεῖς χειμῶνα ἐν πεντήκοντα ὅλοις ἔτεσιν ἤδη, τῆς οἰκίας ἀποπλανηθέντες, ὑπέστημεν. Τί οὖν ἔγνως αὐτός; πότερον συναπαρεῖς μοι εἰς τὴν τῆς ἐπαγγελίας, ἢ προαιρήσῃ τὴν τῶν Αἰγυπτίων ἐνταῦθα; ἃ οὐδ' ἐνδοιασθῆναι δοκεῖ μοι καλὸν, καὶ ταῦτα τῆς πατρίδος νῦν μάλιστα ποτνιομένης χεῖρα λογίαν αὐτῇ παρέχειν· κἂν γὰρ ἄχειρες διὰ γῆρας νῦν τυγχάνωμεν ὄντες, ἀλλὰ τῷ γε λόγῳ τῶν νέων ἰσχυρότεροι γέροντες· καὶ γὰρ ἡ κάμηλος, φασὶ, καὶ ψωριῶσα, πολλῶν ὄνων ἔτι ἀνατίθεται φόρτον. Ἔρρωσο.

## *Πολυκάρπῳ.* (173.)

Λόγον μὲν οὐκ ἔχω εἰπεῖν ἀποχρῶντα· ἐκ δὲ τῶν ὑςέρων κἀκ πείρας ἀμφιλαφοῦς πέπεισμαι, ὅτι πᾶς ἅγιος νῦν κατὰ τοὺς ἡμετέρους χρόνους ἐστὶ τοῦτ' αὐτὸ κάκιστος ἄνθρωπος· τοῦτο γὰρ ἐγὼ πείθομαι, καὶ τοὺς ἄλλους ἀξιῶ τὸ αὐτὸ ὡς ἀξίωμα δέξασθαι· σὺ γὰρ, ὦ θαυμάσιε, ὁ ἐν νηστευταῖς θαυμαζόμενος, καὶ τοῖς γόνασιν ἀεὶ οὕτω τὴν γῆν ἀράσσων, τὴν ὡς ἄχθος σε ἀρούρης βαστάζουσαν, ὥστε τοῖς συχνοῖς ἀραγμοῖς κάτωθεν ὑποβρύχειν, οὐ παύῃ διαβάλλων ἡμᾶς τοὺς ἁμαρτωλοὺς πρὸς τοὺς ἰδιώτας, ὅτι μηδὲν τῶν τοῖς τὸν μονήρη βίον ἑλομένοις καθηκόντων φυλάττομεν· καὶ ἀληθῆ μὲν διαβάλλων τυγχάνεις· οὐ γὰρ τὰ τῶν μοναχῶν μᾶλλον, ἢ τὰ τῶν χριστιανῶν ἀσπάζεσθαι προειλόμεθα· ἀλλ' ἀδικεῖς ἄλλως, ὡς ἀπὸ γνώμης πονηρᾶς ὡρμημένος· εἰ μὲν γὰρ πρὸς τὸ αὐτὸ ἐσκοποῦμεν ἀμφότεροι, δίκαιος ἂν εἴης καὶ μέμψασθαι ἡμῖν, τὰ ἀσκητικὰ παραβαίνουσιν ἐπὶ σωτηρίᾳ· νῦν δ' ὑμῖν μὲν τέλος τοῦ ζῆν ἡ ὑπόκρισις, κἂν τοῖς ἀπειροκάλοις ἐφ' ἁγιότητι περιβλέπεσθαι, κἀκ τούτου πλεῖον ἐπισωρεύειν ἀρ-

γύριον· ἡμῖν δ' ἓν καὶ μόνον ἁπλούστατον, τὸ ἐπιπόνως ζῆν ἐπ' ὠφελείᾳ κοινῇ· καὶ διὰ τοῦτ' ἴσως πη καὶ τὰς Λαυσαϊκάς σου ἐντολὰς ἐδόξαμεν παραβῆναι· τοιοῦτοι μέντοιγε ὄντες, οὐ παυόμεθά σε θαυμάζοντες, καὶ τὰ κρείττω τούτων σοι συνευχόμενοι, μὴ μόνον τριήμερον διανύειν νηστείαν, ἀλλὰ καὶ πενθήμερον ὅλως, ἵνα τάχιον ἡμῖν πένθιμος γενόμενος ἅγιος, πονηροῦ ἄχθους τὴν γῆν ἀπαλλάξειας. Ἔῤῥωσο.

## Ζήσῳ ἰατρῷ. (174.)

Συχνὸς ἡμῖν μεταξὺ ἐῤῥύη χρόνος, ἐξ οὗ οὔτ' εἴδομεν ἀλλήλους ἔτι, οὔτε μὴν ἄλλως γράμμασι γοῦν τὴν φιλίαν ἠρδεύσαμεν· αἴτιον δὲ τούτου, ὅσον γε τοὐμὸν, οὐ μνήμης ἀπόλειψις, οὔτε συμφοραὶ μεταξὺ συνέχειαν ἔχουσαι, ἐφ' ἑαυτὰς τὴν προσοχὴν, ὡς ἂν εἴποι τις, ἀπὸ τῶν ἔξω ἐφέλκουσαι· ἀλλὰ τὸ σὸν ἐν παραβύστῳ που Παζαρζίκιον, ἔνθα δι' αἰῶνος τὰς διατριβὰς προείλου ποιεῖσθαι, αἱρετώτερον τὸ πολύχνιον τοῦτο τὸ βάρβαρον τῶν πολυανθρωποτέρων καὶ σοφωτέρων πόλεων κρίνας, καὶ ταῦτ' ἀνὴρ γενόμενος ἐν τοῖς μάλιστα τῇ τε ἄλλῃ παιδείᾳ καὶ τῇ ἱερᾷ τῶν Ἀσκληπιαδῶν τέχνῃ, δι' ἧς ἂν εἴης μάλιστ' ὠφέλιμος πλείοσι, δεύτερος οὐδενός. Νῦν δὲ Νεδέλκος ὁ ἐκ Φιλιππουπόλεως εὐπατρίδης ἐλθὼν ὡς ἡμᾶς, τά τ' ἄλλα σὲ εὖ ἀνείγγειλεν ἔχειν, καὶ δὴ καὶ λόγον περὶ ἐμοῦ σοι πρὸς ἐκεῖνον γενέσθαι· τοῦτο δὲ ὑπερβαλλόντως με ἡσθῆναι ἐποίησε· καὶ ἅμα πρὸς τὸ γράφειν ἐπῆρέ με ὁρμηθῆναι, ἐπαγγειλαμένου μοι ἐκείνου παραπέμψαι σοι τὰ γράμματα ἀσφαλῶς· ὧν τέλος μάλιστα μὲν προσειπεῖν τὴν σὴν ἱερὰν κορυφὴν, καὶ ἀπλέτῳ προσασπάσασθαι πόθῳ· ἔπειτα καὶ μέμψασθαί τι εἰκότως· μέχρι γὰρ τίνος ἀνέξῃ παρ' ἀνθρώποις διατρίβειν ἀπειροκάλοις, παρ' οἷς χάρις τε καὶ ἐπίδειξις οὐδεμία, καὶ ταῦτ' ἤδη τῆς

Ἑλλάδος εὐνομουμένης, καὶ πανταχόθεν καλλιεργουμένης καὶ αὐξομένης τῇ τῶν ἔξωθεν συῤῥοῇ ἐς Ἀθήνας, Ἑλλήνων τε καὶ ἐκ τῶν ἄλλων ἐθνῶν οὐκ ὀλίγων; ὥστε ἐν ἔτεσιν εἴκοσι ἢ τριάκοντα ἁμιλλᾶσθαι εἰκὸς τὴν πόλιν ταύτην περὶ τῶν πρωτείων, τὴν ἀρχαίαν ἅπαξ ἀνασωσαμένην λαμπρότητα. Ἐγὼ μὲν οὐ μελήσας καὶ πέρυσιν ἑκὼν ἀπελεῖν, ἄκων ἀπεκωλύθην· ἀλλ' οὐκ ἂν καὶ τῆτες· ἅμα γὰρ ἦρι συνεκπλευσοῦμαι καὶ ἄλλοις οὐκ εὐαρίθμοις· ἄλλα τε γὰρ πολλὰ, ἀλλὰ καὶ Γρηγόριος ὁ Κωνσταντᾶς, ὃν πόθῳ πολλῷ οὐχ ἧττον, ἢ καὶ σὲ ἐφίλησα καὶ φιλῶ, ἐφέλκει με δαιμονίως. Εἰ τοίνυν καὶ σοὶ ταῦτά ἐστι φίλα, (πῶς γὰρ οὔ;) καὶ Ἀθήνησιν, ἔνθ' αἵ τε χάριτες καὶ αἱ Μοῦσαι γεννηθεῖσαι, ἐχόρευσαν, τὸ λοιπὸν διανύσαι τοῦ βίου, κάτιθι πανοικὶ, ὅπως μετ' ἀλλήλων γενόμενοι, πλείους καὶ κρείττους τὰς ἐκ τῆς συνδιατριβῆς ἡδονὰς πορίζοίμεθα. Ἔῤῥωσο.

*Κύρῳ.* (175.)

Ὡς σφαλερὸν καὶ ἀσύστατον ἡ νεότης ἔοικεν εἶναι ὑπὸ κουφότητος· καὶ τοῦτο πείρᾳ μεμαθηκὼς φημι· ἦν γὰρ ὅτε καὶ ἡμεῖς ταῖς αὐταῖς σοι αὔραις τῶν ἐπιθυμιῶν μετέωροι ἐφερόμεθα, ἐλευθερίαν μὲν λαρυγγίζοντες ἁδρᾷ τῇ φωνῇ, οὗ δ' ἐζητοῦμεν, ἠγνοοῦμεν τὴν φύσιν παντάπασιν, ὡς πολλαῖς καὶ ὀλεθρίαις ἐκ τῶν σπαργάνων ἔτ' αὐτῶν προκατειλημμένοι προλήψεσιν· οὕτως ἡ κρίσις γέννημά ἐστι τῆς φρονήσεως, ἣν ὁ χρόνος τἄλλ' ἀφαιρῶν, ὡς ἐπὶ τὸ πολὺ ἐν τῷ γήρᾳ προστίθησι· σὺ δὲ, εἰ βούλει, καὶ νέος ἔτι θαυμάζεσθαι παρὰ γέρουσι (δυνατὸν γὰρ καὶ τοῦθ' ἡ Σολομώντιος τίθησι μοῦσα, πολιὰν τὴν φρόνησιν εἶναι φάσκουσα) λέγε, καὶ πρᾶττε μὴ νεανικῶς, ὅπερ ἂν ἐπ' ἀκερίμναν ἔλθῃ γλῶτταν,

ἀλλὰ διελὼν τὰ πράγματα πρῶτον, ὥσπερ ἐστὶ κἀν τῇ φύσει, οὕτως ἀποφαίνου περὶ αὐτῶν· τρόπος γὰρ οὗτος ἀξιόχρεως ἀκριβώσασθαι τὴν ἀλήθειαν ἡ διαίρεσις· λέγε τοίνυν διακρίνας ὡδί. Τῆς ἐλευθερίας ἡ μὲν ἀπόλυτος, ἡ δὲ σχετική· κἀκείνη μὲν οὕτως, ὡς ἕκαστος βούλεται, ἐστὶ ζῆν, ἡ δὲ τοῖς πρὸς τὸν πλησίον καθήκουσι διορίζεται· ἐκείνη μὲν νεανικὴ καὶ ἀκάθεκτος, καὶ ὅλως ὀχλοκρατικὴ καὶ ὀλέθριος, αὕτη δὲ συνεστηκυῖα πρὸς ἑαυτὴν, ἔμφρων τε καὶ δημαγωγικὴ, ὡς ὁδηγὸς ἀπλανὴς ὑπάρχουσα πρὸς εὐδαιμονίαν· εἰς ἣν ἡ φύσις αὐτὴ, αἴσθησιν καὶ βούλησιν καὶ πρᾶξιν ἐνθεῖσα, ἄγει ἕκαστον ἐπισπέρχουσα. Οὐκοῦν, εἰ ἀληθῶς ἐλεύθερος βούλει εἶναι, κἀντεῦθεν εὐδαίμων τόγε δυνατὸν, αἰσθάνου μὲν ἀπρολήπτως, βούλου δ' ἀνεπιλήπτως, καὶ πρᾶττε λογικῶς ὅ,τι ποτ' ἂν εἰδῇς ἀληθῶς ἐσόμενον ἀγαθόν· ἐλευθερίαν γάρ οὐ τοῦτ' αὐτό ἐστι πράττειν, ὃ ἂν ἕκαστος ἐκ προλήψεως ἔχῃ· ἀλλ' ὃ, σύμφωνον ὂν τοῖς νόμοις, συνοίσει πραχθὲν ἰδίᾳ τε καὶ κοινῇ· ἄλλως γὰρ ὁ ἀπὸ τῶν προλήψεων, ὡς ἔτυχεν, ὁρμὴν ἐπὶ τὸ πράττειν λαμβάνων, λανθάνει ἀντὶ τῆς Ἥρας συγγιγνόμενος τῇ νεφέλῃ, ἐλευθερίαν μεταδιώκων ψευδώνυμον, καὶ τῆς ἀληθοῦς εὐδαιμονίας ἀνατρεπτικήν· καὶ οὐκ ἔστιν ἀντίφασις, εἰ ταὐτὰ ἄλλως ὑπὸ τῆς ἀλογίας ἀγόμενα, εἰς τοὐναντίον αἴφνης ἀντιπερισπῶντα, ἀπερισκέπτως ἐκτραχηλίζουσιν. Ἔρρωσο, ὠφελῶν καὶ ὠφελούμενος.

Ἰωάννῃ. (176.)

Ἀγγελῆς ὁ σὸς ἀδελφὸς, ταῖς ἐπαλλήλοις ἴσως τῶν γραμμάτων ἐπιφοραῖς καταδυσωπηθεὶς, ἐδέξατο νῦν μόγις διαλῦσαι τῶν διδάκτρων τὸ ὄφλημα, καίτοι καὶ τουθ' ὅλον μὲν οὔ· τριτημόριον δέ· τὸ δὲ ὑπόλοιπον σοί τε προσανήκειν φησὶ,

καὶ τῷ σῷ ἀνεψιῷ Κωστάκῃ προσαποδοῦναι, ἵνα τριτημόριον, φησὶν, ἦτε ἕκαστος ἀποδόντες· οὐκοῦν εἰς σὲ νῦν ἥκει ἡ τάξις τῆς τοῦ δευτέρου μέρους κατά γε τὸν ἐκείνου λογισμὸν ἀποτίσεως· σὺ δὲ, εἰ προσεπιθείης καὶ τὸ ἱκνούμενον εἰς Κωστάκην ἐνδεέστατον γ' ὄντα, ἐκείνῳ τε τὰ δίκαια ἔσῃ πεποιηκὼς, κἀμοὶ κεχαρισμένος τὰ μάλιστα· καὶ γὰρ κἀκεῖνος ὑστέρῳ χρόνῳ ἐπεδόθη μοι παρὰ τοῦ ὑμετέρου θείου, ὥσπερ ἐπενθήκη τοῖς συμπεφωνημένοις. Ἔῤῥωσο.

## *Γρηγορίῳ.* (177.)

Οὐ τοῦτ' ἐστιν, ὦ βέλτιστε, θεὸν σέβειν τὸ τὸν ψαλτῆρα ὅλον ἐν βραχεῖ καταπίνειν· ἀδόλεσχος μὲν γὰρ πᾶς παρὰ τῷ θεῷ ἀποτρόπαιος· σοφὸς δὲ καὶ σιγῶν κατά γε τοὺς Πυθαγορικοὺς τιμᾷ τὸν θεόν· οὐ γὰρ γλῶσσα προηγουμένως τίμιον παρ' ἐκείνῳ, ἀλλὰ φρόνημα ἔνθεον καὶ νοερὰν συνάπτει αὐτῷ τὸν εὐχόμενον, καὶ θεοφιλῆ ἀπεργάζεται· ἀνάγκη γὰρ τῷ ὁμοίῳ χωρεῖν πρὸς τὸ ὅμοιον τοὺς μὴ βουλομένους ἑαυτοὺς ἀπατᾷν· καὶ τοῦθ' ἡμᾶς καὶ ἀλλαχῇ πολλαχῇ ἡ ἱερὰ ἐξεδίδαξε Μοῦσα, ἀλλὰ καὶ ἐν οἷς φησι, πνεῦμα ὁ θεός ἐστι, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Ἔῤῥωσο.

## *Κωνσταντίνῳ.* (178.)

Ἀκρατὲς ἔοικεν ἡ νεότης, καὶ οὐ μόνον τῆς τύχης παρούσης, ἀλλ' ἔτι καὶ ταῖς ἐλπίσιν αὐταῖς ὑπόπτερον καὶ μετέωρον· πλοῦτος γὰρ, εἴτε ῥέων, εἴτε καὶ ἐλπιζόμενος, οὐκ ἐᾷ τοῖς τοιούτοις τὸν νοῦν μένειν ἐν τῷ καθεστῶτι· Τοιαύτη τοίνυν αὔρα δοκεῖ καὶ τὴν σὴν, ὦ ταλαίπωρε, ἀναῤῥιπίσαι ποτὲ ψυχὴν, μὴ βουληθέντος μήτε παρὰ σεαυτοῦ ξυνιδεῖν, μήθ'

ὑφ' ἑτέρου διδαχθῆναι τὰ τῆς τύχης βουλεύματα· διὸ καὶ νῦν εἰσπραττόμενος ἀποδοῦναι τὸ ὄφλημα, χαλεπαίνεις, καὶ ὠμοὺς ἀποκαλεῖς τοὺς τὰ ἑαυτῶν δικαίως εἰσπράττοντας· καίτοι ὠμοὺς καὶ ἀδίκους τοὺς τἀλλότρια ἔχοντας καὶ μὴ ἀποδιδόντας προσαγορεύειν εἰώθαμεν. Σὺ δ' οὖν ἀποτίσας τὸ ἀλλότριον ὡς τοιοῦτον, παραμυθοῦ σεαυτὸν λοιδορούμενος ᾧτω καὶ ὅ,τι βούλῃ· καίτοι ἄμεινον ἂν καὶ δικαιότερόν γε ποιήσειας, εἴγε σεαυτὸν τὰ δίκαια μέμψῃ, ὅτι εὐνοοῦσάν σοι τὴν τύχην, μὴ περιποιησάμενος τὰ εἰκότα, ἀπεσόβησας σεαυτοῦ· ἔδει γὰρ κατὰ τὸν Δημόφιλον, καθάπερ οἱ ἐν εὐδίᾳ πλέοντες καὶ τὰ πρὸς χειμῶνα ἕτοιμα ἔχουσιν, οὕτω καί σε, εἴγ' ἐφρόνεις, ἐν εὐτυχίᾳ τὰ πρὸς τὴν ἀτυχίαν προμηθεύσασθαι βοηθήματα.

### *Κωνσταντίνῳ* (179.)

Τὴν τῆς σῆς γυναικὸς πρὸς τὸν διδάσκαλον, ἐφ' οἷς πρὸς τοὺς ἑαυτοῦ μαθητὰς κέχρηται παῤῥησίᾳ, ὁ μηδεὶς δῆθεν καὶ ὁ ἀγενὴς πρὸς τοὺς εὐγενεῖς ὑμᾶς καὶ εὐδαίμονας, μαθὼν δυσαρέσκειαν, μετά τινος ἱστορίας κἀγὼ πρὸς σὲ, ὁ μηδεὶς, εἰ βούλει, καὶ οὐδαμινὸς τοὺς λόγους ποιήσασθαι βούλομαι. Φχινελὼν, φασὶν, ὁ σοφώτατος τῶν Γάλλων διδάσκαλος, ἐμπιστευθεὶς τὴν παιδείαν τοῦ παιδὸς καὶ διαδόχου Λουδοβίκου τοῦ τεσσαρακαιδεκάτου, μέχρι μέν τινος ἐδόκει τι καὶ κατορθοῦν· ἐπειδὴ δὲ ποῦ ὕστερον διαφθαρεὶς ὁ μαθητὴς ὑπὸ τῶν κολάκων (πονηρὸν δὲ τὸ κόμμα τοῦτ' ἐστὶ καὶ ὀλέθριον παρ' ὑμῖν τοῖς εὐδαίμοσι, καὶ πολλὴν, οἷον λύμη τῷ ὀφθαλμῷ, ἐπιφέρει τὴν νόσον τοῖς ἤθεσι) ἤρξατο ἀφηνιάζειν τοῖς τοῦ καθηγητοῦ παραγγέλμασι, καὶ τελευτῶν ἀπεῖπεν ἀπηθριακῶς τὴν εὐπείθειαν· μαθὼν γὰρ, φησὶν, οἷος μὲν ἐγὼ, οἷος δὲ σὺ, οὐκέτ' ἂν ἀναξίως σοι καταξιώσαιμι πείθεσθαι·

Ταῦτ' δ' ἀκούσας ὁ Φαινελὼν οὐκ ἄνευ μὲν ταραχῆς, ἀλλ' οὖν ἀπάθειαν πρὸς τὴν παροῦσαν φλεγμονὴν τοῦ παιδὸς ὑποκρινάμενος ἔξωθεν, οὐδὲν ἀπεκρίνατο· τὴν δ' ἐπιοῦσαν πόῤῥωθεν προπαρασκευάσας τὴν ψυχὴν ἐκείνου πρὸς τὴν θεραπείαν εὐάγωγον, τήν τε λύμην τῶν ὀφθαλμῶν ἠρέμα περιελὼν, καὶ τὸ τῆς ψυχῆς οἴημα εὐστόχως ἐκπνευματώσας, ἐπάγει τὴν ἴασιν· καί φησιν. Μέμνησαι, ὦ παῖ, οἷα χθὲς καταθρασυνάμενος, ἀπεσφενδόνησας ἐπ' ἐμέ; ἔφης γὰρ, ὡς οὐκέθ' ὑπείξεις ἐμοὶ, οὐδ' ἀκούσεις τῶν ἐμῶν παραγγελμάτων συνήθως· οὐ γὰρ ἄξιον βασιλέως υἱὸν ἰδιώτῃ πείθεσθαι διδασκάλῳ· καὶ ταῦτα μὲν σύγε· ἐμοὶ δὲ τί ποτε οἴῃ προσήκειν ἀπαντῆσαι πρὸς ταῦτα; ἆρ' οἶσθ' ὅσῳ ἐγώ σου προὔχω τοῖς πᾶσι; σὺ μὲν γὰρ ἐπὶ τῷ γένει ἔοικας μέγα φρονεῖν ταὐτὸ ποιῶν ἀνοήτῳ ἀνθρώπῳ γαυριῶντι, ὅτι νεφέλη ἐξ οὐρανοῦ ἐπὶ τοῦ ἀγροῦ αὐτοῦ ἐγχυθεῖσα, ἐνεποίησεν αὐτῷ εὐφορίαν, ὁπότε τῷ ἐκ γειτόνων οὐδὲ σταγὼν ἐνέσταξεν ὕδατος. ὁ γὰρ τοῖς τῶν προγόνων ἐγκαυχώμενος εὐτυχήμασι τὶ ἄλλο ποιεῖ, ἢ ἀλλοτρίαις προαιρέσεσιν ἐγκαυχᾶται, καθάπερ ἐκεῖνος τῆς νεφέλης τῷ εὐτυχήματι· ἡ γὰρ ἀρετὴ, ἐφ' ᾗ δεῖ καὶ μόνῃ μέγα φρονεῖν, προσωπικόν τι ἔοικεν ὂν πλεονέκτημα· καὶ ἀνδραγαθία, οὐ πατραγαθία προσαγορεύεται· κατὰ γοῦν τοῦτο μήσου προὔχειν ἐμὲ πολλῷ οὐδ' αὐτὸς ἂν εἴποις, εἴγε μάθοις, ὅτι δύο ἐκεῖνα χαρακτηρίζει ἀνδρὸς ἑκάστου ὑπεροχὴν, παιδεία καὶ εὐποιΐα· τὸ μὲν, τῶν γνωστικῶν δυνάμεων τῆς ψυχῆς τὸ τέλειον βεβαιοῦν· τὸ δὲ, τὴν πρᾶξιν αὐτὴν τῆς ἀρετῆς εἰσηγούμενον, ἐν οἷς αὐτὸς πολλοῖς σχοίνοις ἐμοῦ ἀπολείπῃ· ταῖς τε γὰρ γνώσεσιν εἰμὶ πλουσιώτερος, καὶ ταῖς εὐποιΐαις, αἷς διατελῶ βελτίων τοὺς ἐμοὶ προσιόντας, πολλῷ γε ὑπέρτερος· ὧν τε γὰρ ἀκήκοας παρ' ἐμοῦ, μικρά τινα εἰσὶ σπέρματα ἰδεῶν, καὶ ἃ ἂν ἀκούσῃς ἔτι πολ-

λοστόν τι μέρος ἂν εἴη, ὧν ἐγὼ ἐμαυτῷ διὰ βίου συνείλεγμαι· περὶ δὲ τοῦ εὖ ποιεῖν αὖθις οὐδέπω οὐδὲ τὴν ἀρχὴν μεμελέτηκας, μήπω σοι συγχωρούσης τῆς ἡλικίας. Ταῦτ' οὖν, ὦ μειράκιον, νῦνγε καταμαθὼν, μετάμαθέ σου τὸν τύφον, καὶ τίμα μὲν, ὡς εἰκὸς, τοὺς περὶ πλείστου ποιουμένους σε ὠφελεῖν· ἀπόθου δὲ, ὅσα καὶ κῆρα μέλαιναν, τοὺς ἀνατροπέας καὶ λυμεῶνας· ὧν οἱ λόγοι κατὰ Δημόφιλον ἐοίκασι γραπτῇ πανοπλίᾳ, τέρψιν μὲν ἔχοντες, χρείαν δὲ οὐδεμίαν παρέχοντες.

« Ἄλλο δέ τοι ἐρέω· σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι.

Μάρκος Αὐρήλιος ὁ μέγιστος καὶ ἄριστος τῶν Ῥωμαίων βασιλεὺς καὶ φιλόσοφος, ὁ μόνος πάντων τῶν πρὸ αὐτοῦ καὶ τῶν ἔπειτα

« Ἀμφότερον βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητὴς

γεγονὼς, ἴσα καὶ θεοὺς τοὺς διδασκάλους ἐτίμα· ἀνδριάντας γὰρ αὐτοῖς καὶ εἰκόνας παρὰ τοῖς θεοῖς ἱδρυσάμενος, κοινῇ ἀμφοτέροις τὰς θυσίας ἐτέλει· ἴσως γὰρ παρ' ἀμφοτέρων οἰόμενος τὰς εὐεργεσίας λαβεῖν, παρὰ μὲν τῶν τὸ ζῆν καὶ τὰ πρὸς τὸ ζῆν, παρὰ δὲ τῶν τὸ εὖ ζῆν καὶ τὸ ὀρθῶς συλλογίζεσθαι, ἴσως ἠξίου καὶ τὸ εὔγνωμον αὐτοῖς ἐπιδεῖξαι· κἂν ἄλλως ἄτοπον δοκῇ τῇ ὑπερβολῇ τὸ τετολμημένον· τῶν δ' αὖ τεκόντων δῆλον, ὅτι δεύτερον ἐποιεῖτο λόγον· ἀπὸ γὰρ τύχης ἔφη καὶ ἐξ ἡδονῆς τὸ πλέον, ἢ ἐκ προαιρέσεως αὐτοὺς τυγχάνειν ἐκείνους τεκόντας. Τούτοις μὲν οὖν ὁ σοφὸς ἐκεῖνος διδάσκαλος ἐπειρᾶτο ἐκπνευματῶσαι, ὥσπερ ἀσκοῦ τὸ τοῦ μείρακος φύσημα· ᾧ λαοί τε ἐπιτραπήσεσθαι ἤμελλον, καὶ πολλὰ μελήσειν. Σὺ δέ μοι νῦν γενοῦ ἄλλος Μάρκος, τιμῶν, ὡς εἰκὸς, οὓς ἐπέστησας τοῖς σεαυτοῦ παισὶ διαμορ-

φῶσαι αὐτοῖς τὸ ἔτι δύσμορφον ἄγαλμα, τῇ τῶν λόγων σμίλῃ ἀποσμιλεύοντας αὐτοῦ τὰ τραχέα καὶ ἔκφυλα· οἶσθα γὰρ, ὡς ὕλην αὐτὸς ἐγέννησας ἀσχημάτιστον, πλαστουργοῦ δεομένην· τὸ δὲ γύναιον ἔα χαίρειν, οἷς χαίρειν πέφυκε· μήτηρ γὰρ δίκην πιθήκων τῷ τοῦ σώματος ἐναγάλλεται κάλει· τὸν δὲ πατέρα, εἴγε φερωνύμως βούλοιτο ταύτην φέρειν τὴν προσηγορίαν, ἀπὸ τῆς ψυχῆς τῶν παίδων δεῖ λαμβάνειν τὰς εὐφροσύνας. Ἔῤῥωσο.

## *Κύρῳ.* (180.)

Τέκνον Κῦρε, εἰδὼς, ἢ μᾶλλον παρ' ἡμῶν πολλάκις ἀκούσας, ὡς σπάνιον τελείαν φρόνησιν, τοῦτον δὴ τὸν τῶν ἀρετῶν λαμπτῆρα καὶ ὁδηγὸν, ἐν νέοις εὑρεῖν, φύλαξαι, ὅπως μὴ συνδιατρίβων συμφοιτηταῖς ἀκαθέκτοις καὶ διεφθορόσιν, ἀποίσῃ τὶ τῆς ἐνούσης αὐτοῖς μοχθηρίας· δεινὴ γὰρ ἡ νόσος καθάπερ καὶ τὰ θρέμματα πάθος ἐπιδημικὸν, ἀναπιμπλάναι πᾶν τὸ καθαρῶς προσιόν· εἰσί δ' ἐν ὑμῖν πολλοὶ, οἱ ὑπὸ τῶν ἰδίων παθῶν ἀγόμενοι καὶ φερόμενοι, συγκατασπᾶν καὶ τοὺς εὐηθεστέρους κατὰ τοῦ πρανοῦς πολὺ τὸ προσαγωγὸν παρεχόμενοι πρὸς ἀπάτην, ἐλευθερίαν, καὶ τοιαῦτα προϊσχόμενοι δελεάσματα· ὧν τὸ τέλος οὐκ ἴσασιν· οὐδ' ὅσα μὲν ἐκ τούτων ἐν τῷ βίῳ συνέβησαν τραγικώτατα· χρηστὸν δὲ μόλις ἂν ἴδοις πῃ ἐν γωνίᾳ, ὥσπερ δι' ὁμίχλης, καὶ τοῦτο σφόδρ' ἀμυδρόν· ὅθεν τὸ Εὐριπίδειον.

» Πολλαί γε πολλοῖς συμφοραὶ βροτῶν.  
» Μορφαὶ δὲ διαφέρουσιν· ἓν δ' ἂν εὐτυχὲς  
» Μόλις ποτ' ἐξεύροι τὶς ἀνθρώπων βίῳ.

Ἐλευθερία μὲν γὰρ ἱερὸν, καὶ δῶρον οὐρανόθεν καὶ τὸν ἀν-

θρώποις πρὸς εὐδαιμονίαν· δεῖ μέν τοίγε τοὺς δεχομένους, καρδίαν καθαρὰν κεκτημένους, παραφυλάττειν ἐκείνην ἐν αὐτῇ, ὡς ἐν ἀλαβάστρῳ· ἄλλως δὲ,

» Μῦρον δοχεῖον σαπρὸν οὐ πιστεύεται.

Πρὸς γὰρ τῷ ἀξυντελῆ γίγνεσθαι, καὶ πολλῶν κακῶν ὑπάρξει τοῖς οἰομένοις αὐτὴν ἔχειν, μὴ ἔχοντας· πολὺ γὰρ τὸ κατωφερὲς πρὸς κακοδαιμονίαν ἴσχει, ἐπειδὰν ἀπολύτως ἐμπέσῃ τισὶ, καὶ ἄνευ φρονήσεως, ὥσπερ εἴρηται. Καθαρτέον τοίνυν πρῶτον ἑαυτοὺς, καὶ ἁγνιστέον, ὡς ἐν τελετῇ, ἀπὸ τῶν παθῶν· εἶθ' οὕτως εἰσιτιτέον εἰς τὸν ναὸν τοῦ θεοῦ, τὰ ἐκείνης μυηθησομένους μυστήρια· ἐν οἷς μόνοις ἔξεστι τελείαν εὐδαιμονίαν ἀσκεῖν· φιλοσόφου γὰρ στάσις οἴκοθεν, φησὶν ὁ Ἐπίκτητος, ἐπ' ἀμφότερα, ἢ εὐδαιμονεῖν, ἢ τοὐναντίον κακοδαιμονεῖν. Ἔρρωσο.

## Τῷ αὐτῷ. (181.)

Ἀμφότερα μὲν καλὸν γράμματα μαθεῖν, καὶ μαθόντα νοῦν ἔχειν· εἰδὲ δυοῖν θάτερον, αἱρετώτερον πολλῷ ἂν εἴη τὸ δεύτερον· πολλοὶ γὰρ εὐφυΐαν παρὰ τῆς φύσεως εὐτυχήσαντες, καὶ ἐπ' ἀγαθῷ διὰ χρηστότητα τρόπων καὶ ἄνευ γραμμάτων ἐκείνῃ χρησάμενοι, αὐτοί τε ἰδίᾳ ἄριστα διεβίωσαν, καὶ τῷ κοινῷ πολλῶν ἀγαθῶν ἐγένοντο αἴτιοι· ἐφ' οἷς γε πολλοὶ εἰκόσι τε καὶ ἀνδριάσι, καὶ ἄλλαις τιμαῖς, ἃ τοῖς εὖ ποιοῦσίν ἐστιν ὀφειλόμενα, παρὰ τῶν ἐθνῶν ἐτιμήθησαν· τῶν δὲ σὺν οὐδενὶ νῷ μαθόντων σοφίσματα, οἱ μὲν αὐθέκαστοί τινες καὶ ἰδιόρρυθμοι δι' ἄγνοιαν πρὸς τὰ ἔξω γενόμενοι, οὐδὲν ἀπώναντο τούτων, ἰδιῶται διαβιώσαντες· οἱ δ' αὖ ἐπ' ἐκείνοις ἐπαρθέντες, ὡς πολλῷ τῶν πολλῶν διαφέροντες, καὶ παραβολώτερον ἐμπεσόντες τοῖς πράγμασιν, οὐχ ὅπως σφᾶς

αὐτοὺς ἔβλαψαν, ἀλλὰ καὶ τῶν ἄλλων πολλοὺς προσαπώλεσαν· οὐδεμία γὰρ ἀρετὴ ἄνευ φρονήσεώς ἐστιν αἱρετὴ, τῆς εὐθείας ἐκπίπτουσα. Τί δέ μοι βούλεται ταῦτα; οὐδέν σε χρὴ διδαχθῆναι, εἴγε μέμνησαι, ὧν σοι πρῴην ἐπέστειλα. Ἔῤῥωσο.

## *Μαργαρίτῃ.* (182.)

Ἄλλοτ' αὖθις ἄλλοι λόγοι, οἱ πλείους δὲ μοχθηροὶ, οἳ κἀμοῦ πως καθάπτονται, ὡς διδάξαντος, λέγονται περὶ σοῦ· καί μοι δοκεῖ, ὡς ἄλλος Ἀριστοτέλης, πεποιθὼς σεαυτῷ, ἀπολακτίσαι τὸν διδάσκαλον, ὥσπερ πῶλος, τοῦτο δὴ, ὅ ποτε Πλάτων ἐπ' ἐκεῖνον ἐτόξευσεν· ἐχρῆν δ' οὐχὶ, ἄωρον ἔτι ὄντα καὶ ἀκατάρτιστον πρὸς ὃ ἀποπειρᾷ πτερυγίζειν, πτερὸν στεγανὸν καὶ δραστήριον μήπω ἐκφύσαντα, καὶ ταῦτα πρὸς τὰ ὑψηλὰ καὶ μετέωρα, ὧν ἡ γνῶσις μόλις ἐν γήρᾳ πλήρης προσγίγνεται τοῖς ἀνθρώποις. Ἀπορεῖς γάρ, φασιν, ἢ μᾶλλον εἰπεῖν, ἀνδραγαθίζῃ ἐπὶ περιουσίᾳ σοφίας, διὰ τί ποτε, λέγων, ὁ θεὸς τὸν μέγαν τοῦτον δεδημιούργηκε κόσμον· διὰ σὲ τὸν ἀγνώμονα, ἵνα μὴ εἴπω ἀμαθῆ, καὶ σκαιὸν, καὶ εἴ τι τούτων χεῖρόν ἐστιν, οἷον ἐκφράσαι ἀξίως σύμπασαν ἅμα τοῦ λόγου τὴν ἀτοπίαν. Τέως δ' οὖν εἰ μὲν ᾔδειν ἐθελοκάκως ἐρεσχελοῦντά σε τὰ τοιαῦτα, σιγὴν ἂν ἦγον· λόγος γὰρ οὐκ ἂν ἰσχύσειε πρὸς τομῶντι τῷ πήματι· ἐπειδὴ δὲ οἴομαι, ὡς ἐξ ἀγνοίας, ἢ μᾶλλον εἰπεῖν, ἐξ ἀκαίρου φιλοτιμίας πρὸς τοὺς ἁπλοϊκώτερον ἔχοντας, ἄλλος Σαλμωνεὺς αὐτοχειροτόνητος καταστὰς, τοιαῦτα ἀποσφενδονᾷς πρὸς τὴν Πρόνοιαν, πειρατέον ἡμῖν εὑρεῖν τὸ πλανώμενον, καὶ ἐπ' ὤμων ἀραμένους, συναγαγεῖν τοῦτ' εἰς τὴν μάνδραν, εἴγε δυναίμεθα· ἔνθα τὰ ἀπὸ τοῦ λόγου, ὡς εἰκὸς τοῖς τραύμασιν αὐτοῦ ἐπιθήσομεν φάρμακα. Ἔσται δ' οὖν ὁ λόγος ἡμῖν νῦν οὐκ ἀπὸ τῶν ἔσω,

τῶν ἀδύτων καὶ μυστικῶν, ἐν οἷς πίστις μόνη παντὸς λόγου κρείττων· χαλεπὸν γὰρ ἴσως ἐντεῦθέν σε πεῖσαι· ἀλλ' ἐξ αὐτῆς τῆς φιλοσοφίας, ἐφ' ᾗ μάλιστα δοκεῖς γαυριᾷν· ὁμολογεῖς τοιγαροῦν (τί δ' οὐχὶ, φιλόσοφος ὤν;) ὅτι ἅπας ὁ διάκοσμος οὗτος ἐξ αἰτίων καὶ αἰτιατῶν ἐστιν ἀλληλένδετος· ἀλλ' εἰ τοιοῦτος, πῶς οὐ συνομολογεῖς, ὅτι καὶ ἕκαστον τῶν ἐν τούτῳ δι' ἄλλο τὶ ἐστὶ γεγονὸς, ἵν' ἔχῃς ἐντεῦθεν συνιδεῖν τὸ, δι' ὃ ἕκαστον παρήχθη ὑπὸ τοῦ σοφοῦ ἀρχιτέκτονος, ὅπερ δοκεῖς ἀγνοεῖν; οὐδὲν γὰρ αὐτὸ δι' ἑαυτὸ τυγχάνει γενόμενον· ἀλλ' ἓν ἕκαστον ἑτέρῳ τῳ, ὑπὸ τῆς προνοίας παραχθὲν, συντελεῖ πρὸς τὸ σώζεσθαι· αὐτίκα γὰρ ἐπὶ τοῦ ἡμετέρου πλανήτου ὁρῶμεν, τὰ μὲν, ἄψυχα ὅλως ὄντα καὶ ἀνοργάνιστα· τὰ δὲ, ὀργανικὰ, καὶ βαθμῷ ἐκείνων ἕξεως ὑπερέχοντα· τούτων δ' αὖ τὰ μὲν ἐστὶ φυτά· τὰ δὲ καὶ συναίσθησιν εἰληχότα, ζῶα καλεῖται· τούτων αὖ πάλιν τὰ μὲν ἐστὶν ἄλογα, τὰ δὲ καὶ λόγον κεκλήρωται. Τούτων οὖν ἕκαστα, ἵνα ἡ τῆς φύσεως αὕτη σειρὰ συναρμολογοῖτο εὐρύθμως, ἐν μὲν τοῖς, ἐπικοινωνοῦσιν ἀλλήλοις· ἐν δὲ τοῖς, διαφέρουσιν· οἷον, τὰ ἄψυχα ταὐτιζόμενα τοῖς φυτοῖς, ᾗ ὕλης μετέχουσι, διαφέρουσι τῷ τοῦτ' αὐτὸ ὕλη ὄντα μεμορφωμένη, ἐλλείπεσθαι ὀργανώσεως, ἐν ᾗ ἐκεῖνα τῇ τῶν ὑγρῶν κυκλοφορίᾳ γεννᾶται, τρέφεται, αὔξεται, θνήσκει· ἐξ ὧν αὐτοῖς προσγεγένηται τὸ ἔμψυχον εἶναι. Ταῦτα δ' αὖ τὰ φυτὰ τῷ μὲν διοργανισμῷ ταὐτὰ ἂν εἴη τοῖς κτήνεσι μάλιστα· πλὴν ὅτι ἐκεῖνα καὶ συναίσθησιν τυγχάνει πεπλουτηκότα παρὰ τῆς φύσεως, δι' ἣν τὸ ζῶα εἶναι κεκλήρωται· ὃ καὶ πρὸς τὸν ἄνθρωπον κοινὸν ἔσχεν· ἀλλ' οὗτος ὑπερέχει πάντων τῷ λογικῷ· εἴγε πάντα ταῦτα κεκτημένος ὁμοίως ἐκείνοις, πλεονάζει τῷ λόγῳ· ὃν ὑπεράνω πάντων ἐκεῖνον κεκλήρωται· Ὅρα τοίνυν τὸν τῆς φύσεως εἱρμὸν ἐν τούτοις, ὅπως

ἔχει, καὶ τὸ τέλος αὐτὸ, δι᾽ ὃ δεδημιούργηται ἕκαστον, ὃ προσποιεῖ ἀγνοεῖν, ἵνα τὶς τοῖς πολλοῖς δόξῃς εἶναι· τὰ μὲν γὰρ ἄψυχα συντελεῖ τοῖς ὀργανικοῖς πρὸς τὸ ζῆν· ἐκ γὰρ τοῦ ὕδατος καὶ τῆς γῆς αὐτοῖς ἐστιν ἡ γένεσις, ἡ τροφὴ, ἡ αὔξησις, ἡ καρποφορία, καὶ ὅλως τὸ σώζειν τὸ εἶδος· ταῦτα δ᾽ αὖ τὰ φυτὰ τὸν αὐτὸν τρόπον συμβάλλεται πρὸς τὸ ζῆν τοῖς κτήνεσι μάλιστα· τὰ δὲ αὖ, ὁμοίως τοῖς ἀνθρώποις ἐνδύεσθαι, τρέφεσθαι, καὶ ὑπηρετεῖσθαι. Ἔστιν ἄρ᾽ οὕτω πάντα καλῶς δεδημιουργημένα διὰ σὲ, ὅπερ ἔφθην εἰπὼν ἐν ἀρχῇ, τὸν ἀγνώμονα ἄνθρωπον. Ἀλλὰ ταῦτα μὲν, εἴποις ἂν μέχρι δεῦρο καλῶς παρὰ τοῦ δημιουργοῦ τῆς φύσεως τέτακται, ἄλλου ἄλλῳ ὑπερετοῦντος πρὸς συντήρησιν τοῦ παντός· τὸ δὲ τοῦ ἀνθρώπου τέλος, δι᾽ ὃ πέπλασται, τί ποτέ ἐστι, καὶ ποῖον; οὐδὲν οἷον καὶ τοῦτό σοι ἐξηγήσασθαι· ἐπειδὴ γὰρ οὗτος καὶ λόγῳ καθ᾽ ὑπεροχὴν τῶν ἄλλων τετίμηται, οὐκ εἰκῇ οὐδ᾽ ἄνευ λόγου, θεωρῶν τὰ ἐκ μυρίων οἵων καὶ ὅσων μεταβολῶν ἐν τῇ φύσει γιγνόμενα, περιπολεῖ ζητῶν τὴν πρώτην τούτων αἰτίαν, ἣν μὴ δυνάμενος εὑρεῖν ἐν τοῖς ὁρωμένοις, ἀνατρέχει εἰς τὰ νοητά· ὅπου καταδυόμενος, ζητεῖ τὸ ἀπόλυτον, τὸ ἰδανικὸν, τὴν μόνην τοῦ παντὸς ἀναγκαίαν αἰτίαν, ἐν ᾗ πέποιθεν ἑαυτῷ τὴν μακαριότητα εἶναι, τοῦτο δὴ τὸ τέλος, πρὸς ὃ ἕκαστος σπεύδει. Πρὸς τούτου τοίνυν τὴν ἀπόλαυσιν ὁ ἄνθρωπος ἀνύτων ὅλῳ θυμῷ, γλίχεται ἀναπαύσασθαι, πάσης ἀθυμίας κρείττων γενόμενος. Τοῦτ᾽ ἀλλ᾽ οὖν ἐν τῷ παρόντι βίῳ εὑρεῖν μὴ δυνάμενος, ἀναπτεροῦται ἐν τῷ μέλλοντι ταῖς ἐλπίσιν· οὐ γὰρ εἰκῇ τῇ τοῦ λόγου τετίμηται παρὰ τἄλλα ὑπεροχῇ. Ἔχεις τοίνυν τὸ τοῦ ἀνθρώπου τέλος, αὐτὴν τὴν ἀπόλαυσιν τοῦ ἄκρου ἀγαθοῦ, ὅ ἐστιν αὐτὸς ὁ θεός· ὃς ἵν᾽ εἰς τοῦτο ἀναλάβῃ τὸν ποτὲ πεπτωκότα, καὶ ἄνθρωπος γέγονε, καὶ σταυρικὸν ὑπὲρ αὐτοῦ

ὑπέμεινε θάνατον· Ταῦτα τοίνυν παραδεξάμενος, καὶ ὅρους ἐντιθέμενος, τῷ φιλοσοφεῖν, βάδιζε πρὸς τὰ κρείττω σὺν λόγῳ· δεῖ γὰρ, ἐν οἷς ὁ νοῦς ἀπonαρκεῖ πρὸς κατάληψιν, ἀνακωχεύειν μικρὸν ἐνταῦθα· καὶ εἰ μὲν ἡμῖν εὖ ὁ πλοῦς προχωροίη, ὥστε μὴ κινδυνεύειν, καλῶς· εἰδὲ μὴ, δεῖ πρύμναν κρούεσθαι, ἐπιλέγοντας τὸ, τὰ δ' ἐπέκεινα θῖνες ἄνυδροι, καὶ ἄϊδηλον πῦρ, Σκύλλαι τε καὶ Χαρίβδεις καὶ θῆρες ἄγριοι· οὕτω γὰρ καὶ θεολογοῖμεν ἂν εὐσεβέστερον, καὶ φιλοσοφοῖμεν ὀρθότερον· καὶ γὰρ καὶ αὐτὴ ἡ συνείδησις, μέχρις ἂν ὑγιαίνῃ, προσμαρτυρεῖ τὸ πιστευόμενον τοῖς προσέχουσιν· ἤδη γὰρ δοκῶ μοι ἀκούειν ὡς ἐκ τῶν ἀδύτων τοῦ λόγου, φωνῆς τινος δαιμονίου λεγούσης μοι, σπεῦδε πρὸς ὃ πέπλασαι τέλος. Οὐκοῦν δέχομαι τὴν φωνὴν, ὡς φωνὴν θεοῦ· σπεύδω πρὸς ἣν ἐπλάσθην μακαριότητα· ταὐτὰ δὲ βουλοίμην ἀκούειν καὶ οὓς πεφιληκὼς διετέλεσα, καὶ φιλήσω μέχρις ἂν ὁρῶ αὐτοὺς ἐκ θεοῦ ἀρχομένους ἐν πᾶσι, καὶ εἰς θεὸν αὖθις ἀναπαυομένους· εἰ δέ τις ἐθέλει κωφύειν πρὸς τὴν φωνὴν ἐκείνην μενέτω κάτω, εἰ βούλοιτο, τοῖς κτήνεσι παρασυμβαλλόμενος καὶ τοῖς χοίροις ἐξομοιούμενος. Ἔῤῥωσο.

## *Εὐφροσύνῳ.* (183.)

Πολλά σε φασὶ κατειπεῖν μου, ὅτι τὸ ἔθος ἀφεὶς, τὸ ὑπὲρ τὸ ἔθος, ὡς αὐτὸς τοῦτο φῂς, προειλόμην ποιεῖν· πάντων γὰρ τῶν παιδείας μετεχόντων τῇ συνήθει ἐν τῷ γράφειν χρωμένων φωνῇ, ἐμὲ μόνον ἐν τῇ ἀρχαίᾳ τοῦτο οἱονεὶ πρὸς τοὺς ἑταίρους ἀνδραγαθίζεσθαι, ὥσπερ τρύγην τινὰ στεμφύλων, φῂς, αὐτῶν καταχέοντα· ὡς μάτην ἄρ' ἐν ἐκείνοις μόνον ἐμὲ κατατριβεσθαι, τῶν ἄλλων ἁπάντων ἐν κοινοῖς καὶ τετριμμένοις φιλοσοφούντων ὀνόμασι· ταῦτ' οὖν ἀκούσας, ἐθαύμα-

σα· ὃ γάρ μου δοκεῖς κατειπεῖν, τοῦθ' ὑπὲρ ἐμοῦ, ὡς ἐγὼ κρίνω, μᾶλλον εἰπὼν εὑρίσκῃ· πρῶτον μὲν γὰρ τἀρχαῖα τιμᾶν, καὶ ὃ μόνον παρὰ τῶν προγόνων μεμένηκεν ἄξιον, τοῦθ', ὡς εἰκὸς, αὔξειν πειρᾶσθαι, οὐ κατάμεμψιν, ὡς ἂν ἔγωγε φαίην, ἔπαινον δ' ἔχειν μᾶλλον· ἔπειτα κἂν τῇ συνήθει φωνῇ πλείω αὐτὸς, οἶμαι, ἢ σύμπαντες οἱ ἄλλοι γεγράφασιν· εἰδὲ μόνος πρὸς μόνους τοὺς ἐμοῦ κατακούσαντας ἀμιγεῖ τῷ ἀρχαίῳ λόγῳ περὶ πλαίονος πεποίημαι χρῆσθαι, βουλόμενος κἀκείνους τῷ παραδείγματι πρὸς τὴν μίμησιν ὑφελκύσαι, τί τοῦτο κακὸν πεποιήκαμεν; μῶν νεωτερίζομέν τι πρὸς τὸ χεῖρον, ἐπὶ τἀρχαῖα τοὺς φιλοκάλους ἀναλαμβάνοντες; οὐ γὰρ ἂν βουλοίμην τελευταῖος τῶν καλῶν θαυμαστὴς αὐτὸς εἶναι· ἀλλ' ἀρχὴ τοῖς ἄλλοις τῆς περὶ ἐκεῖνα μᾶλλον σπουδῆς, καὶ μάλιστα νῦν τῶν πραγμάτων πρὸς τοῦτο συναιρομένων· διὸ αἰσχρόν σοι καὶ τρύγῃ στεμφύλων (τοῦτο γάρ φασι) τὰ ἐμὰ παιδικὰ προσεικάζειν· οὐκέτι γὰρ γιγάρτοις, ὡς ὄνους, τοὺς Ἕλληνας σιτίζεσθαι ἀξιοῦντες, οὕτω προειλόμεθα γράφειν· ἀλλ' ἀπὸ τῆς μοχθηρᾶς καὶ βαρβάρου τῶν τοιούτων διαίτης ἀπαλλάξαι βουλόμενοι, ἐπὶ τὴν ἀρχαίαν ἀμβροσίαν, δὸς εἰπεῖν οὕτως, ἠρέμ' ἐπανελθεῖν προσεθίζομεν· Ἀλλ' οὐκ ἂν εἴη, φὴς, τοῦτο κατορθωθῆναι, μόνου σοῦ ταῦτα φρονοῦντος· οἶδα κἀγώ· ἀλλ' οὐκ ἂν δυναίμην οὔτε τὸ πρᾶγμα ὅλως ἀπογινώσκειν, οὔθ' ὃ γινώσκω τῷ κοινῷ προσοφείλων, καταπροδοῦναι· εἰ δέγε δέκ' ἔτεσι νεώτερος ἐγενόμην, εἶδες ἂν πάντας τοὺς ἐμοὺς ὁμιλιτὰς, οἶμαι, ἀμίκτως Ἑλληνιστὶ καὶ λαλοῦντας καὶ γράφοντας· νῦν δὲ, »Σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.» Ἔρρωσο, μιμούμενος μᾶλλον, ἢ μεμφόμενος τοὺς τὰ καλὰ τιμῶντας, καὶ μάλιστα τοὺς τοῖς αὐτοῖς λόγοις σέ τε καὶ τοὺς ἄλλους παιδεύσαντας.

*Ἰωάννῃ.* (184.)

Οὐδὲν θαυμαστὸν τοὺς πολλὰ γεγραφότας, ἐν ἐνίοις καὶ πεπλανῆσθαι· ὁρῶμεν γὰρ οὐδ᾽ αὐτῶν τῶν ἀρχαίων τοὺς σοφωτάτους ἀφ᾽ Ὁμήρου μέχρι τῶν ἐσχάτων, οἵτινες εἴησαν οὗτοι, τὸν μῶμον ἀποφυγόντας· ἀλλ᾽ οὐ χρὴ κατὰ Ζωΐλον τοῖς ἐκείνων ἐμβαίνειν πονήμασι· σὺ δὲ, τέκνον, εἰδὼς ὅ,τι καὶ ὑπὸ συγχρόνων, οἷς φύσει ὁ φθόνος ἀεί ἐστι πάρεδρος, πολεμούμεθα, εἰ ἐθέλεις εὐγνώμων μάλιστα εἶναι, μὴ τοῖς ἀτυχήμασι μᾶλλον κατὰ μυῖαν τὴν φιλοβόρβορον, ἢ ἐν οἷςποτε ηὐτυχήσαμεν, κατὰ μέλισσαν τὴν ἀνθολόγον καὶ φίλεργον τοῖς ἐμοῖς καθίζανε πόνοις, εἴτι ἐκεῖθεν ὄφελος, χαίρειν ἐῶν ἐκείνους· οὐ γὰρ κηφῆσι χαριζόμενοι, ὑπέστημεν ἀγῶνας τοσούτους, ὥστ᾽ οὐκ ἄντις αὐτῶν τῶν τἀμὰ μεμφομένων, οὐδ᾽ ἁπλῆν ἀντιγραφὴν, ὧν πεπονήκαμεν, ἱκανὸς ἂν εἴη ποιήσασθαι· καί τοι καὶ τοῦτ᾽ αὐτὸ τὸ λογίους ἐκείνους εἶναι καὶ λέγεσθαι οὐκ οἶδ᾽, εἰ οὐκ ἐκ τῶν ἐμῶν βιβλίων οἵγε πλείους τὸ πλεῖον τυγχάνουσιν ἐσχηκότες.

*Γεωργίῳ Γαζῇ* (185.)

Ἀληθῆ μὲν φὴς ταῦτα, ὡς νεωτερίζοντες οἱ ἄνθρωποι ἐν οἷς ἐργάζονται, εἰς τὴν ἐνεστῶσαν τῶν πραγμάτων ἀφίκοντο ἐντελέχειαν· ὁ γὰρ ταῦτα ἀεὶ καὶ φρονῶν καὶ ποιῶν, οἷς ἂν γένοιτ᾽ ἐπίδοσις, πῶς ἂν μὴ κινούμενός τι περαιτέρω, ἐπὶ τὸ κρεῖττον προβαίη; δεῖ μέντοιγε πρὸς ταῦτα νοὸς, ἵνα μὴ ἀντὶ προβάσεως ἀπόβασις γένηται· δεῖ πείρας, κἀπὶ τῆς πείρας ἐπιμονῆς σὺν κρίσει πολλῆς· ὥστε πολλοὺς λόγους σὺν λόγῳ τοῦ, περὶ οὗ ὁ λόγος, συναγαγόντας πρότερον, οὕτω τὴν ἐκείνου ἀπταίστως ποιήσασθαι ἐκδοχήν·

ἄλλως γὰρ οἱ ἐπιπολαίως θεωροῦντες τὰ πράγματα, ὡς αταλαιπώρως ἐθέλοντες μεταλλᾷν τὰ ἐν τῷ μυχαιτάτῳ συγκεχωσμένα, ἅτε μὴ δυνάμενοι μὲν ἐμβατεῦσαι εἰς τὰ τῶν πραγμάτων ἐνδότερα, φιλόκαινοι δ' ἄλλως ὄντες καὶ εὐπερίστατοι, εὐθὺς ἐξοκέλλουσιν εἰς ἀπάτην, ὡς ὑπὸ ῥινὸς τὸ δὴ λεγόμενον, ὑπ' ἄλλων ὁμοίων ἑλκόμενοι· ὧν εἷς καὶ αὐτὸς ἔοικας εἶναι· συγκατατίθεσθαι γὰρ δοκεῖς αὐτοῖς, ἐν οἷς πολλὰ τῶν τοῦ λόγου μερῶν ἀντικατέστησαν, τὰ μὲν ἐς τὰς Ἀντωνυμίας μεταθέντες, τὰ δὲ συγκατατάξαντες ταῖς Προθέσεσιν· ἐκεῖ μὲν τὰ Πευστικὰ, καὶ Ἀναφορικοανταποδοτικά· οἷον, Τοιοῦτος οἷος, Τοσοῦτος ὅσος, καὶ τὰ τοιαῦτα· ἐνταῦθα δὲ τὸ Χωρὶς, τὸ Δίχα, τὸ Ἄνευ· διὰ τί οὕτως ἑκάτερα; καὶ τίν' ἐπιφέροντες λόγον; ἢ ὅτι ἐκεῖ μὲν, ἐπειδὴ, φασὶ, τό, τ' Ἀναφορικὸν καὶ Ἐπίθετον πρόσεστι καί τισι τῶν Ἀντωνυμιῶν, ὡς Αὐτὸς, αὐτὴ, αὐτὸ, καὶ μάλισθ', ὅτι ἀνάρθρως πολλάκις τὰ τοιαῦτα προφέρεται, τί μὴ ὅτι συγκατατακτέα καὶ ταῦτα ταῖς Ἀντωνυμίαις; Ταῦτα μὲν ἐκεῖνοι· ἀλλ' ἆρ' ἴσασιν, ὅ φασιν; ἆρ' ἐβασάνισάν ποτε τὴν κρίσιν αὐτὴν σὺν λόγῳ; ἢ οὕτως ἁπλῶς παρ' ἄλλων ἀκούσαντες, ἐπιδεικτιῶσι πρὸς ἡμᾶς τοὺς σχολαστικοὺς, ὡς ἂν εἴποιεν αὐτοὶ, τὸ πρὸς ἡμᾶς ἑαυτῶν θεραπεύοντες πάθος; Ἐπειδὴ τοίνυν αὐτὸς μέχρι δεῦρο, ἐπιμένων τοῖς ἐμοῖς, κατατείνεις τοῦ πρόσω ἄπταιστον ἐπιεικῶς, καὶ ἀπαρέγκλιτον σύστημα ἰδεῶν γλιχόμενος σεαυτῷ συναθροῖσαι, ἴθι σύντεινόν μοι τὸ οὖς πρὸς ὀλίγον καθαρὸν καὶ ἀπρόληπτον, ὅσον οἷόν τε· μᾶλλον δὲ, δεῦρο συμφιλοσοφήσωμεν περὶ τούτων, λαμπτῆρι φαεινῷ τῷ ὀρθῷ λόγῳ πανταχοῦ χρώμενοι πρὸς τὴν θήραν. Τὰ Ἀναφορικὰ, φῂς, τῶν ὀνομάτων καὶ Ἀνταποδοτικὰ, ὥσπερ αὖ καὶ τὰ Πευστικὰ, ὡς ἀναφοράν τινα ποιοῦμενα πρὸς τὰ Οὐσιαστικὰ, πρὸς ἃ καὶ τῶν Ἀντωνυμιῶν αἵ γ' Ἀναφορικαὶ ἀναφέρονται,

τί οὐχὶ συγκατατακτέα ἐκείναις ἔσται; Ταῦτα μὲν αὐτὸς φής· νῦν δ' ἐξεταστέον, τίς καὶ ποία ἡ ἀναφορά ἐστιν ἑκατέρων, πότερον τῆς ποιότητος καὶ ποσότητος, ἢ τῆς οὐσίας αὐτῆς; ἴσμεν γὰρ, ὅτι τὰ ἐπίθετα ταῦτα, τὰ περὶ τὴν οὐσίαν δηλοῦντα, αὐτῆς τῆς οὐσίας οὐδέποτε ἅπτονται· καί μοι πρόσχες τὸν νοῦν περαιτέρω· φαμὲν γὰρ τοιοῦτος Ἀχιλλεὺς, οἷος Αἴας· πότερον οὖν, τὴν οὐσίαν τῶν Ἡρώων τούτων ἐνταῦθα δηλοῦσι τὰ Ἐπίθετα ταῦτα, ἢ τὴν ἐν μάχαις ἀρετὴν καὶ δεξιότητα ἀμφοτέρων; τὸ δεύτερον πάντως ἐρεῖς· νῦν δ' ἐξετάσωμεν κἀπὶ τῶν Ἀντωνυμιῶν τὸ αὐτό· οἷον, ὁ ἐξ οὐρανοῦ κατελθὼν, αὐτὸς πάλιν ἐλεύσεται. Καὶ οὗτος ὁ ἄνθρωπος οὐ παύεται ῥήματα βλάσφημα λέγων. Ταῦτα οὖν τὸ, Αὐτὸς καὶ Οὗτος ἐνταῦθα, πότερον τὴν οὐσίαν ἀμέσως σημαίνουσιν αὐτὴν, ἢ τὰ περὶ τὴν οὐσίαν; δῆλον, ὅτι τὸ πρῶτον. Οὐκοῦν παραλελόγισαί σοι ἀνωτέρω, ἵνα μὴ εἴπω καὶ χεῖρον, σεσόφισαι, τεσσάρων ὅρων ἐν τῷ Συλλογισμῷ εἰσαχθέντων, μὴ δέον, ὅτι τὰ Ἀναφορικοανταποδοτικὰ ταῦτα ταῖς Ἀντωνυμίαις, τοῦ Μέσου ὅρου διαφόρως ἐν ἑκατέραις ταῖς προτάσεσιν ἐκληφθέντος· τοσοῦτον γὰρ ταῦτ' ἀλλήλων διενηνόχασιν, ὅσον οὐσία γε καὶ ποιότης ἀλλήλων τυγχάνει διεστηκότα· διὸ καὶ τακτέα αὖθις ἐν τοῖς Ἐπιθέτοις τοῖς τὰ περὶ τὴν οὐσίαν δηλοῦσιν, ἔνθα αἰῶνες ὅλοι ἐκ πολλῆς ἐμπειρίας κατέταξαν φθάσαντες· ἡ δὲ Ἀντωνυμία ὡς αὐτὴν τὴν τοῦ πράγματος παριστῶσα ὑπόστασιν, ἐστὶ τοῦτ' αὐτὸ μέρος λόγου ἐν τῷ λόγῳ ἀντὶ Οὐσιαστικοῦ παραλαμβανομένη. Κακῶς ἄρα συγχέουσι ταῦθ' οἱ νεώτεροι καινοτόμοι, ἀπὸ τῶν περὶ τὸ πρᾶγμα αὐτὸ συνάγοντες· κἀκ τῶν ἐπουσιωδῶν ὁρμώμενοι, τὰ οὐσιώδη πειρώμενοι ἀποδεῖξαι· οὕτω γὰρ εἴποιεν ἂν οἱ αὐτοὶ πρὸς ἡμᾶς, ὅτι καὶ τὸ μῆλον ῥόδον ἐστὶ, καὶ τὸ ῥόδον αὖ μῆλον, ὅτι καὶ ἐρυθρὰ καὶ εὐώδη ἀμφότερα. Χωρὶς δὲ τούτων

οὐδὲ τἄρθρα αὐτὰ (προσίσανται τῷ λόγῳ γὰρ κἀν τούτοις) ὁμοίως, εἴποτ᾽ ἄρα, πρὸς τὰ Ἐπίθετα ἐπιδέχονται αἱ Ἀντωνυμίαι· φαμὲν γὰρ ἐν μὲν τοῖς Ἐπιθέτοις, ὡδὶ, ὁ ἀγαθὸς ἄνθρωπος ἦλθεν· ἐν δὲ Ἀντωνυμίαις τἀνάπαλιν, Οὗτος ὁ ἄνθρωπος ἦλθεν, ἀντικαθεσταμένου ἐν ἑκατέροις τοῦ ἄρθρου· τῷ μὲν, πρὸς τῷ Ἐπιθέτῳ τῷ Ἀγαθὸς, ὡς σημαίνοντι τὴν ποιότητα· τῷ δὲ, πρὸς τῷ οὐσιαστικῷ Ἄνθρωπος, τῷ τὴν οὐσίαν δηλοῦντι· διὸ αἱ τοιαῦται τῶν Ἀντωνυμιῶν εἰς Συγκριτικὰ καὶ Ὑπερθετικὰ λόγῳ τῶν Ἐπιθέτων οὐκ ἂν προσχηματισθεῖεν εἰμή τι κωμικώτερον παραβιαζόμεναι, ὡς τῆς οὐσίας αὐτῆς τὸ μᾶλλον καὶ ἧττον μὴ ἐπιδεχομένης παντάπασιν. Καλῶς ἄρα παρὰ τοῖς ἀρχαίοις, καὶ λίαν φυσικῶς ἐκεῖνα μὲν Ἀντωνυμίαι, ταῦτα δὲ Πευστικὰ καὶ Ἀναφορικὰ προσηγόρευται· καὶ ταῦτα μὲν περὶ τούτων. Νῦν δὲ κατάγει ἡμᾶς ὁ λόγος εἰς τὰς Προθέσεις· ἔνθ᾽ ὁμοίως αὖθις ἀμφοτέραις ταῖς ἰγνύαις κατὰ τὸν Προφήτην χωλαίνουσιν, ὡς ἀσυλλογίστως οὐχ ἧττον κἀντεῦθεν συλλογιζόμενοι· πλείους γὰρ τῶν ὀκτωκαίδεκα οὐκ ἔξεστι παραδέξασθαι, εἴγε παρὰ ταύτας οὔθ᾽ ἡ φύσις ἡμῖν ἐξ ἀρχῆς πεπλαστούργηκεν, οὔθ᾽ ὁ χρόνος ὕστερον ἐξευρὼν, ἐγκατέλιπε, κἂν διαῤῥαγῶσιν οἱ ταῦτ᾽ ἀπειροκάλως ἐξαπατῶντες, καὶ ἐξαπατώμενοι· φύσις γὰρ ταῖς Προθέσεσι πρώτως μὲν καὶ μάλιστα τὸ μηδὲν σημαίνειν καθ᾽ ἑαυτάς· οἷον, Ἐν, Εἰς, Μετὰ, Παρά· ταῦτα γὰρ ἐκφωνῶν, ἀσημάντους φωνὰς δοκῶ ἐκφωνεῖν, ὡς μηδεμίαν ἐκ τούτων συνάγων διάνοιαν· συνταχθεῖσαι ἀλλ᾽ οὖν, μεθ᾽ ὧν πεφύκασι συντάττεσθαι πτωτικῶν, ὡς τὸ, μετὰ σοῦ, μετὰ σὲ, τότε δὴ ἀπὸ τῶν πτώσεων αὐτῶν προσκτώμεναι τὸ σημαίνειν, διδόασί μοι ὅ,τι ποτὲ δηλοῦσι· τὸ δὲ Χωρὶς, καὶ Δίχα, καὶ Ἄνευ, καὶ εἴτε ἕτερον οἱ ἑτερόφρονες οὗτοί γε προθετίζουσι, καὶ πρὶν συναφθῆναι τοῖς, μεθ᾽ ὧν φέρονται, πτωτικοῖς,

ὑποδηλοῦσιν ἱκανῶς τὴν τῶν πραγμάτων διαίρεσιν· διὸ καὶ ἄνευ πτωτικῶν ἡ χρῆσις αὐτῶν πολλὴ ἐν τῷ λόγῳ· φαμὲν γὰρ Δίχα δικάζειν δεῖ, καὶ Δίχα τοῖς παισὶν ὁ πατὴρ διεῖλε τὸν βίον· καὶ τὸ, Χωρὶς τοῦτ' ἔστι, πολὺ ἐν τῷ λόγῳ· ὡς καὶ τὸ τοῦ Εὐαγγελιστοῦ, τὸ δὲ σουδάριον ἦν Χωρὶς ἐντετειλιγμένον εἰς ἕνα τόπον. Δεύτερον δὲ, αἱ μὲν Προθέσεις τῷ ἀσημάντους εἶναι καθ' ἑαυτὰς, πᾶσι τοῖς τοῦ λόγου συντάσσεται μέρεσιν ἔν τε συνθέσει καὶ ἐν παραθέσει κατὰ τὸ δέον· καὶ τὸ κράτιστον, αὐτὰς ἑαυταῖς, ἄλλοτ' ἄλλως ἀλληλοχούμεναι, τὸ ἑαυτῆς ἑκάστη εἰς τὴν τοῦ λόγου ἀπάρτυσιν συνεισφέρουσιν· ἐξ οὗ καὶ ἐς τοσοῦτον ὄγκον τὸ ἡμέτερον Λεξικὸν ἐξηρμένον τυγχάνει· τὸ δὲ Δίχα τὸ σὸν καὶ Χωρὶς, καὶ Ἄνευ, οὐδ' ὅπῃ ἰδιωτεύουσιν ἐκεῖ πῃ ἔξεστι ῥαδίως εὑρεῖν. Ἀλλ' ἐρεῖς ἴσως ἔτι, τοὺς ἐκείνων αὖθις συνείρων λόγους, ὡς τὸ Ἐπίῤῥημα, ἢ τοιοῦτον, διατίθησι τὸ πρὸς ὃ ἀποδίδοται ῥῆμα, καθάπερ καὶ τὸ Ἐπίθετον τὰ οὐσιαστικὰ τῶν ὀνομάτων· πρὸς δὲ τοὔνομα σχέσιν οὐκ ἔχει οὐδ' ἡντιναοῦν· τὸ ἄρα Χωρὶς τούτων, καὶ τὰ τοιαῦτα Προθετικὰ, ἀλλ' οὐκ Ἐπιῤῥηματικὰ τυγχάνει γε ὄντα· ὢ ποῖόν σε ἔπος αὖθις φύγεν ἕρκος ὀδόντων! ὅτι πρὸς τοὔνομα ἄσχετόν εἶναι φὴς τὸ Χωρὶς, καίπερ διπλῆν τὴν δύναμιν ἔχον, τὴν μὲν διαθετικὴν πρὸς τὸ ῥῆμα, τὴν δὲ συντακτικὴν πρὸς τὸ ὄνομα· ἀποδῶμεν οὖν τὰ τοῦ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ, ἑκατέρῳ τὸ προσανῆκον· οἷον, Κατῆλθεν ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ οὐρανόθεν ἀνεκφητήτως τῶν ἐκεῖ, καὶ ἀχωρίστως τοῦ πατρός· ἐνταῦθα γὰρ τὰ Ἐπιῤῥήματα ταῦτα, ᾗ μὲν τοιαῦτα σημαντικὰ καὶ διαθετικὰ, προσδιορίζουσι τὸ ῥῆμα Κατῆλθεν, ὅ ἐστι, τὸν τρόπον τῆς καθόδου τοῦ Ἰησοῦ· ᾗ δὲ διαιρετικὰ, καὶ συνεπινεύοντα πρός τι, προσαπαιτεῖ τοῦτο κατὰ πτῶσιν γενικὴν, ὡς διαιρετικὰ, κατὰ τὸ Χωρὶς,

καὶ Δίχα, καὶ Ἄνευ· εἰ δὲ μὴ ἐθέλοιεν οἱ τούτων τὴν γνῶσιν ἀφῃρημένοι, ἔστωσαν κατ' αὐτοὺς, ὡς μὴ ἀντιφάσκοιεν, καὶ πάντα τὰ τοιαῦτα Προθέσεις· οἷον τὰ, Δυσαπαλλάκτως τῆς χώρας ἔχω, Ἀμελῶς τῶν οἰκείων πραγμάτων διάκειμαι, Ὀλιγώρως τῶν ὑποδεεστέρων ὁ ὑπερήφανος ἀναστρέφεται ἐν τοῖς ἄλλοις, Ὁμοίως, ἢ ἴσως τοῖς φιλαργύροις, Ἀφροντίστως τῶν φίλων τὸν βίον πορεύῃ· ἐσθίεις καὶ πίνεις Ἀμεταδότως ὁτουοῦν τοῖς αἰτοῦσί τι παρὰ σοῦ· οἱ Λακεδαιμόνιοι ἐπολέμουν Ἀξίως λόγου· καὶ τὰ τοιαῦτα, οἷον Ποτὲ τοῦ χρόνου· Πόῤῥω τῆς χώρας· Μᾶλλον καὶ μάλιστα πάντων· Λάθρα τῶν ἄλλων· Δὶς τῆς ἡμέρας· Ἅμα καὶ ὁμοῦ τοῖς ἄλλοις· ἐσμὸν ὅλον Προθέσεων ἀφθονώτερον τῆς ἐν τῇ Κωμῳδίᾳ φακῆς τοῦ Καρίωνος· ὥστε ὡς ἐν γενικῷ κανόνι, πᾶν ὅ,τι καὶ πρὸς ὄνομα ἀπόνευσιν ἔχον, προσαπαιτεῖ ἐκεῖθεν τὴν τοῦ λόγου συμπλήρωσιν, τοῦτο τακτέον ἐν τῷ χορῷ τῶν Προθέσεων· ὡς θαυμασὴ ἡ σὴ φιλοσοφία! Τέως δ' οὖν ταῦτ' εἰ καί τινες ἀβασανίστως ἀντικατέστησαν, οἱ καὶ ἕτερ' ἔτι ἄλλος παρ' ἄλλου ἀλογιστότερον παρεδέξαντο, ἀλλὰ σύ γε, ἐπιμένων τῷ δόγματι, ἔν τε τούτοις, καὶ εἴτι ἕτερον ἔτι νενεωτέρισται, μηδενὶ συγκατατίθου ἁπλῶς ἐκ προλήψεως, πρὶν ἂν καὶ λόγον ἀποχρῶντα ἑκάστῳ εὕρῃς· δεῖ γὰρ γράμματα μαθεῖν, καὶ μαθόντα νοῦν ἔχειν. Ἔῤῥωσο.

## *Τῷ αὐτῷ* (186.)

Πλάσας τὸν ἄνθρωπον ὁ Θεὸς, ἐγέθηκεν αὐτῷ καὶ ψυχὴν λογικὴν, ἐφ' ᾧ συλλογιζόμενος, ἀπταίστως φιλοσοφοίη, τοῦτο δὲ ἔστιν ἀληθῆ ἐξ ἀληθῶν οἷός τε εἴη συνάγειν καὶ μὴ παρακρούεσθαι· ἀλλ' ἐπειδὴ ἔνθεν μὲν ἡ φαντασία, ψευδῆ ἀεὶ δημιουργοῦσά τινα, καὶ τὰ δοκοῦντα πολλάκις παριτῶσα ὡς ὄντα· ἔνθα δ' αὖ ἡ πρόληψις καὶ αὐτὴ ὁμοίως τοῦ ὄντος

ἀπάγουσα, ἄμφω ἐξαπατῶσα τοὺς μὴ κατ' ἐπιστασίαν καὶ ἀξίως προσέχοντας τοῖς πράγμασιν, ὅσον δεῖ, τὶ παράδοξον, εἰ καὶ οἱ Κοραϊσταὶ τῇ τοῦ ἀρχηγοῦ ὑπολήψει προκατασχεθέντες, ἄλλοις τε πολλοῖς, καὶ δὴ κἀν τοῖς Θετικοῖς καλουμένοις τῶν Ἐπιῤῥημάτων τὰ ἄπτωτα πτωτικὰ ὀνομάζοντες, εἰς παραλογισμοὺς ἐξετράπησαν; κοῦφον γὰρ τὸ ἀνθρώπινον πρὸς καινοτομίαν, κἀντεῦθεν ἐπιῤῥεπέστερον εἰς τὸ ἐξαπατᾶσθαι· Ἡ δ' ἀπάτη αὐτοῖς ἐν τοῖσδε εἴη ἂν μάλιστ' ἐκεῖθεν· ἐπειδὴ γὰρ εὕρηνται ταῦτα καὶ Ἐπιθετικῶς πολλαχῆ ἐν παθητικῇ σημασίᾳ· οἷον, τιμητέος, τιμητέα, τιμητέον, ἅπερ καὶ ὀρθῶς τετάχαται ἐν τοῖς ἐπιθέτοις, ἐντεῦθεν τοιαῦτ' ᾠήθησαν εἶναι καὶ τὰ Θετικὰ τῶν Ἐπιῤῥημάτων, οἷον τὸ Ἀναγνωστέον, Πλευστέον, Γραπτέον, καὶ τὰ ὅμοια τούτοις, μὴ δυνάμενοι διϊδεῖν, ἣν ταῦτ' ἔχει διαφορὰν πρὸς ἐκεῖνα ἐκ τῶν παρεπομένων· ἐξ ὧν καὶ ὁ τόπος ἑκατέροις αὐτοῖς ἂν εἴη προσδιοριστέος· ἐκεῖνα μὲν γὰρ εἰσὶν ἀναμφηρίστως παθητικά· οἷον, Ἀναγνωστέος μοι (ὑπ' ἐμοῦ) ὁ λόγος· ταῦτα δὲ ἐνεργητικά· οἷον, Ἀναγνωστέον τὸν λόγον, δηλονότι μεταβατικῶς· Δεύτερον δὲ, ἐκεῖνα μὲν κατὰ πάσας τὰς πτώσεις καὶ ἀριθμοὺς σχηματιζόμενα, ταῦτα δὲ ἄπτωθ' ὅλως καὶ ἄχρονα τυγχάνει γε ὄντα· Τρίτον, ἐκεῖνα μὲν ὡς Ἐπίθετα οὐκ ἂν σταίη ἄνευ τῶν ὧν κατηγοροῦνται Οὐσιαστικῶν· οἷον, ἀναγνωστέος ὁ λόγος, ἀναγνωστέα ἡ βίβλος· ταῦτα δὲ παρὰ τὴν μετάβασιν οὐδὲν τοιοῦτον ἐθέλει· οἷον Ἀναγνωστέον τὴν βίβλον· τὸ δὲ συμφερόμενον πολλάκις Ἔστιν οὐδὲν ἂν εἴη, ἢ Ἀττικὴ περιττότης. Ἔπειτα εἰ ὑποθοῖμεν καὶ τοῦτ' Ἐπίθετον εἶναι, ποῦ ἂν εἴη ἐπιθετέον; ἴσμεν γὰρ μηδεμίαν ποιότητα, μήτε κατὰ ψιλὴν γοῦν ἐπίνοιαν καθ' ἑαυτὴν δυναμένην ὑπάρξαι, εἰ μὴ ἐπί τινος ἐπιτεθείη οὐσίας. Ἔπειτα τίποτε, εἴπερ ἦν Ἐπίθετον, πτώσεων καὶ χρόνων καὶ ἀριθμῶν ἐςὶν ἀνεπίδεκτον; Τοιούτοις οὖν λόγοις καθαιρετέοι ἂν εἶεν καὶ ἐν οἷς ἄλλοι ἄλλως ἐνεωτέρισαν, καὶ δὴ κἂν

ταῖς Ἀπολύτοις Γενικαῖς, καὶ ἐν ταῖς Προθέσεσι, περὶ ὧν πρός σε πρώην μοι γέγραπται· ἐπειδὴ γὰρ ἅπαξ τοῦ ὀρθῶς λογίζεσθαι ἐξετράπησαν ἐκ προλήψεως, οὐκέτ' ἐπεστράφησαν σὺν λόγῳ φιλοσοφῆσαι· καὶ τὸ χείριστον, ὅτι ἔτι καὶ νῦν οὐ παύονται ἀφιλοσόφως φιλοσοφοῦντες, καὶ ὡς τυφλοὶ ὁδηγοῦντες καὶ ἐξαπατῶντες ἑτέρους ὁμοίους· ἐπιῤῥεπὴς γὰρ ἡ νεότης πρὸς καινοτομίαν, ὥςε ῥαδίως ἀφ' ἑτέρων ἐφ' ἕτερα μεταβαίνειν, οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε· σὺ δ' ἔῤῥωσο κατά τε λόγον φιλοσοφῶν, καὶ μετὰ λόγου πράττων.

## Τῷ αὐτῷ. (187.)

Γεγραφά σοι πρώην, ὅπως τὸ προληπτικὸν ἐπιπροσθοῦν τῷ τῆς ψυχῆς κριτικῷ, οὐκ ἐᾷ διορᾷν, ὅπως ἔχει ταῖς ἀληθείαις τὰ πράγματα· ἀλλ' ἄλλοτ' ἄλλως παράγον ἀπὸ τῆς εὐθείας, καὶ εἰς πολλὰς ἀνοδίας ὑποσκελίζον, ποιεῖ τὸν ἀκατάρτυστον νοῦν ἐξοκέλλειν, καὶ ταῦτα τῶν μὴ βουλομένων εἴτ' ἐξ ἀμαθείας, εἴτ' ἐξ ἀμελείας ἐξετάζειν μετ' ἐπιστασίας τὰ πράγματα· ἀταλαίπωρος γὰρ τοῖς πλείστοις τῆς ἀληθείας ἡ εὕρεσις, ἥ φησιν ὁ τῆς Ἀττικῆς Μούσης πιστὸς θεράπων· αὐτίκα γὰρ ἐξ οὗ, παραφθαρείσης τῆς γλώσσης, παρεσχημάτιςαι καὶ ὁ πολλαχῶς σπαραττώμενος Μέλλων ἐν τοῖς νεωτέροις, οἷον τὸ Γράψω εἰς τὸ θέλω γράψῃ, ᾧ καὶ λέγοντες καὶ γράφοντες ἤδη χρώμεθα, οὐδέπω οἱ Ἕλληνες μέχρι δεῦρο συνῳδὰ τούτῳ χρῶνται, ἄλλοι ἄλλως ἐξ ἄλλων ἀρχῶν ἀρχόμενοι ἕκαστος, τῷ προληπτικῷ ὁμοίως κἀνταῦθα οἱ πλείους ἑπόμενοι, μηδένα λόγον τοῦ τί ποθ' οὕτως ἕκαστος διαφόρως χρῆται τούτῳ, ἔχοντες εἰπεῖν ἕτερον, ἢ ὅτι οὕτως ἐδημιούργησεν αὐτὸν ὁ σοφὸς Κοραῆς· καί τοι ὁ σοφὸς οὗτος τούτου τε καὶ ἑτέρων ἔτι μηχανουργὸς, ἐπαγγελλόμενος τῷ τῆς φιλοσοφίας βαδίζειν φωτὶ πρὸς ἕκαστον τῶν ἐκ φι-

λολογίας αὐτοῦ θεωρημάτων, ἐν τούτῳ μάλιστα πάντων ἔλαθεν ἀποπλανηθεὶς πρὸς τὸ σκότος, θέλω γράψειν, εἰπὼν, καὶ θέλω μάθειν, καὶ ἔλθειν, καὶ φάγειν, καὶ τοιαῦτα ἄτοπα καὶ ἀξύμφυλα· ὅσα γε ὁ μὲν νεωτερισμὸς εἰσήγαγε πρότερον, νῦν δ' ὁ λόγος ἀποναυτιάσας, πειρᾶται κατὰ μικρὸν ἀποσκορακίσαι. Ταῦτ' ἄρα ἵν' ἔχῃς καὶ λόγον ἀντιτάττειν πρὸς τοὺς ἀνεπιστημόνως ταῦτα παραδεξαμένους, καθάπερ καὶ πρῴην ἐπέστειλά σοι περὶ τῶν θετικῶν Ἐπιῤῥημάτων, ὅπως χρὴ ἀντεμβάλλειν πρὸς τοὺς καὶ ἐν ἐκείνοις πρὸς ἑκάτερα ἀμφιβαίνοντας κατὰ τοὺς καρκίνους, διαλογικώτερον χρήσομαι τῷ λόγῳ πρὸς σὲ ὡς δῆθεν τἀναντία φρονοῦντα· σὺ δ' ἀπόκριναι παρακολουθῶν κατὰ πόδα, ἃ ἐκεῖνοι ἂν εἴποιεν. Ἴσμεν τοίνυν, ὅτι περὶ ὃ ἕκαστος ἀσχολεῖται, τοῦτ' ἢ ἅπαξ, ἢ πολλάκις ἀναγκάζεται πράττειν· Πυνθάνομαι οὖν τίνα τῶν χρόνων ἑκατέρῳ τούτων ἀποδοτέον ἐν Απαρεμφάτῳ; — Καὶ μὴν δῆλόν γε τοῦτο, ὅτι τὸ μὲν Ἅπαξ τῷ Παρήκοντι, τὸ δὲ πολλάκις τῷ Ἐνεστῶτι· οἷον, βούλομαι γράφειν, βούλομαι γράψαι — Καλῶς τοῦτο· τί δε; ἔςιν ἄλλο τι παρὰ ταῦτα, ἢ οὔ; — Οὔ μοι δοκῶ. — Οὐκοῦν, ἐπειδὰν βουλώμεθα ἀναπτύξαι τὸν Ἀρχαῖον Μέλλοντα διὰ τοῦ Θέλειν εἰς τὴν νεωτέραν συνήθειαν, εἰς ταῦτ' αὐτὰ ἂν εἴη ἀναπτυκτέος· ἢ γάρ; — Δηλονότι· οἷον, θέλω τρώγειν, θέλω φάγειν· θέλω πίνειν, θέλω πίειν· ἐν μὲν τοῖς κατὰ Ἐνεστῶτα τὸ Πολλάκις εἰκότως τιθέντες, ἐν δὲ τοῖς κατ' Ἀόριστον τὸ Ἅπαξ, ὡς λίαν ὀρθῶς τοῦτ' ἐπαίδευσεν ἡμᾶς ὁ σοφὸς Κοραῆς. — Εὖγε καὶ σφόδρα ὀρθῶς· ἀλλὰ δεῦρ' ἀνάλυσόν μοι εἰς ταῦτ' αὐτὰ τὸ γράψω καὶ τὸ φάγομαι κατὰ τὰ εἰρημένα ἐν παρεληλυθότι χρόνῳ κατὰ μόνον τὸ Ἅπαξ, ἵν' εἴη τι κἀμοὶ ἐκεῖθεν φῶς πρὸς αὐτά. — Οὐδὲν οἷον τοῦτο ποιεῖν· τὸ μὲν γὰρ ἀναλυθήσεται εἰς τὸ θέλω γράψειν, τὸ δὲ εἰς τὸ θέλω φάγειν — Εἶεν οὕτως· ἀλλ' ὁρᾷς, ὅπως παρὰ

τὰ εἰρημένα ἀπέδωκας τὸ Ἅπαξ καὶ αὐτῷ τῷ Μέλλοντι παρὰ τὴν φύσιν τῆς γλώσσης; — δοκεῖ· ἀλλὰ τί κωλύει ἀποδιδόναι τό γε Ἅπαξ ἀμφοτέροις τοῖς χρόνοις τούτοις; — Δοῖμεν ἂν σοι καὶ τοῦτ', εἴγε ἐξῆν ἐπὶ πάντων τῶν ῥημάτων ἀδιαφόρως γίγνεσθαι τοῦτο· νῦν δὲ τὸ τὰ μὲν τὸ Παρῆκον ἐθέλειν, τὰ δὲ ἀποτείνεσθαι πρὸς τὸ Μέλλον, ὡς ἀφ' ἑτέρας ὁρμώμενα φύσεως, ἄτοπον αὐτὸ παραδέχεσθαι· ἢ παρελθὼν δεῖξον ἡμῖν σὺν λόγῳ πότερα μὲν ἐφίεται τοῦ Παρήκοντος, πότερα δὲ τοῦ Μέλλοντος· ἀλλ' οὐκ ἂν ἔχοις· οὐδὲ γὰρ ἂν ἀνατρέψαιτε τοὺς τῆς φύσεως ὅρους — Τὶ οὖν δεῖ ποιεῖν; — οὐδὲν παρ' ὃ ἡ φύσις αὐτὴ διδάσκει, ἀποδοῦναι πάντα πρὸς Ὑποτακτικὴν ἐν Ἀορίστῳ χρόνῳ· οἷον, θέλω γράψῃ, θέλω φάγῃ, οὕτως ἐν ἑνὶ ἁπλουστάτῳ κανόνι, ὡς πάντες ἐξ ἀπεράντων αἰώνων προφέρουσι· Σὺ δ' ἴσθι ἓν τοῦτο πρῶτον κακῶς παραπολαύσας τῆς περὶ ταῦτα δημιουργικῆς σοφίας τοῦ Κοραῆ· Νῦν δὲ μεταξῶμεν ἐφ' ἕτερον· σὺ δέ μοι ἐρωτῶντι ἀπόκριναι. Τὸ παθητικὸν τοῦ θέλω γράψειν, πότερον εἰς Μέλλοντα αὖθις οὕτω κανονικῶς παραπέμπει ὁ σοφὸς Κοραῆς, ἢ ποῖ δήποτε; — οὐ μενοῦν· ἀλλ' εἰς Ἀόριστον οἷον θέλω γράψειν, θέλω γραφθῆν — Ἀλλὰ τί ποθ' οὕτως, ὦ θαυμάσιε, ἀντικυβιστᾷ ὑμῖν ἡ φιλοσοφία ἐν πολλαῖς ἀνακλάσεσι; — Τὶ γὰρ ἂν καὶ πάθοι τις, ὁπότε τὸ τῆς γλώττης πάθος οὕτω βιάζοιτο; — Εἶτα πανουργοὶ ὄντες πρὸς πᾶσαν καινοτομίαν, τὶ οὐχὶ καὶ ὑμεῖς ἀπὸ τοῦ ἴσου ἐκείνην βιάζεσθε; καθάπερ ἐν τοῖς Ἐνεργητικοῖς· ὡς γάρ φατε θέλω γράψειν, οὕτως ἐρεῖτε καὶ ἐν Παθητικοῖς θέλω γραφθήσεσθαι, ἵνα ἦτε κἂν τούτοις τὰν σπάρτον ποτὶ τὸν πέτρον ἄγοντες· καὶ γὰρ καὶ ἄλλως τοὺς οὕτω γενναίους παροτρύνει ἡ παροιμία, Πάτταλοι, λέγουσα, παττάλοις ἐκκρούονται· τὶ οὖν ἀποδειλιᾶτε πρὸς τῆς γλώσσης τὴν δύναμιν· καὶ ταῦθ' ὑπόθ' ἡ τοῦ Κο-

ραῆ παντουργικὴ μηχανὴ, ὡς γενναῖον κατενεγκοῦσα ῥαιστῆρα, λίαν βαθέως τῷ ὑμετέρῳ ἐγκεφάλῳ ἐνεκόλαψε τὰ μαθήματα. Ἀλλὰ σύγ' ἔχε καὶ δεύτερον ἔλεγχον τῆς πλάνης τοῦτο. Νῦν δ' ἔλθωμεν καὶ εἰς τρίτον· σὺ δ' ἕπου τῷ λόγῳ πρᾴως, εἰ σὺν λόγῳ βούλει φιλοσοφεῖν. Δεῦρο τοίνυν εἰπέ μοι αὖθις· τὰ κατ' Ἀόριςον ταῦτα Μελλοντικὰ τὰ, θέλω φάγειν, πίειν, ἔλθειν, εὕρειν, λάβειν, μάθειν, τύχειν, ταῦτά φημι καὶ ἕτερ' ἔτι μυρία ὅσα, τίποθ' οὕτως παροξυτόνως, ὀξύτονα ὄντα, γράφοντες παραφθείρετε; ὁ γὰρ τύπος αὐτῶν φαγεῖν ἐστι, καὶ πιεῖν, καὶ μαθεῖν. — Ἐν τούτοις, ὦ Σώκρατες, οὐδ' ἡμεῖς ἐσμὲν σύμφωνοι πρὸς ἀλλήλους — Ἀλλ' οὐδὲ πρὸς ἑαυτοὺς, ἄλλοτ' ἄλλως τονίζοντες τὰ αὐτά. — Ἔοικε δὲ ταῦτα ἀνωμαλίαν νοσῆσαι ἐν τῇ προσῳδίᾳ ἐκτραπέντα ἀπὸ τοῦ ἀρχαίου, καὶ τὸν τόνον ἀναβιβάσαντα. —Τί φὴς αὐτὸς; ἀνωμαλίαν παθεῖν ἐσμὸν ὅλον ὀνομάτων; τῶν γὰρ ἀνωμάλων αἱ ἐξαιρέσεις ὡς σπανιώταται· ταῦτα δὲ εἰσὶ τῆς νέας μηχανῆς στρεβλὰ πλαστουργήματα. Σὺ δ' οὖν παιδεύου κἀντεῦθεν τρίτον, ὅτι οἱ ἐκ τῆς Κοραϊκῆς ἐν τούτοις ἑωλοκρασίας ἀπόζοντες, μηδὲν ὑγιὲς μήτε λέγουσι, μήτε γράφουσι. Νῦν δὲ ἴθι αὖθις ἀπόκριναί μοι καὶ τέταρτον. Τὸν μὲν δεύτερον Ἀόριςον ὡς ἀνωμαλίαν νοσήματα, ὡς φὴς, ἐῶμεν χαίρειν· τὸν δὲ πρῶτον πῶς ἂν μαιεύσαιμεν κατὰ τὴν Εἰλήθυιαν, ἢ ὡς παντουργικῶς κατὰ Δαίδαλον, ἵν' οὗτος γοῦν κατὰ τὸν κανόνα τῆς μηχανῆς ὑμῶν ὀρθὸς ἀποβαίνῃ; δοκεῖτε γὰρ κἀν τούτῳ πάνυ ἀμυδρῷ τῷ ἐκ τῆς περὶ ταῦτα φιλοσοφίας τοῦ Κοραῆ χρήσασθαι λυχναρίῳ, θέλω ψάλειν (κατὰ τὸ ἅπαξ), καὶ σπείρειν, καὶ νείμειν, καὶ σφάλειν, καὶ φήνειν, καὶ ὑπομείνειν γράφοντες παραδόξως καὶ λίαν ὑπερφυῶς, τοῦ τύπου αὐτοῖς ὄντος, ψάλαι, σπεῖραι, νεῖμαι, σφάλαι, ἀποφῆναι, ὑπομεῖναι. Ὁρᾷς οὖν κἀντεῦθεν, ὅπως

ἔχεις καὶ τετάρτην τῆς πλάνης ἀριδηλοτάτην ἀπόδειξιν; καὶ ὅτι ὁ Μέλλων τῆς νεωτέρας, ἐκ τῆς ἀρχαίας ἐκπεσὼν, καταφεύγει πανταχόθεν πρὸς ὑποτακτικὴν Ἔγκλισιν ἄνευ βίας; τί φὴς αὐτός; ἔπη μοι τῷ λόγῳ πρὸς ταῦτα, ἢ οὐκ ἂν ἐξεμέσειας ἄνευ ἐλλεβόρου ἐγκαταγεγηρακυῖαν σοφίαν; — Οὐκ ἂν ἔχοιμι, ὦ Σώκρατες, ἀντιπεῖν πρὸς τοιαῦτα ἐπιχειρήματα· τί γὰρ ἂν καὶ εἴποι τις, ὁπόθ' ὁ λόγος πανταχόθεν οὕτω ποιεῖν βιάζοιτο; — Καὶ μὴν ἔγωγ', ὦ φίλον μειράκιον, ἓν τῶν εἰρημένων μοι εἴγε ἀνέλοις, χαρίσομαί σοι καὶ τἄλλα ὁμολογήσας τὴν ἧτταν· καὶ εἴγε προσαπαιτηθείην καὶ ὅρκον δοῦναι, εἴποιμι ἄν, ἦ μὴν πρὸς Ὑποτακτικὴν πάντα φέρεσθαι ταῦτα οὑτωσὶ φύσει, θέλω γράψῃ, θέλω γραφθῇ (ἐν Ἀορίστῳ ἀμφότερα) θέλω φάγῃ, θέλω φαγωθῇ· θέλω ποιήσῃ θέλω ποιηθῇ, νικήσῃ νικηθῇ, χρυσώσῃ χρυσωθῇ, εὕρῃ εὑρεθῇ, καὶ πάντα ἑξῆς ὡσαύτως καταλλήλως καὶ ἀπλανῶς, ἐκτὸς μόνον ἐν τῷ παθητικῷ Ἐνεστῶτι· ὅστις δέχεται τὸν σχηματισμὸν κατὰ πᾶν πρόσωπον, ὡς τὸ θέλω διδάσκωμαι, θέλεις διδάσκησαι, θέλει διδάσκηται· τοῦτο γὰρ οὕτω πέφυκε γίγνεσθαι ἀνωμάλως, — Ἔχει ταῦθ' οὕτως, ὦ Σώκρατες, ἀλλὰ τί τις ἂν ἔχοι εἰπεῖν, ὁπότε καὶ τῶν ἀρχαιοτέρων εἰσὶν οἱ τῷ Ἀπαρεμφάτῳ ἐχρήσαντο· τί οὖν πρὸς ἐκείνους ἐροῦμεν; — Τίνας καὶ ποίους φὴς τούτους; μῶν τοὺς περὶ τὸν πτωχὸν Πρόδρομον; πολλὰ μὲν ὁ βάρβαρος ἐχάλκευσε χρόνος, ἀλλὰ νῦν ὁ ὀρθὸς λόγος ὡς ἀκμαίῳ χρώμενος σμίλακι, ἐκκολάπτων ἐκεῖνα, ὥσπερ κηλῖδας, ἐγχαράττει τὰ ἑαυτοῦ ὡς ἀνέκπλυτα καὶ ἀνάγραπτα. — Εἶεν ταῦτα τοῖς Ἕλλησι πάντα μετὰ λόγου ποιεῖν· τὸ δὲ θὰ γράψω, καὶ θὰ νὰ γράψω, ᾧ πολλοὶ δοκοῦσιν ἐνασμενίζειν, ποῦ θῶμεν, ὦ Σώκρατες; οὐδὲν γὰρ εἴρηται περὶ τούτου· — Τοῦτο μὲν πάντως ὁμαλώτερον δοκεῖ εἶναι· ἀλλ' ὡς ἰδιωτικὸν, εἴη ἂν χρήσιμον ποιηταῖς

καὶ μάλιστα τοῖς κωμικοῖς πρὸς τὰ μέτρα· τούτοις γὰρ ἐφεῖται καὶ χυδαΐζειν, χυδαίους τὰ ἤθη καὶ αὐτοὺς ἐνίους, ἐν οἷς σατυρίζουσιν, ὄντας. — Ἀλλὰ πῶς ἂν εἴη, ὦ Σώκρατες, ἐκ κοινῆς γνώμης ἐπαναλαβόντας τὸν ἀρχαῖον Μέλλοντα, ἐκφυλλοφορῆσαι τὸν παράσημον καὶ παράμουσον τοῦτον; τί γὰρ κωλύει εἰπεῖν πῃ, ἔσται ταῦτα, καὶ γενήσεται ταῦτα, καὶ τὶ τέξεται ἡ ἐπιοῦσα· πολλὰ γὰρ κἀκ τῶν ἱερῶν λόγων συνήθη γενόμενα, προφέρεται κατὰ Μέλλοντα. — Οὐ μόνον ἀλλὰ κἀν ταῖς ἐφημερίσι πολλαχῇ, καὶ νόμοις, καὶ βασιλικοῖς διατάγμασιν ὁρῶμεν εἰσαχθέντα αὐτὸν εὐστόχως· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ ἡ νέα περὶ ταῦτα φιλοσοφία, ἀπανθοῦσα ὑπομαραίνεται. Ἀλλὰ σύ γ' εἴτι τούτων μετέμαθες, ἐξ ὧν ἡμῖν εἴρηται, ἴθι σώζων σῶζε σεαυτὸν, καὶ μὴ στραφῇς εἰς τὰ ὀπίσω, ἵνα μὴ γένῃς στήλη ἁλός.

## Τῷ αὐτῷ. (188.)

Περὶ δὲ τῆς Ἀπολύτου Γενικῆς (ἐπειδὴ καὶ περὶ τούτου ἄξιοις ἀκοῦσαί τι παρ' ἐμοῦ πρὸς τοὺς καθαιρέτας καὶ ταύτης) καὶ ἄλλοτέ μοι εἴρηται πρὸς ἐκείνους· φασὶ γὰρ, τῷ αἱρεσιάρχῃ τυφλῶς παρακολουθοῦντες μὴ εἶναι τὴν Γενικὴν ταύτην ἀπόλυτον· πῶς γὰρ ἂν εἴη, φασὶ, λόγος ἀπόλυτος ὁ ἐκ προτάσεων, σχέσιν καὶ ἀπόνευσιν ἐχουσῶν πρὸς ἀλλήλας, συντεθειμένος; Ὅρα οὖν, ὅπως ἐνταῦθα παραλογίζονται, ἀπὸ τοῦ πράγματος ἐπὶ τοὔνομα σοφιστικῶς τὸν μέσον τῶν ὅρων μεταλαμβάνοντες· Εἰ μὲν οὖν μὴ καλῶς αὐτοῖς δοκεῖ ἔχον τοὔνομα, καλείτωσαν αὐτὴν Ἑτερόσχετον, ὃ καὶ παρ' ἑτέρων γραμματικῶν τοῦτο ἤκουσεν· ἢ ὅπως ἂν αὐτοῖς ἄλλως δόξῃ· οὐ γὰρ περὶ τούτου διαφερόμεθα, ἀλλὰ περὶ τῆς ἑτεροπροσώπου ταύτης συντάξεως· ἣν ἔλλειψιν λέγουσιν ἔχειν Προθέσεως· καὶ

ὁ αἱρεσιάρχης ὁ ἐπὶ τὴν πλάνην ταύτην τυφλῶς ἐξωθήσας αὐτοὺς, παραδείγματ' ἐκεῖνα ἡμῖν τοῦ λόγου παρέδωκε· Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις, ὅ ἐςι, ὑπὸ θεοῦ θέλοντος· καὶ, Ἐμοῦ διδάσκοντος, σὺ μανθάνεις· δῆλον ὅτι, ὑπ' ἐμοῦ διδάσκοντος. Τούτοις ἐκεῖνος ἐχρήσατο παραδείγμασι πρὸς τὸ καθελεῖν τὴν ἐκ πολλῶν αἰώνων ἀναντιῤῥήτοις λόγοις ἐπερειδομένην ἀλήθειαν. Τί οὖν ἂν εἴποις πρὸς ταῦτα; ἢ πρῶτον μὲν, εἰ τὸ, Ἐμοῦ διδάσκοντος, σὺ μανθάνεις, ἐστὶν ἀληθῶς ἐλλειπτικὸν, τί κωλύει τῇ αὐτῇ ἐλλείψει χρήσασθαι κἀπὶ τῶν Παθητικῶν, οἷον, ἐγὼ διδάσκομαί σου, ὃ ἔσται κατ' αὐτοὺς, ὑπὸ σοῦ· καὶ, ἐμοῦ πίνοντος, σὺ μεθύεις· ἤτοι ὑπ' ἐμοῦ πίνοντος. Δεύτερον δὲ, τίνας τῶν Προθέσεων ἐπινοήσομεν καὶ ἐν ἄλλαις τῆς τοιαύτης φράσεως περιστάσεσιν, οἷον ἀποθανόντος τοῦ πατρός μου, ἔμεινα πτωχός; τὴν προσήκουσάν φασι τῇ ἐνοίᾳ τοῦ λόγου· καὶ μὴν ἀποδότωσάν μοι αὐτοὶ τὸ προσῆκον ἐπὶ τῆς Ἀπολύτου ταύτης· οἷον, Καί τοι τοῦ Ἰησοῦ ἀναστήσαντος νεκρὸν ἐκ νεκρῶν τετραήμενον, οὐδ' οὕτως ἐπίστευσαν, ἀλλὰ μᾶλλον ἐσκληρύνοντο· καὶ, Μαθουσάλας ἔζησε χίλια ἔτη, τριάκοντα δεόντων· καὶ, Ἐνταῦθα ηὐλίσθησαν, ἀπεχούσης τῆς πόλεως δέκα ἔτι σταδίους, δυοῖν δεόντων. Τούτοις γὰρ, οἶμαι, οὐκ ἂν ἔχοιεν ὅ,τι ἐπιθεῖεν ἐκ τῆς αὐτῆς ἀπειροκαλίας. Ἔπειτα τί μὴ ὅτι, ὡς ἐπὶ τῶν Μετοχῶν, οὕτω κἀπὶ τῶν ὀνομάτων ἡ αὐτὴ ἔλλειψις ἐστὶ κυρία; οἷον, ὥσπερ φαμὲν, Ποντίου Πυλάτου ἡγεμονεύοντος, ἐσταυρώθη ὁ Χριστὸς, οὕτω καὶ Ποντίου Πυλάτου Ἡγεμόνος, ἐσταυρώθη ὁ Χριστὸς· τί γὰρ κωλύει καὶ τοῦτο, εἴγ' ἐκεῖν' ἔχεται ἀληθείας; ἀλλ' οὐκ ἂν ἐς τοσοῦτον ἐλάσειαν ἀτοπίας, ὥστε τοιαύτην ἀναιδῆ δέξασθαι ἔλλειψιν. Τὸ δὲ, Ἐπὶ ἄρχοντος Εὐκλείδου ταῦτα ἐγένετο, ἀφ' οὗ ὁρμώμενοι, δικαιοῦσι τὸ τῶν Μετοχῶν ἐλλιπὲς τῶν Προθέσεων, τουτ' οὐ Μετοχὴ,

ἀλλ' ὄνομά ἐστι σαφές· οἷον, Θεμιστοκλῆς ἐγένετο Ἄρχων ἐπώνυμος· τὸ γὰρ Μετοχικὸν ἐν τοιαύτῃ συντάξει ἀνεπίδεκτον ὅλως προθέσεως· διὸ καὶ φαμὲν τὸ σχῆμα τοῦ λόγου τοῦτο Ἀπόλυτον, ἑτεροπροσωπικῶς κατὰ Γενικὴν εἰς ἕτερον ῥῆμα ἀναφερόμενον· εἶεν. Πρὸς δὲ τὸ, Ἀχαιῶν ὕπο αὐσάντων ἐκονάβησε τὸ στρατόπεδον, τοῦτο δὴ τὸ Ὁμηρικὸν, ᾧ αὐτοὶ διϊσχυρίζονται μάλιστα, τί ἂν εἴποιμεν; ἢ ὅτι ὁ παντοκράτωρ καὶ αὐτὸς ποιητὴς ἐδύνατο καὶ ἑτέραν ἔτι Πρόθεσιν προσεπιθεῖναι κατὰ παρολκὴν, ὡς καὶ τὸ, Ἀπὸ πρὸ, Διὰ πρό· ἀλλὰ ταῦτα τοῖς πεζογράφοις ἐστὶν ἀπαράδεκτα. Καίτοι παρ' ἀμφοτέροις ἔσθ' ὅπου εὕρηται καὶ κατ' εὐθεῖαν ὁ Ἀπόλυτος οὗτος τῆς συντάξεως τρόπος· τί οὖν πρὸς τοῦτ' ἐροῦσιν; ἐπικρεμάσουσι καὶ ἀπὸ τούτων τινὰς τῶν Προθέσεων; ὢ οἷά σου, Κοραῆ, τὰ αὐτοσχέδια δόγματα!

### Τῷ αὐτῷ. (189.)

Ἐπειδὴ ἅπαξ ὡρμήθην γράψαι σοι, περὶ ὧν διηνέχθην ποτὲ πρὸς τοὺς Κοραϊστὰς, οἳ διαφιλοτιμησάμενοι δικαιῶσαι τὸν αἱρεσιάρχην, ἐν οἷς ἀντεῖπον πρὸς ἐκεῖνον ἐν τῷ τῆς δευτέρας ἐκδόσεως τῆς Τερψιθέας προλόγῳ, ἐπεβάλοντο χερσί τε ποσί τε ἀποδεῖξαι μηδέν μοι ἐκεῖ ὑγιὲς εἰρημένον, οὐκ ἄκαιρον δοκῶ μοι ποιήσειν, εἴτι καὶ νῦν προσθείην περὶ τῶν παραθετικῶν ὀνομάτων, περὶ ὧν τότε πολὺς ἐγένετο λόγος, ὅπερ τότε οὐκ εἴρηται· ὅτε γὰρ συνέταττον τὴν Γραμματικὴν, διασκεψάμενος κατ' ἐπιστασίαν τὴν τῶν Συγκριτικῶν πρὸς τὸ Ὑπερθετικὸν διαφορὰν, καὶ διαπορήσας, τίποτ' ἂν εἴη τὸ αἴτιον, δι' ὃ τὰ μὲν οὕτω, τάδ' ἐκείνως διαφόρως συντάσεται πρὸς ἃ ἀναφέρεται, εὑρόντι καὶ ἀνευρὼν, ἐγώ τε πέποιθα ἐμαυτὸν τἀληθὲς ἀνευρηκὼς, καὶ τοὺς ἄλλους ἐσπούδασα πεῖσαι· ὅτι τὰ μέν εἰσιν, ὡς καὶ

λέγεται, παραθετικά· τὰ δὲ Ὑπερθετικὰ παραθετικὰ μὲν οὔ, διαιρετικὰ δέ· καὶ διὰ ταῦθ', ὡς νεωτερίσας, ἅτε μηδενός πω εἰρηκότος τὴν γνώμην ταύτην, ἐπεσπασάμην τὸν πλατὺν αὐτῶν λῆρον ἐκεῖνον ἐπ' ἐμαυτόν· παράδοξον γὰρ αὐτοῖς καὶ ἀνάξιον ἔδοξεν, εἴτις παρὰ τὸν Κοραῆν ἐφεύροι τι πρὸς φιλολογίαν· εἰδ' ἐκεῖνος ἦν ὁ εὑρὼν, ἦν ἂν πάντ' ὀρθῶς εὑρημένα· Τοὺς μὲν οὖν λόγους, ὅσους ἐπενόησα τηνικαῦτα, καὶ δι' οὓς ἀπέφην τῶν Ὑπερθετικῶν τὸ εἶναι παραθετικὰ, τούτους εὑρήσεις ἐν τῇ ἐμῇ Γραμματικῇ ἐν τῇ πρὸς τὸν Στέργιον ἐπιστολῇ μου· ὃ δ' ὑστέρῳ χρόνῳ ἀνέγνων ποτὲ περὶ τούτου πῃ κἀν τοῖς τοῦ Σταγειρίτου, τοῦτο νῦν ἐρῶ· ἔστι γὰρ ἰσχυρὸν ἔχον λόγον· διάτε τὸ ἀληθὲς αὐτὸ καὶ διὰ τὸ τοῦ φιλοσόφου ἐκείνου παρὰ πᾶσιν ἀξίωμα· φησὶ γάρ πῃ, ὡς τὰ μὲν Συγκριτικὰ ἀντιστρέφουσι πρὸς ἑαυτά· οἷον, Ὅμηρος δοκιμώτερος πάντων τῶν ποιητῶν, καὶ πάντες οἱ ποιηταὶ εἰσὶ τοῦ Ὁμήρου ἀδοκιμώτεροι· τὰ δὲ Ὑπερθετικὰ οὐκ ἂν ἀντιστρέψειαν οὕτως· οὐ γὰρ ἂν φαίημεν, ὥσπερ ὁ Ὅμηρός ἐστι σοφώτατος πάντων τῶν ποιητῶν· οὕτω καὶ πάντες οἱ ποιηταί εἰσιν ἀσοφώτατοι τοῦ Ὁμήρου· οὕτω γὰρ διαιροῖμεν ἂν τὸ ὅλον ἀπὸ τοῦ μέρους· ὅ ἐστι τῇ τε φύσει ἄτοπον, καὶ τῇ γλώσσῃ αὐτῇ ἀπαράδεκτον· ἔστιν ἄρ' οὐ παραθετικὸν, ἀλλὰ διαιρετικὸν ἐξ ὑπεροχῆς· ὅπερ ἱκανῶς καὶ πάλαι μοι ἐν τῇ πρὸς τὸν Σέργιον ἀποδέδεικται· καί τοι ἔδοξα πεῖσαι μηδένα· ἔνθα μὲν γὰρ τὸ προληπτικὸν, ἔνθα δὲ τὸ ἀντίζηλον, ἀντιφράξαντα πρὸς τὴν ἀλήθειαν, οὐκ εἴασεν αὐτὰ εἰσιέναι εἰς τὴν καρδίαν αὐτῶν· διὸ ἔτι καὶ νῦν πάντα, περὶ ὧν ἡμῖν ἦν ἡ διαφορὰ πρὸς ἐκείνους, ἀνεμώλια φέρεται μέχρις ἂν, ἀπονεκρωθέντων ποτὲ τῶν παθῶν, ἄρξωνται οἱ Ἕλληνες, φιλοσοφεῖν μὴ καθ' αἵρεσιν, ἀλλ' ἐκλεκτικῶς. Ἔρρωσο.

Τῷ αὐτῷ· (190.)

Ποταμὸς, ἐπισχεθέντος αὐτῷ, εἰ οὕτω τύχοι, τοῦ ῥεύματος, ἢ διασπάσας τὸ κωλύον, παρασύρει πάνθ᾽ ἑξῆς τῇ φορᾷ, ἢ ἀνασκιρτήσας τῆς ἑαυτοῦ κοίτης, καταῤῥεῖ ἐκ πλημμύρας, ὅποι ποτὲ τύχοι, μέχρις ἂν ἐπανελθὼν εἰς ἑαυτὸν, ἐπαναλάβῃ ἐξ ὑπαρχῆς τὴν οἰκείαν εὐθυωρίαν πρὸς πορίαν εὐτακτοτέραν. Ἀλλ᾽ οὐχ ἧττον καὶ οἱ Ἕλληνες νῦν ταῦτά μοι δοκοῦσι ποιεῖν· τῶν γὰρ κωλυόντων τὸν τῆς παιδείας ῥοῦν ἐς δεῦρο (ἦν δὲ ταῦτα πολλὰ) ἀρθέντων ἤδη θεοῦ συνάρσει, ὥρμηνται οὕτως, ὥσθ᾽ οὐκέτι ἠβουλήθησαν τῆς ἐπιδείξεως τὴν ὁρμὴν σὺν λόγῳ ποιήσασθαι· ἀλλ᾽ αἴφνης ἐκτραπέντες τῆς περὶ τοὺς λόγους τέχνης, ἣν σοφοὶ ἄνδρες πάλαι ἡμῖν ἐγκατέλιπον, ἀλλότρια ἀντεισήγαγον δόγματα, τὰ παρὰ τοῖς Ἑλληνισταῖς περὶ πλείστου τῶν ἡμετέρων γραμματικῶν ποιησάμενοι· καί τοι ἐκεῖνοι οὐχ ὅπως ἂν συνενέγκοι τοῖς Ἕλλησιν, ἀλλ᾽ ὅπως τοῖς ἑαυτῶν τοῦτο συντελοίη παισὶ τὰς Ἑλληνικὰς Γραμματικὰς συνετάξαντο· καὶ ταύτας οὐ πρὸς ἀπείρους καὶ πρὸς παιδία, ἀλλὰ πρὸς καθεστηκότας τὴν ἡλικίαν, καὶ τὴν πάτριον προμεμαθηκότας παιδείαν· διὸ καὶ παρ᾽ ἡμῖν νῦν ἀποπνιγόμενα τὰ μειράκια ἐν ἀπεράντοις τοῖς ἐκείνων φιλολογικοῖς θεωρήμασιν, ἀπαυδῶσιν ἐκ τῶν προοιμίων, ἀπογινώσκοντες διὰ τοσαύτης ἀδιεξιτήτου ὕλης ἀφικέσθαι πρὸς ὃ σπεύδουσι τέρμα· ἀπόδειξις δὲ τοῦ λόγου· τριακοστὸν γὰρ ἔτος μάλιστα τοῦθ᾽, ὁπότε τοῦ τε καιροῦ καὶ ἄλλων πολλῶν συναιρουμένων πρὸς τοῦτ᾽ εὐτυχῶς, ἔδει πολλοὺς ἀναφανῆναι τὴν Ἑλληνικὴν παιδείαν πεπαιδευμένους, οὐκ ἂν εὕροις ῥᾳδίως τὸν ἀκριβῶς τὴν πατρῴαν εἰδότα γλῶσσαν· εἰδέ τις καὶ καυχῷτο, δειξάτω ἡμῖν ἐκ τῶν ἔργων, εἴγε λόγος ἔργου σκιὴ κατὰ τὸν Δη-

μόκριτον· δειξάτωσαν οἱ νῦν διδάσκοντες μαθητὴν εἰδότα γράφειν ἐν τῇ ἀρχαίᾳ ἓν γοῦν ἐπιστολίδιον· ἀλλ' οὐκ ἂν ἔχοιεν. Ἀλλὰ μέχρι τίνος ταῦθ' οὕτως ἀπροβουλεύτως ἡμῖν ἕξει; μέχρις ἂν ὁ κατεξαναστὰς τῶν ὀχθῶν ποταμὸς ἐπανέλθῃ ἐπὶ τὴν πάτριον κοίτην· μέχρις ἂν οἱ ἡμέτεροι ἐπανελθόντες ἀπὸ τῆς ξένης ἀπειροκάλου πλάνης, χρήσωνται τοῖς διδακτικοῖς τῶν βιβλίων ὡς ἐπιτομωτάτοις, ἀποσεισάμενοι ὅλον συρφετὸν τῶν κατ' ἐκείνους ἀκαίρων λόγων· ἄλλως δ' ἐκ τῶν ὀγκωδεστάτων γραμματικῶν οὐδεμία τοῖς παισὶν ἐπίδοσις γένοιτ' ἄν· οὐ γὰρ ἐκ τῆς γραμματικῆς τὸ τέλειον θηρευτέον, ἀλλ' ἐκ τῆς γραφίδος· ἄσκησις γὰρ ἀνυστικὸν τοῖς τ' ἄλλοις κἀν τοῖς λόγοις οὐχ' ἧττον. Ὁ μὲν οὖν Σταγειρίτης θαυμάζεται, ὅτι συναγαγὼν τὰ ὄντα, ὑπήγαγεν αὐτὰ εἰς δέκα γενικώτατα γένη· τί ποτ' οὖν οὗτοι παθόντες, ἀπελάκτισαν τὰ Θεοδώρου τοῦ Γαζῆ, εἰς δυωκαίδεκα τὰ τῆς τοῦ λόγου συντάξεως κατακλείσαντος εἴδη; εἰ γὰρ ἐπιστημονικῶς γραμματικεύεσθαι βούλοιντο, οὐκ ἂν εὕροιεν ἀρχὰς τῶν ἐκείνου οὔτε περιεκτικωτέρας, οὔτε συντομωτέρας, κἀντεῦθεν συντεμνουσῶν καὶ τὸν χρόνον, ὃν τό γε νῦν ἔχον οἱ μαθητευόμενοι καταναλίσκουσιν ἐν ἀπειροκάλοις κανόσιν. Οὐκοῦν σὺ λέγεις εἰσαγαγεῖν εἰς τὰ σχολεῖα γενικῶς τὴν σὴν Τερψιθέαν· οὔμενουν, οὐδ' ἂν βουλοίμην ἑκὼν οὐδὲ ταύτην· φλύαρος γὰρ καὶ αὕτη πολλαχῇ, πλὴν εἰ μήτις ἐξέλοι τὸ τέταρτον μέρος αὐτῆς· τὴν δὲ Τερψιχώραν καὶ μάλιστα· ἱκανὴ γὰρ ἔσται παιδεύειν Ἕλληνας· οἳ οὔτε χειλιοπροφέρτων, οὔτε οὐρανισκοφώνων· οὔτ' ἄλλων πολλῶν τῶν κατ' ἐκείνους δέονται· δέονται δὲ μᾶλλον τῆς τῶν διδασκάλων δραστηριότητος ἐν τοῖς μὴ περιττοῖς. Ἔρρωσο.

## Τοῖς Μαθηταῖς. (191.)

Πολλῶν μὲν πάντως πολλῶν ἕνεκ' ἐπαίνων ἄξιός ἐστιν Ὅμηρος· καὶ τοῦτ' αἰῶνες συχνοὶ αὐτῷ ἀπ' ἀρχῆς ἀποδόντες προσεβεβαίωσαν· ἀλλ' οὐκ ἂν βουλοίμην καὶ ὑμᾶς κατὰ τοὺς πολλοὺς ἄνευ ἐπιγνώσεως κἀκ μόνης συνηθείας κατὰ τοὺς ψιττακοὺς συνείρειν ἐγκώμια, ὅπως δόξητε μόνον, ὅτι τὰ ἐκείνου διήλθετε ἔπη· δεῖ γὰρ δὴ, εἴτις τὶ ἐπαινεῖ, ταύτου ἀκριβῶς καὶ τὸν λόγον εἰδέναι· τοῦτο δ' οὐκ ἂν ἄλλωςγε γένοιτο, εἰ μὴ καὶ σαθρόν τι, ἢ ἐλλιπὲς, ἢ ἐξοιδαῖνον πρὸς ὑπερβολὴν, ἢ ἄλλως ἀπίθανον, καὶ εἴτι τῶν τοιούτων παρεισέφρησεν ἐν τοῖς ἔπεσι, ταῦτ' ἐξελέγχοι· οὐ γάρ ἐστι κἀκεῖνον ἄνθρωπόν γ' ὄντα, καὶ ταῦτ' αὐτὸν ἀρχηγὸν τῆς τέχνης γενόμενον, μὴ ὑποπεπτωκέναι ὁτῳδήποτε, ἢ μικρῷ ἢ μείζονι ἁμαρτήματι· ἴσμεν γὰρ ὅσον καὶ θεῶν αὐτῶν ὁ μῶμος καθάπτεται. Ἀλλ' ἱλήκοι ὁ θεῖος οὗτος ἀνὴρ, εἴτι τῶν αὐτοῦ ὑμῶν γ' ἕνεκα ἐξελέγξαι πειρῴμην· ἑλοίμην γὰρ ἂν μᾶλλον βλασφημεῖν εἰς ἐκεῖνον, καὶ Ὁμηρομάστιξ ἀκούειν, ἢ ὑμᾶς ὁρᾷν ἀνεπιστημόνως ἐν ταῖς διαλέξεσιν ἐγκώμια πλέκοντας.

Ποιητοῦ τοίνυν, ἤτοι ἐποποιοῦ, ἢ δραματουργοῦ πᾶν ὅ,τι, ἂν ποιῇ, τοῦτο συμπλέξαι μύθῳ, εἴτ' ἐξ ἀρχῆς πλάσανθ' ὅλως εἴτ' ἐκ μέρους συμμίξαντα τἀληθὲς πρὸς τὸ ψεῦδος· τὸ δὲ θαυμαστὸν παρακολουθήτω, ὥσπερ καὶ εἶδος ὕλη, πανταχοῦ ἀμφοτέροις· ἀλλ' οὐχ ὁμοίῳ λόγῳ· ῥαψῳδῷ μὲν γὰρ ἐπὶ πλέον ἐφεῖται ἀνίεσθαι ἐν τοῖς ἔπεσι· τραγῳδῷ δὲ ἔλαττον καὶ κατὰ πολλὴν πιθανότητα· τοῦ μὲν γὰρ τῶν ἐπῶν, ἀκοὴ μάρτυς μόνη· τοῦ δὲ τραγῳδοῦ καὶ ὄψις προσεπιφέρει ἐν τοῖς πραττομένοις τὸν ἔλεγχον· ὅσον οὖν ὄψις ἀκοῆς πιστω-

τέρα, τοσοῦτον ἀνάγκη τούτῳ περὶ τὸ πιθανὸν περιστέλλεσθαι, ὡς ἔγγιστα τοῦ κατὰ φύσιν ἕκαστα ἐργαζόμενον. Ἀλλὰ καὶ τούτων οὕτως ἐχόντων, οὐκ ἂν οὐδ' αὐτῷ τῷ ἐπικῷ ἐξείη, διώκοντα τὸ ὑψηλὸν πανταχοῦ, ἁπλῶς ὑπεράλλεσαι εἰς ἀπίθανα· δεῖ μὲν γὰρ δὴ ὥσπερ ἀνιπτάμενον βαίνειν κατὰ τὸν Φρύξον, ἀλλὰ προβαίνονθ' οὕτω, φυλάττεσθαι μὴ παθεῖν τὸ τῆς Ἕλλης, ἀποτυχόντα τοῦ πείθειν, οὗπερ καταστοχάζεται.

Δεῦτε τοίνυν συσκεψώμεθα ἀπρολήπτως, εἰ καὶ Ὅμηρος ἐφύλαξε σὺν τῷ θαυμαστῷ καὶ τὸ πιθανὸν πανταχοῦ· ἔμοιγε γὰρ οὐ δοκεῖ· πρῶτον μὲν γάρ, ἐπειδὰν ἐπάγῃ ἄμφω τοὺς στρατοὺς ἑκατέρωθεν ἐπ' ἀλλήλους, ὥσπερ μαινομένους, καὶ ὁ θεατὴς ἀναμένῃ παλλομένῃ καρδίᾳ, πότερος αὐτῶν κρείττων ἔσται, αἴφνης μονονοὺ διηγκυλισμένοις αὐτοῖς, καὶ τὴν χεῖρ' ἐπιτεθεικόσιν ἐπὶ τῆς νευρᾶς, ἀντὶ τῶν ἔργων τοῦ Ἄρεως εἰς ἀγῶνα λόγων τὸ πρᾶγμα μετέθεικεν· ἐπεισόδιον γὰρ σταδιαῖον οὐκ ἐν καιρῷ εἰσαχθέν, τούς τε μαχητὰς ψυχροτέρους ἐποίησε, τὴν τῶν ἔργων ἀκμὴν ἀφελὸν τῇ βραδύτητι, καὶ τοὺς θεατὰς ἐν λόγοις μακροῖς ἀπονυστάζειν μεταξὺ κατηνάγκασεν, αὐτῶν ὑφ' ἑαυτῶν τῶν εἰσαγομένων ἑκατέρωθεν ἐπαινεῖσθαι ἐπὶ προγόνων ἀρετῇ φιλοτιμουμένων· οἷά ἐστιν ἰδεῖν ἄλλα τε πολλὰ ἐν τοῖς ἔπεσιν ἐν οὐδέοντι καιρῷ εἰσαγόμενα, καὶ τὰ Διομήδει καὶ Γλαύκωνι πρὸς ἀλλήλους σεμνολογούμενα· ἃ ὡς διὰ χρόνου εἰρημένα ἐν καιρῷ κατεπείγοντι πρὸς τὴν πρᾶξιν, δοκεῖ παραμβλύνειν τὴν τῶν ἔργων ἀκμήν· αὐτίκα γὰρ ἀγῶνος προκειμένου μεγίστου περὶ τὸν τοῦ Πατρόκλου νεκρόν, πότερος νικήσας αὐτοῦ κρατήσῃ, Μενέλαός τε καὶ Εὔφορβος, οἱ ὥσπερ λέοντες πόρρωθεν ἐπιόντες ἀλλήλοις, ἅμ' ἐγγυτέρω γενόμενοι, ὥσπερ ἐν συμποσίῳ, πάντων ὡρμημένων διαπληκτίσασθαι, ἐπ' εὐγε-

νεία κομπολογούμενοι, ἀφόρητοι γίγνονται· καί τοι μικρὸν ἀνωτέρω εἰσήγαγε Πάτροκλον ἐπιτιμήσαντα Μηριόνῃ, ὡς οὐ καλῶς, οὐδ' ἐν καιρῷ τὰ τοιαῦτά γε πρὸς Αἰνείαν καυχησαμένῳ· βουλαὶ γὰρ, φησὶ, λόγοις περαίνονται· πόλεμος δ' ἐξ ἔργων μάλιστα τελευτᾷ.

Πρὸς δὲ τούτοις καὶ τοὺς ἥρωας αὐτοὺς, ὧν τὴν ἀρετὴν δοκεῖ βούλεσθαι αὔξειν, ἀδικεῖ, τοὐναντίον ποιῶν· καταχρώμενος γὰρ τῷ θαυμαστῷ πανταχῇ, ὑφερεῖ τι τῆς ἐκείνων ἀρετῆς· οὐ γὰρ μόνον Ἀπόλλων Πάτροκλον ἀφοπλίσας, καὶ ἐμβρόντητον ὅλως τῷ κονδύλῳ ποιήσας, οὕτω παρέδωκεν αὐτὸν γυμνὸν, καθάπερ γυναιξὶ, Εὐφόρβῳ καὶ Ἕκτορι· ἀλλὰ καὶ Ἀθηνᾶ οὐ πολλῷ ὕστερον, τὸ τοῦ Διϊφόβῳ εἶδος μεταλαβοῦσα, οὕτως ἄνοπλον τῷ τῶν ἡρώων κρατίστῳ παρέσχε τὸν Ἕκτορα· τὰ γὰρ τοιαῦτα θεῶν ἔργα ὄντα, τὴν τῶν ἡρώων ὑφαιρεῖ ἀρετήν· μετὰ γὰρ θεῶν μάχονται καὶ Θερσῖται· διὸ καὶ Αἴας παρρησιαστικώτερον πρὸς τὸν Τελαμῶνα σωφρονίζοντ' αὐτὸν ἀντέκρουσε ταῦτα,

« Πάτερ, θεοῖς μὲν κἂν ὁ μηδὲν ὢν ὁμοῦ
» Κράτος κατακτήσαιτ'· ἐγὼ δὲ καὶ δίχα
« Κείνων πέποιθα τοῦτ' ἐπισπάσειν κλέος·

Εἴη δ' ἂν οὖν τὸ θαυμαστὸν ἄξιον, ἔνθ' ἂν ἡ φύσις τῶν ἀνθρώπων οὐκ ἐφικνῆται, οὐδ' ἔχῃ τὸ πιθανὸν εἰς ἐκτέλεσιν· οἷον Ἕκτωρ τρωθεὶς ἐκ στιβαρᾶς χειρὸς φορᾷ λίθου ὑπερμεγέθους, οὐκ ἂν διεσώθη, εἰμὴ δι' Ἀπόλλωνος· τοῦτο γὰρ οὐκ ἐλαττοῖ, ἀλλ' αὔξει τὴν τοῦ ἥρωος ἀρετήν.

Ἐπὶ δὲ τούτοις κἀκεῖνο οὐκ ἂν εἴη παντάπασιν ἀνεπίληπτον, τὸ τοὺς θ' ἥρωας καὶ αὐτοὺς πολλάκις τοὺς θεοὺς εἰσάγειν οἰμώζοντας ἐφ' οἱοισδήποτε, καθάπερ τὰς γυναῖκας· αἰσχρὸν γὰρ ὁρᾷν τὸν παντοκρατορικώτατον Δία, ὃς τῇ τῆς χαίτης κινήσει ἐλελίζει τὸν μέγαν οὐρανὸν, καὶ χρυσῇ σειρᾷ ἀνασπᾷ

σὺν αὐτῇ θαλάττῃ πᾶσαν τὴν γῆν, τὸ οἶμαι πολλάκις ἐπιφωνοῦντα σμικρολόγως ἕνεκα Σαρπιδῶνος, ἀνδρὸς θνητοῦ· ἐκπίπτει γὰρ ταῦθ' οὕτως ἐπιφωνούμενα τοῦ κατὰ τὸ ἦθος προσήκοντος τοῖς προσώποις· οὗ ὁ ποιητὴς μάλιστ' ὀφείλει καταστοχάζεσθαι·

Χωρὶς δὲ τούτων κἀκ τοῦ χρόνου αὐτοῦ ἐπιπολάζει ἐν τοῖς ἔπεσι τὸ ἀπίθανον· οἷον, πεσόντος Πατρόκλου, μέγιστος ἀγὼν περὶ τὸν νεκρὸν αὐτοῦ ἄρχεται εἰς ἀναίρεσιν, ἑκατέρων παραβόλως πρὸς ἑαυτοὺς ἑλκόντων ἐκεῖνον καὶ ἀνθελκόντων· ἀλλ' ἐν τούτῳ αἴφνης Μενέλαος μὲν καταλιπὼν αὐτὸν, ζητεῖ πόῤῥω πῇ ἐν τῷ εὐωνύμῳ Αἴαντα πρὸς ἐπικουρίαν· ὁ δ' αὖ Ἕκτωρ καὶ αὐτὸς μικρὸν ὕστερον, ἐπιθυμήσας τὴν τοῦ Ἀχιλλέως μεθοπλίσασθαι πανοπλίαν, ἀνεχώρησεν, ὥσπερ ἐκ συνθήκης ἀμφότεροι ἀποσχόμενοι, ἵν' ἐλθόντες ἔπειτ' ἀναμαχήσωνται οὕτως ὑπὲρ τοῦ νεκροῦ· τί γὰρ μὴ ἐσύλα Ἕκτωρ τὸν νεκρὸν παρὼν, Μενελάου περιπλανωμένου ἐν τῇ εὐωνύμῳ; τί δὲ μὴ καὶ Αἴας ἐλθὼν ἐν μέρει, ἀνείλετ' ἐκεῖνον, τοῦ Ἕκτορος ἀμφὶ τὴν ὅπλισιν ἔχοντος;

Ἀχιλλεὺς δ' αὖ οὐ πολλῷ ὕστερον ἵησι ῥαγδαῖος τῷ ξίφει ἐπὶ τὸν Αἰνείαν· καὶ Ποσειδῶν τοῦτ' ἰδὼν, καὶ δεδιὼς περὶ αὐτῷ, δημηγορεῖ ἐν συλλόγῳ τῶν θεῶν σκέψασθαι, ὅπως αὐτὸν ἀναρπάσουσιν ἀπὸ τοῦ κινδύνου, ὡς δῆθεν περιμενοῦντα Ἀχιλλέα, τὴν χεῖρ' ἐπίκοπον ἐπηρκότα, μέχρις ἂν δόξῃ τῷ Διῒ τὸ πρακτέον. Τέως δ' οὖν ἔφθακεν ὁ θεὸς ἐξελόμενος τὸν πεφιλημένον· ἀλλὰ πῶς ἂν εἴη πιθανὸν ἐν ῥοπῇ ὀφθαλμοῦ γενέσθαι τὸ πλείονος χρόνου δεόμενον πρὸς ἐκτέλεσιν;

Πρὸ δὲ τούτου αὖθις μικρὸν Πάτροκλος πεμφθεὶς ὑπ' Ἀχιλλέως τοὺς τραυματίας ὀψόμενος· καὶ ἐλθὼν εἰς Νέσορα, οὐδὲ μικρὸν ἀξιοῖ παραμεῖναι, δεδιὼς Ἀχιλλέα, μήτι χαλεπήνῃ οἱ ἐπὶ βραδυτῆτι· εἶθ' ὥσπερ ἐπιλαθόμενος, κάθηται

ἰώμενος ἀπὸ τοῦ τραύματος τὸν Εὐρύπυλον· καὶ μόλις μετὰ τρίτην καὶ τετάρτην ῥαψῳδίαν ἐπανελθὼν, ἐξαιτεῖται Ἀχιλλέα ἐπιτρέψαι αὐτῷ ἐξαγαγεῖν τοὺς Μυρμηδόνας ἐπὶ τοὺς πολεμίους.

Ἀλλὰ δῶμεν ταῦτ', εἰ βούλησθε, δυνατὰ εἶναι ἀνδρὶ ποιητῇ· ὃς πάντ' οἶδε, πάντ' ἐπίσταται θεῖά τε καὶ ἀνθρώπινα, τάτ' ἔργα καὶ τὰς φωνάς· τὸ δὲ καὶ τοῖς Ἀχιλλείοις ἵπποις φωνήν τε καὶ δάκρυα, καὶ τὸ θαυμαστότερον προφητείαν ἀποδοῦναι, τοῦτο πῇ θῶμεν; πάσης γὰρ ἐπέκεινά ἐστι πιθανότητος· οὐδὲ γὰρ ὡς μῦθος ταῦτ' εἰσῆκται, εἰκονίζων ἀλήθειαν· τοῦτο γὰρ ἴδιόν ἐστιν Ἀπολόγου· τῷ δὲ Ἐπικῷ συμπαρομαρτεῖν δεῖ τὸ ὁμοιαληθὲς μετὰ πιθανότητος. Ἐῶ δὲ λέγειν τὰ περὶ τὴν ἀσπίδα τοῦ ἥρωος· ἐν ᾗ οὐ μόνον τοσαῦθ' Ἥφαιστος ἐνεφύτευσε θαύματα, ὅσ' οὐδ' εἰ ἑκατοτάπλεθρος ἦν, ἐχώρησεν ἄν· ἀλλὰ καὶ ἀνθρώποις γλυπτοῖς, καὶ ζώοις ἀλόγοις καὶ ἀναισθήτοις, ψυχὴν καὶ λόγον καὶ αἴσθησιν ἔθηκε· καὶ τὸ παραδοξότερον φόνους ὁρωμένους αἱματοσταγεῖς, καὶ μεταβάσεις τοῖς ὕλῃ συνδεδεμένοις καὶ ἀμεταβάτοις· αἵματά τε καταῤῥέοντα ἤδη, καὶ θηρία βόας καταβαλόντα καὶ καταδάπτοντα, καὶ ἀνθρώπους ῥοπάλοις καταδιώκοντας, γάμους τε τελουμένους καὶ χοροὺς ἐπὶ τούτοις, πολεμοῦντας, δικάζοντας, καὶ ἐν σύριγξι πυῤῥιχίζοντας· γεωργούς τε τὸ τρίτον ἤδη τὴν γῆν ἀροῦντας· εἶτα λύσαντας τοὺς βόας, κἀπὶ τὸ ὕδωρ ἐλαύνοντας· ἄλλους δ' ἀμῶντας, καὶ σταθμοὺς ποιμνίων ἐν ὑλώδει χωρίῳ· καὶ ὅλως τοῦτ' οὐ προσέθηκεν ὁ θεὸς, ὃ μόνον τῆς τοῦ ποιητοῦ φαντασίας διέφυγε τὸ δραστήριον.

Ἀλλ' εἴποι τις ἂν ἴσως, εἰ τοιοῦτος Ὅμηρος, τίποτε παθόντες ἀρχαῖοί τε καὶ νεώτεροι ἐξεθείασαν αὐτὸν παρὰ πάντα τὰ ἔθνη; ὁρᾶθ' ὅπως ἐκ προλήψεως κρίνετε; ταῦτ' οὖν ἀφε-

λεῖν ὑμῶν βουλόμενος, ταῦτ' ἐπέστειλα· ἄλλως γὰρ οἶδα κἀγὼ, ὡς πᾶν ὃ πεποίηκεν ὁ δαιμόνιος οὗτος ἀνὴρ, καλῶς τυγχάνει πεποιηκώς· τότε δὲ βούλομαι ὑμῖν ἀποδοῦναι τὸν λόγον, δι' ὃν ἐς τὸ ἀπίθανον ἐξῆρε τὰ πράγματα, ἐπειδὰν ἴδω ὑμᾶς καὶ ψέγοντάς τι τῶν ἐκείνου· οὕτω γὰρ ἂν ὑμῶν τὸ σκυλακῶδες ἑκατέρωθεν χαλινώσαιμι. Νῦν δ' οὖν ἴστε, ὡς ταῦτα μήτ' ἐκ μελέτης, μήτ' ἐπίτηδες γέγραφα, ἵνα δείξω τις εἶμαι, τὸν θειότατον κρίνων τῶν ποιητῶν· ἀλλ' ἀπὸ μνήμης αὐτοσχεδιάζων, ὅσον ὑμᾶς προσεκτικωτέρους καὶ κριτικωτέρους, οἷς ἂν ἐγκύπτητε, τὰς μελέτας ποιούμενοι, ἀπεργάσασθαι· πρόληψις γὰρ καὶ παντὶ μὲν βλαβερόν· παιδείᾳ δὲ μέγιστον κώλυμα πρὸς εὕρεσιν ἀληθείας· δεῖ γὰρ δὴ πάντα ζητεῖν ταλαιπώρως· εὑρόντας δὲ κρίνειν· κρίναντας δὲ, κατέχειν τῇ μνήμῃ, καὶ διασώζειν οὐχ ἧττον, ἢ καὶ τὰ πατρῷα· ψυχῆς γὰρ κτῆσις πολλῶν πραγμάτων ἐςὶν ἐμπειρίᾳ ἀληθὴς καὶ ἀπρόληπτος. Ἔῤῥωσθε.

*Ἀναστασίῳ.* (192.)

Τάτ' ἄλλ' ἄλλως ἐξεταζόμενα, διάφορον παρέχουσι κρίσιν, καὶ ὁ ἄνθρωπος, ὑπότ' ἐκ τῆς φύσεως καὶ τῆς προαιρέσεως ἡμῖν παριστάμενος, διαφόρῳ λόγῳ ὁ αὐτὸς ἀγαθὸς καὶ φαῦλος δοκιμάζεται εἶναι· οἷον τί λέγω; ἔστι μέν τις ἐν ἡμῖν κατωφερὴς εἰς θυμόν· ἔστι δέ τις καὶ ἐπιεικής· καὶ ἕτερος μέν τις ἄσωτος, ἕτερος δὲ φιλάργυρος· καὶ ἄλλ' ἄττα τῶν παθῶν, ἀπὸ τῆς τοῦ σώματος πηγάζοντα πράξεως, ταῦτα δὲ οὕτως ὡς ἔτυχεν ἐνεργούμενα, τῇ φύσει μᾶλλον, ὡς διαθέσεις τινὰς, εἶεν ἀποδοτέα· διὸ εἴτε πλεονεκτήματα, εἴτε μειονεκτήματα ταῦτ' εἴη, ἧττον ἂν, ἢ τὰ ἀπὸ καθαρᾶς πραττόμενα προαιρέσεως ἐπαινοῖντ' ἂν καὶ ψέγοιντο· οἷον ὁ μὲν Ζακχαῖος τὰ ἥμισυ τῶν ὑπαρχόντων τοῖς πτωχοῖς συνεισήνεγκεν, ἡ δὲ χήρα τὰ δύο λεπτά· Ἐνταῦθα τοίνυν ἡ προαί-

ρεσις κρινομένη, τῇ γυναικὶ τὸ πλέον τῆς ἀρετῆς ἀποδίδωσιν· ὃ γὰρ μόνον ἐκέκτητο, πᾶν τοῦτ' ἀθρόον ἐκένωσεν. Ἔστωσαν δ' αὖ ἡμῖν ἕτεροι δύο, ἀπὸ τῆς ἴσης μὲν οὐσίας ὁρμώμενοι, ἀντιθετικῶς δὲ πρὸς ἀλλήλους τοῖς πάθεσιν ἔχοντες, ὁ μὲν ἐλευθερίως, ὁ δὲ φειδωλῶς. Τούτων οὖν ἑκάτερος ἐπέδωκεν ὁτῳδήποτε, ὁ μὲν πέντε τυχὸν ὀβολοὺς· ὁ δὲ φιλάργυρος μόλις δύο· πότερος οὖν καὶ τούτων ἂν εἴη ὁ τὸ πλεῖον ἐπιδείξας τῆς προαιρέσεως; ὁ πρῶτος, αὐτὸς ἂν εἴποις· ἐγὼ δ' οὔ φημι, ἀλλ' ὁ δεύτερος, ὁ τὸ ἔλαττον ἐπιδαψιλεύσας ἐκ προαιρέσεως· φύσις γὰρ τούτοιν ἑκατέροιν διάφορος, τῷ μὲν σκορπίζειν μεθ' ἡδονῆς τὸ ἀργύριον ὡς λίθους ἀχρείους, τῷ δὲ συνάγειν περιπαθῶς κἀπισυνάγειν εἰς ἀποθήκας, ὡς μὴ πεφυκὼς ὅλως μεταδιδόναι οὐδοτιοῦν· ἐκ γοῦν τῆς προαιρέσεως γιγνομένης τῆς κρίσεως, ὁ τὸ πλεῖον δεδωκὼς ἔσται, ὡς εἰκὸς, ὁ φιλάργυρος. Νῦν δὲ παρεισήχθων ἡμῖν καὶ ἕτεροι ἔτι δύο, ὁ μὲν θυμώδης, ὁ δὲ ἐπιεικής· ὧν ὁ μὲν ἐξαχθεὶς τῷ θυμῷ, ἐπάταξε τὸν ἕτερον ἐπὶ κόῤῥης, ὁ δὲ ἠμείψατο τὸν τύψαντα λοιδορίαις, οὐκ ἐκ φύσεως, καθάπερ ἐκεῖνος, ἀλλ' ἐκ προαιρέσεως κινηθείς· φύσις γὰρ αὐτῶν τῷ μὲν ἐξάπτεσθαι καὶ ἄκοντα εἰς θυμὸν, τῷ δὲ ἀνέχεσθαι ἐνδιδόντα. Ἐκ τούτων δῆλον, ὅτι πρὸς τὸν λοιδορήσαντα τὸ πλεῖον τοῦ ἐγκλήματος ἔρχεται, ὅτι παραβὰς τὸ κατὰ φύσιν, τὸ παρὰ φύσιν προείλετο. Τούτων οὖν οὕτως ἐχόντων, μὴ καταμέμφου Δημήτριον, ὃν παράφορον τῷ θυμῷ ἴσασι πάντες γιγνόμενον, ἐφ' οἷς ἔπαισέ σε· οὐδὲ γὰρ τοῖς μαινομένοις τοιαῦτα πράττουσιν, οὔτε λοιδορούμεθα, οὔτε μὴν ἄλλως ἐπιτιμῶμεν· ἀλλὰ σεαυτὸν, ὅτι τυπτηθεὶς, ἠμείψω λοιδορίαις παρὰ φύσιν τὸν κατὰ φύσιν τυπτήσαντα. Ἔῤῥωσο, καὶ τῆς ὑπαρχούσης φύσεως μὴ ἐξίστασο, ὅ,τι καὶ γένοιτο· ἀδικεῖς γὰρ σεαυτὸν, μίαν τῶν ἀρετῶν, τὴν ἐπιείκειαν, ἀφαιρούμενος.

Ἰωάννῃ. (193.)

Οὐ τοῦτ', ὦ βέλτιστε, τὸ διδάσκειν καὶ ἀνατρέφειν παῖδάς ἐστι πολλοὺς αὐτοῖς ἐπισωρεύειν ἀνοήτους κανόνας, ἐξ ὧν ἐπιβαρυνόμενα τὰ μειράκια, ἀπαυδῶσι πρὸς τοὺς πόνους, ἀφ' οὗ ἀναφύεται ἡ πρὸς τὴν παιδείαν ἀπέχθεια· ἀλλὰ τὸ δι' ὀλίγων πολλὰ αὐτοῖς ἀναπτύσσειν, ἃ φύσει μὲν πρόσεσι τῇ ψυχῇ, συγκεχύσθαι δὲ δοκεῖ καὶ συντεθολῶσθαι τῇ τοῦ σώματος μίξει· ὅμοιον γὰρ τοῦτ' ἂν εἴη τῷ περὶ τὸν ὀφθαλμὸν συμβαίνοντι πάθει· ᾧ σύνεστι μὲν τὸ ὁρᾷν φύσει, περιστάσει δ' ἐπιχυθεῖσα ἀχλὺς, διετείχισεν αὐτῷ τὴν πρὸς τὰ ὁρατὰ ὁμιλίαν· εἶθ' οὕτω προσιοῦσα ἡ τέχνη, καὶ ἀφελοῦσα τὸ διατείχισμα, ἀνέῳξεν αὐτῷ τὴν ὁδὸν πρὸς ἐκεῖνα, μηδὲν τῆς ὄψεως αὐτῷ προστιθεῖσα· οὕτω καὶ τῇ ψυχῇ φύσει τὰ χρηστὰ ἐνυπάρχοντα, ἐπιγενόμενα ἔξωθεν τὰ κακὰ τῇ πρὸς τὸ χεῖρον μίξει, ἄγονα καὶ ἀφανῆ, καθάπερ καὶ τὸν σῖτον αἱ παραφυόμεναι ἄκανθαι, ἐκεῖνα ἐποίησαν. Ἔξελε τοίνυν τὰς ἀκάνθας, καὶ ὁ σῖτος ἀποδώσει σοι ἀφ' ἑαυτοῦ τὸν θερισμὸν πολλαπλάσιον· ἄφελε δὲ καὶ τοῦ ὀφθαλμοῦ τὴν ἀχλὺν, καὶ τὸ ὁρᾷν φύσει αὐτῷ ἐνυπάρχει· καθάπερ γὰρ ἐπὶ καυσίμου ὕλης, τῶν κωλυμάτων ἀρθέντων, πολλὴν τὸ φύσει ἐγκείμενον τοῖς σώμασι πῦρ, ἐξαπτόμενον, ἀναδίδωσι φλόγα· οὕτω καὶ τῇ ψυχῇ, τῶν παρὰ φύσιν ἀρθέντων, ἐπανέρχονται αἱ ἰδέαι· ταῦτ' ἄρα ἔπεισε καὶ Πλάτωνα ἀναμνήσεις τὰς μαθήσεις εἰπεῖν. Ἔῤῥωσο.

Ἰγνατίῳ. (194.)

Ἀδικεῖν καὶ ἀδικεῖσθαι διαθέσεις τινές εἰσιν ἀλλήλαις ἀντίθετοι ἐνεργοῦντος καὶ πάσχοντος· οἷον, ἀδικεῖ μὲν ὁ τύπτων, ἀδικεῖται δὲ ὁ τυπτόμενος, ἅτε δὴ ὁ μὲν δραστικὸς ἄλγους, ὁ δὲ παθητὸς ὀδύνῃ γινόμενος. Τοῦτο μὲν οὖν ἐπὶ

μὲν ἐπὶ τοῦ σώματος θεωρούμενον, ἔχοιτ' ἂν ἀληθείας τινὸς, καὶ δικαίως ἂν ὁ πάσχων ὀδύροιτο· καί τοι οἱ Στωϊκοὶ οὐδὲ τοῦτο κακὸν ἐλογίζοντο· ἐπὶ δὲ τῆς ψυχῆς αὐτῆς πῶς ἂν εἴποιμι; εἰ γὰρ ἡ ἀδικία οὐδέν ἐστιν, ἢ ἀφαίρεσις ἀγαθοῦ· τὸ δὲ ἀγαθὸν ἀρετὴ, πῶς ἂν ἀφαιρεθείη τὸ τῆς ψυχῆς ἀγαθὸν, τὸ τύχῃ μὲν ἀνάλωτον, συκοφαντίᾳ δὲ ἀναφαίρετον, νόσῳ δὲ ἀδιάφθορον, γήρᾳ δὲ ἀλύμαντον παρὰ πᾶσιν ὁμολογούμενον; οὐκ ἄρ' ἀδικεῖται ὁ νομιζόμενος ἀδικεῖσθαι. Τί δ' ὁ ἀδικῶν αὖθις; ἔμοιγε μὲν οὐδ' οὗτος δοκεῖ ἀδικεῖν· εἰ μὲν γὰρ χρηςὸς ὅδ' ἐςιν οὐδὲ τὴν ἀρχὴν ἂν ἐπιχειρήσειεν ἀδικεῖν διά γε χρηςότητα· εἰ δὲ πονηρὸς, χρηστὸν μὲν οὐκ ἂν ἀδικήσειεν, ἀναφαιρέτου ὄντος τοῦ κατὰ τὴν ψυχὴν ἀγαθοῦ· πονηρὸν δὲ οὐκ ἂν ἔχοι ὅ,τι καὶ ἀδικοίη· τί γὰρ ἂν ἐκεῖνον ἀφέλοιτο, ἀρετῆς ἡστινοσοῦν αὐτῷ μὴ προσούσης; οὐκοῦν οὔτ' ἀδικεῖ τις, οὔτε μὴν ἀδικεῖται· φαντάσματα δὲ ταῦτ' ἄλλως ὄντα καὶ ἐπίνοιαι ψιλαὶ, μάτην θρυλλεῖται· μὴ οὖν σφόδρα ἄχθου, ἐφ' οἷς οἴῃ ἀτιμασθῆναι παρὰ τοῦ δόξαντος μὲν ἀδικῆσαί σε, ἀδικήσαντος δὲ μηδέν· οὔτε γὰρ ἐκεῖνος ἀφείλετό σέ τι, οὔτε σὺ ἀφῃρέθης, κἂν ἐν τοῖς πονηροῖς σεαυτὸν κατατάττῃς. Ἔρρωσο.

*Δημητρίῳ.* (195.)

Προμηθέα τίνα ποτὲ εἶναι νομίζεις, εἰ τοῦ μύθου ἐξελόντες αὐτὸν, τοῦθ' ὅπερ ἦν ταῖς ἀληθείαις ἁπλῶς θεωρήσαιμεν; ἢ ἄνθρωπον ἁπλοῦν, ἀπολλύμενον ὑπὸ δόξης, νῦν μὲν, ὁπότ' ἐπαινοῖτο, οἰδοῦντος αὐτῷ τοῦ ἥπατος· νῦν δὲ φθίνοντος, εἴποτε ψέγοιτο· τούτου οὖν τοῦ νοσήματος Ἡρακλῆς ἐλεήσας τὸν ἄνδρα, ἰάσατο, τὸν τοῦ οἰήματος ἀετὸν ἀποκτείνας. Βουλοίμην ἂν οὖν καὶ αὐτὸς ἄλλος Ἡρακλῆς σοι γενέσθαι, καί τοι τόξου καὶ βραχίονος ἀπολειπόμενος ἰσχυροῦ· λόγῳ δὲ μόνῳ φαρμάκῳ σοφωτάτῳ τὸν τῦφον καὶ τὸ οἴαμα τῆς σῆς ψυχῆς ἐ-

ξελών. Ἐγὼ μὲν οὖν τοῦτο περιμενῶ ἰδεῖν, εἴτι σὺ σαυτῷτε κἀμοὶ χαρίζῃ. Ἁμέραι δὲ ἐπίλοιποι μάρτυρες σοφωτάτοι. Ἔῤῥωσο.

Ἰωάννῃ. (196.)

Μὴ τοῦτο θαύμαζε, ὅπως καταμόνας φιλοσοφῶ, πᾶσαν διατριβὴν ἡδονῆς παρεκτικὴν ἀποκλίνων· τοῦτο γὰρ νῦν γε ἑκόντι ἀέκοντί μοι καὶ τὸ γῆρας αὐτὸ ἐπιβρίθον ποιεῖ ἀηδές· ἀλλ' ὅτι καὶ νέος ὢν ἔτι, οὐδεμιᾶς ἥττημαι ἡδονῆς, ὅτι μὴ πᾶσα ἀνάγκη· τοῦτο δὲ οὐχὶ δι' ἀρετὴν, ὡς ἂν οἰηθείης αὐτός· οὐ γὰρ σύνοιδα ἐμαυτῷ τοιοῦτον οὐδὲν, ὥστ' ἔχειν τι καὶ καυχήσασθαι· ἀλλ' ὅτι ὑφ' ἑτέρας ἡδονῆς, τῆς γραφικῆς, προκατείλημμαι· ταύτῃ γὰρ τῇ Μούσῃ ἐπειδὴ ἅπαξ ἐγενόμην συνέστιος, οὐκέθ' οἷός τε ἦν διαζυγεὶς, συγγενέσθαι ἑτέρᾳ, ἀπαξιῶν ἀντὶ τῆς σώφρονος καὶ κοσμίας ἀναγώγοις καὶ παραμούσοις Σειρῆσι περιπεσεῖν. Ταῦτ' οὖν εἰδὼς, οὐκ ἂν εἴης δίκαιος μέμφεσθαί με τῷ αὐτῷ ἔρωτι, δι' ὃν τὰς ἐρημίας διώκω, ἔτι καὶ νῦν κατεχόμενον· ἀλλ' εἰ καλῶς μοι ἐκ τούτου ἔσχε διαβιῶναι, τοῦτο γνοὺς, τὰς ἐμὰς καὶ αὐτὸς ἡδονὰς μιμήσασθαι μάλιστα· εἰ γὰρ γένοιτό σοι πόθ' ἁλῶναι τῆς Μούσης ταύτης, εὑρήσεις ἐν αὐτῇ θέλγητρα ἐπαφρόδιτα, οὐχ οἷα ἐλάσαι σε εἰς τὸν τῆς Κίρκης συφεὸν καρπὸν αὐτοῦ κρανείας ἐδόμενον· ἀλλ' οἷα κἂν τῷ παρόντι τιμῆσαί σε, κἂν τῷ μέλλοντι στεφανῶσαι, οὐ πίτυϊ, οὐδὲ κοτίνῳ, ἃ εἴη ἂν μάλιστα ταῖς αἰξὶ περιμάχητα, ἀλλ' ἀκηράτοις καὶ ἀμαραντίνοις στεφάνοις· οἷς ὁ σοφὸς χρόνος ἄνωθεν ἔστεψε τοὺς τὴν θείαν τέχνην τοῦ νοεῖν καὶ γράφειν περὶ πλείστου πεποιημένους. Ἔῤῥωσο.

Τῷ Κύρῳ. (197.)

Ὥσπερ οἱ Ἴουλοι, καί τοι μυρίους πόδας εἰληχότες παρὰ

τῆς φύσεως, ἀλλ᾽ οὖν πάντων τῶν ἑρπετῶν βραδύτεροι τυγχάνουσιν ὄντες· οὕτω καὶ τῶν μαθητῶν οἱ γραμματικῶν ἀδιεξιτήτων ἀπειροκάλοις προσχόντες κανόσι, καίτοι δοκοῦντες τάχιον ἂν τὸν καμπτῆρα καταλαβεῖν, τοσοῦτο τῶν συμφοιτητῶν ἐν τοῖς μαθήμασιν ἀπολείπονται, ὅσον οἱ πολυσαρκίᾳ βαρυνόμενοι ἐν τοῖς σταδίοις ὑστερίζουσι τῶν εὐζωνοτέρων. Εἴτις οὖν καί σοι λόγος ἐπὶ λόγοις ἀναῤῥηθῆναι, μεταθεὶς τὸ ςάδιον ἀπὸ τῶν ἀχρήστων ἐκείνων θεωριῶν ἐπὶ τοὺς συγγραφέας καὶ ποιητὰς, ἐνταῦθα μέλαν καὶ γραφίδα κτησάμενος, τὸν καλὸν ἀγωνίζου ἀγῶνα. Ἔῤῥωσο.

## Τῷ αὐτῷ. (198.)

Οὔπωσε πείθει λόγος, σὺν λόγῳ πείθων, ἀπὸ τῶν μὴ ὄντων τῷ ὄντι ἐπὶ τὰ ὄντως ὄντα ἀνιπτάμενον διανοίᾳ, τουτωνὶ τῶν μηδαμηνῶν καταπτύειν· ἢ γοῦν τοσοῦτον πτοεῖσθαι περὶ αὐτὰ, ὅσον τοῦ πανδοχείου ὁδοιπόρος ἀνὴρ· ὃς ἐν ὅσῳ μὲν ἐν αὐτῷ καταλύει, εἰκότως φροντίζει, μήτι τὸ κατάλυμα πάθῃ· διανυκτερεύσας δὲ, ἅμ᾽ ἡμέρᾳ ἀναζεύξας, ἀνύττει ἐφ᾽ ὃ σκοπεῖ· ἔνθ᾽ ἐξέσται αὐτῷ κατὰ πολλὴν ῥᾳστώνην προσαναπαύσασθαι, μικρὰ φροντίζων τῶν ὄπισθεν· οὐδὲν γὰρ ὁ βίος οὗτος τοῖς εὖ φρονοῦσιν, ἢ τοῦ μέλλοντος προαγώνισμα, καὶ ὁδὸς ἐφ᾽ ἕτερον ὑψηλότερον, δι᾽ ὃν ὁ ἄνθρωπος πέπλασται· ἡ δὲ παρακοὴ ἀφώρισεν αὐτὸν ἐνταῦθα πρὸς καιρὸν ἀποτῖσαι τὸ πρόσιμον. Οὐκ ἄρ᾽ ἡ πατρὶς, οὐδ᾽ ἡ βασιλεία ἀνδρὶ χριστιανῷ ἐκ τοῦ κόσμου τούτου ἐστὶν ὡς παρὰ τῆς ἀληθείας αὐτῆς τοῦτ᾽ ἠκούσαμεν. Εἰδὲ καὶ ἐκ τῶν θύραθεν ἔτι δεῖ τὸν λόγον πιστώσασθαι, ἴθ᾽ εἰπέ μοι τίποτ᾽ Ἐπιμενίδης αἰνίττεται ἐν τοῖς μύθοις, ὃς ἑξήκοντά που ἐν τῷ τοῦ Διὸς ἄντρῳ ὑπνώσας ἔτη, θεοῖς τε αὐτοῖς καὶ λόγοις θεῶν, καὶ ἀληθείᾳ καὶ δίκῃ, καὶ τοῖς τοιούτοις ἐνέτυχεν; ἢ ὅτι ὁ βίος

οὗτος ὕπνῳ ἔοικε μακρῷ καὶ πολυετεῖ· εἶεν. Οἱ δ' ἐν αὐτῷ ὄνειροι τίνες καὶ ποῖοι τὴν φύσιν ὑπάρχουσιν· ἢ οἵους τοὺς μὲν δι' ἐλεφαντίνης, τοὺς δὲ διὰ κεραντίνης πύλης διοδεύειν, ὡς Ὅμηρος ἔφη.

» Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων.
» Αἱ μὲν γὰρ κεράεσσι τετεύχαται· αἱδ' ἐλέφαντι.

τοὺς μὲν διὰ τῶν κερατίνων ἰόντας ἀτρεκεῖς εἶναι καὶ πιστεύεσθαι πιθανούς· σφαλεροὺς δὲ τοὺς διὰ τῶν ἑτέρων καὶ ὅλως ἀπατεῶνας. Ἀλλὰ τί δήποτε καὶ τοῦτ' αἰνίττεσθαι βούλεται; ἢ οἷς μὲν τῶν παθῶν ἐγκρατεῖς γενέσθαι ἐπιμεμέληται, ἡ ψυχὴ καθαρὰ καὶ νεφάλιος οὖσα, τῇ οἰκείᾳ φύσει χρωμένη, ἐλευθέρως τοῦ ἑαυτῆς ἐξέρχεται σκήνους, καὶ τὸν ἄπειρον αὐθωρεὶ διϊοῦσα αἰθέρα, συνθέουσα μὲν Ἡλίῳ, συμπεριπολοῦσα δὲ τῇ Σελήνῃ. θεωρεῖ πάνθ' ὡς ἐκ περιωπῆς

» . . . Τάτ' ἐόντα, τάτ' ἐσσόμενα, πρότ' ἐόντα.

ὀνείροις μὲν ἐοικότα, ὡς ἐγγυτάτω δὲ ἀληθείας· εἶθ' οὕτω κατιοῦσα ἀπὸ τῆς θεωρίας, καὶ ὀργάνῳ χρωμένη τῷ σώματι, διηγεῖται, ἅτε εἶδε, καὶ ἤκουσε ἄλλα παρ' ἄλλοις· οἷςδ' ἐγκατορώρυκται σώματι ὑπὸ κόρου καὶ μέθης βαρυνομένῳ, μόλις πως ὀνειρώττει τὰ παρόντα, καὶ ταῦτα συγκεχυμένα, καὶ ὡς οὐδ' ἂν ἔχοι ταῖς ἀληθείαις· διὸ οὐκέτ' ἂν εἴη ἀξιόχρεως ὑπὸ καρηβαρίας τοῦ ἀληθοῦς ἐφικέσθαι. Ἐπειδὴ τοίνυν ὁρῶ καί σε διαφερόντως προσέχοντα τοῖς Ὁμήρου ποιήμασι, βουλοίμην ἂν οὕτω τὸ ἀπ' ἐκείνων ἀλληγορούμενον ὠφελίμως αἱρεῖσθαι, Ἐπιμενίδην ἄλλον γιγνόμενον· τὸ δὲ γράμμα ἐατέον τοῖς πολλοῖς καὶ τοῖς κάτω τὸν τῷ ὄντι γε πρὸς τὰ ἄνω ἡρμένον. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (199.)

Τίποθ' οὕτω πάντων τῶν ποιητῶν Ὅμηρον προτιμήσας, τῆς Ἰλιάδος πλείω λόγον, ἢ τῆς Ὀδυσσείας πεποίησαι; οὐ γὰρ δημαγωγὸς, οὐδὲ κοίρανος, ᾧ λαοί τε ἐπιτετράφαται, καὶ τόσα μέμηλεν, ἐλπίζεις γενήσεσθαι. οὔτε μὴν στρατοπέδων ἡγήσεσθαι, ἵν' ἔχῃς τυχὸν καὶ αὐτὸς ἐνδόσιμον ἐντεῦθεν, ὡς ὁ Μακεδὼν, ἐφυπνώττειν ἐκ μονομεροῦς τοῖς ἐκείνου ποιήμασιν· εἰδὲ δημηγοροῦντ' αὐτοῦ θαυμάζεις Θερσίτην, τῆς μὲν μιμήσεως ἴσως τεύξῃ, ἀλλ' οὐκ ἀποτεύξῃ, οἶμαι, καὶ μελαμπύγου Κεφαλλῆνος, ῥοπάλῳ κόπτοντος τὸ μετάφρενον· ἡ γὰρ Μοῦσα ἥδε οὐχ ὁμοίως πᾶσιν ἐθέλει χαρίζεσθαι· ἀλλ' οἶδεν, οὓς καὶ χρὴ ὡς ἀποπεφυκότας πρὸς τοὺς τοιούτους ἀγῶνας, ἐρίῳ στέφουσα κατὰ Πλάτωνα, ἀποπέμπειν· διὸ καὶ Ἀφροδίτην αὐτὴν, ἐξελοῦσα τῆς μάχης, ἐπὶ τοὺς θαλάμους, ᾗ πέφυκεν, ἐκέλευσε μεταφέρειν τὸν πόλεμον.

« Οὔτοι, τέκνον ἐμὸν, δέδοται πολεμήϊα ἔργα,
« Ἀλλὰ σύγ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο·

Ἑλοῦ τοίνυν τὴν προσηνεστέραν Ὀδύσσειαν· ἐξ ἧς ἀρύσῃ ἤπια παραγγέλματα, τὰ τῷ σῷ ἐπαγγέλματι προσανήκοντα. ἤδη γὰρ κἀν τούτῳ τῆς ἡλικίας εἶ, ἐν ᾧ τὰ πάθη αὐτὰ ἑαυτῶν ἐπικρατέστερα γεγονότα, πολλοῖς τὸν ἔσχατον, ἐπήνεγκε κίνδυνον, τῆς Κίρκης ἀρρήτῳ γοητείᾳ καταφαρμασσούσης τούτων τοὺς ἐντυγχάνοντας· ἢ τί τούτῳ δηλοῖ ἡ θεὸς παρὰ τὴν ἡδονήν; ἣ εὐμενῶς μὲν καὶ σφόδρα φιλοφρόνως τοὺς προσιόντας τὸ πρῶτον προσδέχεται, λουτρῶν τε καὶ τραπέζης, καὶ τῆς ἄλλης ἀξιοῦσα θεραπείας· ἐπειδὴ δὲ τάχιστα πρόσκορος γένοιτο, εἰς θηρία αὐτοὺς τῇ ῥάβδῳ παραμορφάζουσα, καθείργνυσιν ἐλεεινῶς εἰς τοὺς συφεοὺς, ἀντὶ τῶν μέλιτι καὶ οἴνῳ πραμνείῳ συμπεφυρμένων ἀλφίτων ἄκυλον

τε, καὶ βάλανον, καὶ καρπὸν κρανείας στυφόεντα αὐτοῦ ἐδομένους. Ἀλλὰ τὸ ἐν στρατιωτικοῖς, εἴποις ἂν, καταλόγοις καὶ ἐν μυριονέκροις μάχαις τῷ νοῒ ἀναστρέφεσθαι μετὰ τοῦ θαυμαστοῦ ἔχει τὶ καὶ ἡδόμενον, καταθέλγον πρὸς ἑαυτό· καὶ μὴν τούτου σε χρῆναί φημι φάρμακον ἀπὸ τῆς Ὀδυσσείας πορίσασθαι· δέος γὰρ μὴ ἐκεῖνα διώκων, περιπέσῃς τοῖς συφεοῖς καὶ αὐτός· ἀφ' ὧν ἀπαλλαγῆναι δεήσει σοι Ἡγεμόνος ῥαγδαίου, καὶ θεοῦ ὅλως τὸ μῶλυ παρέξοντος. Ἔῤῥωσο.

## *Τῷ Μανουήλῳ.* (200.)

Κωνσταντῖνος Παπαδόπουλος ὁ τὸν ἐμπορικὸν κώδικα ἐκ τοῦ Γαλλικοῦ μεταφράσας, ἀνὴρ τἄλλα πολυμαθὴς, καὶ δὴ κἀν ταῖς τῶν ἐμπόρων δίκαις ἐν Βυζαντίῳ γενόμενος ἐν τοῖς μάλιστα, οὗτος νόσῳ ποτὲ κρατηθεὶς, καὶ πνέων ἤδη τὰ λοίσθια, φίλων πολλῶν παρόντων, κάὶ τὰ εἰκότα παραμυθουμένων, ἀπιδὼν ἠρέμα πρός τινα τούτων, Ξένη, φησὶν, ἆρ' ἐθελήσεις πεισθῆναι, ὃ τελευταῖον σοι ἤδη μέλλω ἐρεῖν; ὁ δὲ, κέλευε μόνον, ἔφη, ὅτι ποτ' ἔχεις εἰπεῖν, καὶ ἴσθι, ὡς οὐκ ἂν σού ποτε γενοίμην παρήκοος· ἐκεῖνος δὲ ἐπαναλαβὼν, ἆρ' ἐθελήσεις, ἔφη, λαβεῖν εἰς γάμον τὴν ἐμὴν θυγατέρα, ἣν ὀρφανὴν καταλείψω αὐτίκα μάλα; Ἄφες νῦν ταῦτα, ὁ Ξένης ἔφη· εἰσαῦθις γὰρ τὰ τοιαῦτα μεθ' ἡσυχίας, ἐπειδὰν σὺν θεῷ ὑγιάνῃς, ὀψόμεθ', ὁπόθ' ἡμῖν πάντα καλῶς ἕξει. Ταῦτα δὴ ἀκούσαντα τὸν νοσοῦντα ὅλως ἀμφιῤῥεπῆ, ἐπὶ πλέον ὑπεξέκαιε τὸ φιλόστοργον, οὐδ' εἴα ἀποθανεῖν ἀταράχως· ὅθεν ἐπαναλαβὼν τὸ ἐρώτημα, κύριε Ξένη, φησὶν, ἆρ' ἐθελήσεις συναρμόσασθαι γάμῳ τὴν ἐμὴν φίλην Μαρίαν, ᾗ καὶ λόγῳ ποτὲ συνεθέμεθα; ὁ δὲ χαριζόμενος, καὶ μὴν εἶπόν σοι, φησὶν, ὅτι λήψομαι· οὐκοῦν δός μοι, φησὶ, τὴν σαυτοῦ δεξιὰν, ἐφ' ᾧ τὸν λόγον πιστώσασθαι. Ἐκ δὴ τούτου καταδυσωπηθέντος τοῦ Ξένου οὐχ ἧττον τῷ πάθει, ἢ καὶ διὰ τοὺς πα-

ρόντας, καὶ δόντος τὴν χεῖρα καὶ τὰ πιστὰ, τότε δὴ συγκαλυψάμενος, ἐτελεύτησε· καὶ ταῦτ' ὀλίγοις ἔτεσι πρότερον πρὶν τὴν Ἑλληνικὴν ἐπανάστασιν ἀναφανῆναι ἡ ἐφημερὶς διεκήρυξεν, οὐ μικρόν τι πάθος διὰ τὸ φιλόστοργον τοῦ πατρὸς ἐνιεῖσα τοῖς ἀναγνοῦσι. Κατὰ ταῦτα τοίνυν βούλομαί γε κἀγὼ τοὐμὸν ἐξαγγεῖλαι σοι πάθος· καὶ δὴ πυνθάνωμαι τρόπον τὸν αὐτὸν, Κύριε Μανουλάκη, ἆρ' ἀξιώσεις δέξασθαι παρὰ σεαυτῷ τὸν ταλαίπωρον Χότζον, ἤδη μου ἐντεῦθεν ἀπαίροντος; ἆρα γηροτροφήσεις ἀξίως τὸν ἐς δεῦρο εὐδαιμονέστατον ἐν ἑκκαιδεκαετεῖ ἡλικίᾳ γεγενημένον; οἶσθα γὰρ, ὅτι φύσει ἔνεστι ταῖς τῶν ἀνθρώπων ψυχαῖς φιλητικόν τι, ὃ ἄλλος ἄλλῃ καταδαπανᾷ, οἱ πλεῖστοι δὲ ὡς εἰκὸς ἐς τοὺς παῖδας τοὺς ἑαυτῶν· ἀλλ' ἐγὼ ζῶον ὢν ἄκαρπον καὶ μοναδικὸν, εἰς τὸ κτῆνος τοῦτο (εἰπάτω τις ὅ,τι βούλοιτο) δοκῶ μᾶλλον κατηναλωκέναι τὸ σπέρμ' ἐκεῖνο· ἀλλὰ σύγε ἴσως καταγελᾷς μου ἔτι τῆς ἀβελτερίας. Ἄκουσον τοίνυν καὶ ἕτερον τραγικώτερον. Ἀβραὰμ ὁ μέγας ἐν πατριάρχαις ἐγένετο πατὴρ πατέρων ἁπάντων φιλοστοργότατος· ἀλλ' ἡ εὐσέβεια ὕστερον ἐκνικήσασα, ἔδειξεν αὐτὸν ἐν μέρει πρὸς τὸν ἑαυτοῦ υἱὸν, ὃς μονογενὴς ἦν αὐτῷ, ἁπάντων ἀνθρώπων σκληρότατον, ἅτε δὴ βιασθέντα ἐκ θείας παρακελεύσεως ἀντιῤῥόπῳ πάθει τὸ πάθος ἐκρούσασθαι. Τοιοῦτο οὖν τι κἀμοῦ ἤδη καταλιμπάνοντος τὴν Δακίαν, τὴν διάνοιαν ὑπερχόμενον, ταλαντεύει με ἐφ' ἑκάτερα· ὑφορῶν γὰρ τὴν ἐν τῷ μέλλοντι δυστυχίαν τοῦ ζώου τούτου, ἀναγκάζομαι παράβολον αὐτῷ ἀποτολμῆσαι ἔργον, οἷον οὐδεὶς ἂν ἀκούσας πιστεύσειε, φονεῦσαι αὐτὸ ἰδίᾳ χειρὶ, ὡς ἄλλος Ἰσραὴλ, τὸ τοσοῦτον ποθούμενον, ὅπως μηκέτ' ἐπιβιῴη ταλαιπωρούμενον καὶ πεινῶν ἐν ἄλλων χερσὶ, τὸ εὐδαιμόνως ἐς δεῦρο διαβιῶσαν· ἀνάξιον γὰρ αὐτῷ ἐν γήρᾳ κακοπραγεῖν· καὶ σοφὸν τὸ, ἢ ζῆν εὐτυχῶς, ἢ μὴ ζῆν ὅλως, καὶ μάλιστα τοῖς ἀλόγοις τῶν ζώων. Ἀνάγκη τοίνυν δυοῖν θάτερον, ἢ σε ἄλλον γενέσθαι Ξένην, φιλάνθρωπον καὶ φιλέταιρον, ἢ ἐμὲ σκληρότατον Ἀβραὰμ, ὥστ' ἀποτολμῆσαι τουφεκίσαι τὸν ἐμὸν ταλαίπωρον Χότζον. Ἔῤῥωσο.

---

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΤΟΜΟΥ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000051066